





S. HIPPOLYTI

EPISCOPI ET MARTYRIS

REFUTATIONIS OMNIUM HAERESIUM

LIBRORUM DECEM QUAE SUPERSUNT.

RECENSUERUNT, LATINE VERTERUNT
NOTAS ADIECERUNT

LUD. DUNCKER ET **F. G. SCHNEIDEWIN**

THEOL. DR. PHIL. DR.

PROFESSORES GOTTINGENSES.

OPUS SCHNEIDEWINO DEFUNCTO
ABSOLVIT
LUDOVICUS DUNCKER.

GOTTINGAE

SUMPTIBUS DIETERICHIANIS.

1859.

GOTTINGAE,
TYPIS EXPRESSIT OFFICINA ACADEMICA DIETERICHIANA.
GUIL. FR. KAESTNER.

PRAEFATIO.

Cum ante hos octo annos in Nuntiis litterariis Gottingensibus *) de opere, quod inscribitur *Origenis Philosophumena, sive omnium haeresium refutatio,* tum primum a viro doctissimo Emmanuele Millero e codice Parisino, qui paullo ante ex Graecia allatus erat, in lucem edito exponerem, neque a summo illo ecclesiae Alexandrinae doctore, sed ab Hippolyto id esse scriptum probare studerem, sub finem commentarioli iam novam libri a Schneidewino, collega meo coniunctissimo, et me ipso communibus studiis adornandam promisi editionem criticam. Haud mediocri animi ardore rem aggressi, iterum ac saepius librum simul recognoscendo et perscrutando et communi consilio textum emendando ac versione latina notisque illustrando per aliquot annos difficili labori insudavimus. Opus autem nostrum propter caussas, quas enumerare longum est, praeter voluntatem tardius processit, ita ut, cum Schneidewinus tribus fere abhinc annis inopinata ac praematura morte et litteris et amicis eriperetur, nondum dimidia pars totius libri typis esset exscripta. Quo tristi casu socio operis sollertissimo atque exoptatissimo orbatus cum iisdem diebus etiam benevolentissimum horum studiorum nostrorum fautorem atque adiutorem, Carolum Fridericum Hermannum, virum immortalis

*) Göttingische gelehrte Anzeigen. Jahrgang 1851. Stück 152—155. S. 1513—1550.

memoriae, morte amisissem, iam, ne res haeresceret, priorem huius libri fasciculum foras emittendum curavi, et dum ipse pro virili parte rem promovere studebam, Christianum Petersenium, Professorem Hamburgensem, affinem meum dilectissimum, precibus adivi, ut in opere perficiendo benigno mihi consilio suo atque auxilio adesse vellet. Qui cum summa, qua est humanitate et erga me benevolentia, petenti mihi non deesset, sperabam fore, ut brevi tempore altera quoque libri pars e prelo prodiret. Sed praeter exspectationem res evenit. Diuturno enim morbo impeditus, quominus adhuc fidem praestarem, nunc demum opus post varios casus tandem absolutum in publicum emitto, quod ut aeque et benigne excipiant benevoli lectores vehementer cupio. Facere autem non possum, quin oblata mihi occasione utar et omnibus, qui me in hoc libro edendo et consilio et re lubentissime et diligentissime adiuverunt, viris doctis summopere colendis maximas palam gratias agam, inprimis Christiano Petersenio, amico carissimo, et Hermanno Sauppio, collegae coniunctissimo, quorum ille postremam libri partem accuratissime mecum recensuit atque castigavit neque ut socius operis unquam mihi defuit, uterque autem singulas plagulas typis exscriptas diligenter perlustrando multa errata correxerunt, elegantissimas textus emendationes proposuerunt et praeclaras notas ad scriptoris sententiam explicandam adiecerunt.

Quibus breviter de modo, quo hic liber confectus est, praemissis, non est quod multa de consilio novae huius editionis addam. De inscriptione, quam libro praefiximus, postquam olim in Nuntiis litterariis Gottingensibus strictim dixi, iam alio loco latius et uberius disputabo. In verbis scriptoris recensendis ab editione principe Oxoniensi Em. Milleri, cuius paginas saepius a nobis in annotatione laudatas in superiore margine signavimus, tanquam a fundamento profecti, quae-

cunque ad textum emendandum a primo editore meritissimo aliisque viris doctis (inter quos Bernaysium, Bunsenium, Roeperum, R. Scottum grato animo nomino) vel in libris editis universo orbi litterato publice commendata, vel consuetudine sive sermonis sive litterarum nobis privatim proposita sunt, diligenter examinavimus. Praeterea summam dedimus operam, ut fontes, ex quibus auctor noster hausit, indagando et comparando ipsiusque verba inter se conferendo et veram eius sententiam explorando, orationem ad nativam suam veritatem atque sinceritatem revocaremus. Sexcenta igitur librariorum menda, quibus innumeris liber scatebat, sustulimus multasque lacunas explevimus, emendationibus parum certis vel ad notas relegatis, vel versione latina significatis, locos vero ultra spem salutis corruptos intactos relinquere quam emendandi periculo cupidius faciendo pessumdare maluimus.

Versionem, cuius postrema pars inde a libro septimo exeunte post Schneidewini obitum a me solo confecta est, tanquam commentarii loco textui adiungendam esse censuimus, ideoque non in eo potissimum laboravimus, ut eleganter, sed ut accurate et ad verbum Graeca transferremus. Annotationes vero, quibus librum explanaremus, non nisi rarissimas adspersimus, sufficiens esse rati eos auctoris nostri vel aliorum scriptorum locos attulisse, qui ad rem illustrandam facerent.

Indices, quibus opus instruxi, maximam partem cura atque sollertia viri doctissimi Müldeneri, Doctoris Gottingensis, cuius optima opera iam in typographorum erroribus notandis usi sumus, conscripti sunt.

Scribebam Gottingae, d. XXX. m. Aug. a. MDCCCLIX.

Ludovicus Duncker.

INDEX NOTARUM.

M	Millerus in editione principe Oxoniensi	
C	Codex Parisinus ll. IV — X operis nostri continens	
B	Codex Barberinus	librum I operis nostri continentes
L	Codex Mediceus	
O	Codex Ottobonianus	
T	Codex Taurinensis	

ARGUMENTUM.

ἹΠΠΟΛΥΤΟΥ

ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ

ΕΛΕΓΧΟΣ.

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

ΒΙΒΛΙΟΝ Α'.

Τάδε ἔνεστιν ἐν τῇ πρώτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου.

Τίνα τὰ δόξαντα τοῖς φυσικοῖς φιλοσόφοις καὶ τίνες οὗτοι, καὶ τίνα τὰ τοῖς ἠθικοῖς καὶ τίνες οὗτοι, καὶ τίνα τὰ τοῖς διαλεκτικοῖς καὶ τίνες οἱ διαλεκτικοί.

Φυσικοὶ μὲν οὖν Θαλῆς, Πυθαγόρας, Ἐμπεδοκλῆς, Ἡράκλειτος, Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀναξαγόρας, Ἀρχέλαος, Παρμενίδης, Λεύκιππος, Δημόκριτος, Ξενοφάνης, Ἔκφαντος, Ἵππων.

Ἠθικοὶ Σωκράτης Ἀρχελάου μαθητὴς τοῦ φυσικοῦ, Πλάτων Σωκράτου μαθητής· οὗτος τὰς τρεῖς φιλοσοφίας ἔμιξεν.

Διαλεκτικοὶ Ἀριστοτέλης Πλάτωνος μαθητής· οὗτος τὴν διαλεκτικὴν συνεστήσατο. Στωϊκοὶ δὲ Χρύσιππος, Ζήνων.

Ἐπίκουρος δὲ σχε|δὸν ἐναντίαν δόξαν πᾶσιν ἐπεχείρησεν. Πύρρων ὁ Ἀκαδήμιος· οὗτος ἀκαταληψίαν τῶν πάντων λέγει. Βραχμᾶνες οἱ ἐν Ἰνδοῖς, Δρυΐδαι οἱ ἐν Κελτοῖς, καὶ Ἡσίοδος.

Οὐδένα μῦθον τῶν παρ' Ἕλλησιν ὠνομασμένων παραιτητέον. Πιστὰ γὰρ καὶ τὰ ἀσύστατα αὐτῶν δόγματα ἡγητέον διὰ τὴν ὑπερβάλλουσαν τῶν αἱρετικῶν μανίαν, οἳ διὰ τὸ σιωπᾶν ἀποκρύπτειν τε τὰ ἄρρητα ἑαυτῶν μυστήρια ἐνομίσθησαν πολλοῖς θεὸν σέβειν· ὧν καὶ πάλαι μετρίως τὰ δόγματα ἐξεθέμεθα, οὐ κατὰ λεπτὸν ἐπιδείξαντες, ἀλλὰ ἁδρομερῶς ἐλέγξαντες, μηδὲν ἄξιον ἡγησάμενοι τὰ ἄρρητα αὐτῶν εἰς φῶς ἄγειν, ὅπως,

Inscriptiones codd. hae sunt: *Ὠριγένους κατὰ πασῶν αἱρέσεων ἔλεγχοι* O in textu: *Ὠριγένους φιλοσοφουμένων* B L O in margine: *Ὠριγένους πάντιμα τοῦ σοφωτάτου* T 2. *φυσικοῖς* om pr L *φιλοσόφοις* om B O 3. 4. *τοῖς ἠθικοῖς — τοῖς διαλεκτικοῖς* B: *τῆς ἠθικῆς — τῆς διαλεκτικῆς* L O 9. *Σωκράτους* M 13. *Ἀκαδήμιος* Roeperus coll. Philostrat. vit. Apollon. VII, 2 p. 280: *Ἀκάδημος* B: *Καδή-*

REFUTATIONIS OMNIUM HAERESIUM

LIBER PRIMUS.

Haec insunt in primo libro refutationis omnium haeresium. Quaenam placuerint physicis philosophis et quinam hi fuerint, et quaenam ethicorum placita et quinam hi, et quaenam dialecticorum decreta et quinam dialectici.

Physici igitur Thales, Pythagoras, Empedocles, Heraclitus, Anaximander, Anaximenes, Anaxagoras, Archelaus, Parmenides, Leucippus, Democritus, Xenophanes, Ecphantus, Hippo.

Ethici Socrates Archelai discipulus physici, Plato Socratis discipulus. Hic tres philosophias miscuit.

Dialectici Aristoteles Platonis discipulus; hic dialecticam artem constituit; Stoici autem Chrysippus, Zeno.

Epicurus autem paene contrariam doctrinam omnibus molitus est. Pyrrho Academicus; hic incomprehensibilitatem omnium docet. Brachmanes in Indis, Druidae in Celtis et Hesiodus.

Nullum commentum eorum qui apud Graecos philosophi appellati sunt spernendum est. Certae enim vel absonae eorum opiniones ducendae sunt propter exsuperantem haereticorum vesaniam, qui propter silentium et quia abscondunt arcana mysteria sua crediti sunt multis deum colere. Quorum iam olim strictim placita exposuimus, non subtiliter explanantes, sed summatim perstringentes, non digna arbitrati eorum arcana,

μιος L O: *Καδίμιος* T: *Ἀκαδήμειος* M: *Ἀκαδημαϊκός* Roeperus antea Philolog. vol. 7, 513   Ante l. 15 *Προοίμιον* praemittit B   15. Ab initio quaedam videntur intercidisse.   *ὠνομασμένων*] *ὠνομασμένων φιλοσόφων*?   17. *διὰ τὸ* Richterus: *διὰ τοῦ* vulgo   21. *μηδὲν ἄξιον*] *μὴ ἀνάξιον* Gronovius: *μὴ ἂν ἄξιον* B O T: *μὴ ὂν ἄξιον* Roeperus

δι' αἰνιγμάτων ἡμῶν ἐκθεμένων τὰ δόξαντα αὐτοῖς, αἰσχυνθέντες μήποτε καὶ τὰ ἄρρητα ἐξειπόντες ἀθέους ἐπιδείξωμεν, παύσωνταί τι τῆς ἀλογίστου γνώμης καὶ ἀθεμίτου ἐπιχειρήσεως. Ἀλλ' ἐπεὶ ὁρῶ μὴ δυσωπουμένους αὐτοὺς τὴν ἡμετέραν ἐπιείκειαν μηδὲ λογιζομένους, ὡς θεὸς μακροθυμεῖ ὑπ' αὐτῶν βλασφημούμενος, ὅπως ἢ αἰδεσθέντες μετανοήσωσιν ἢ ἐπιμείναντες δικαίως κριθῶσι, βιασθεὶς πρόειμι δείξων αὐτῶν τὰ ἀπόρρητα μυστήρια, ἃ τοῖς μυουμένοις μετὰ μεγάλης ἀξιοπιστίας παραδιδόασιν οὐ πρότερον ὁμολογήσαντες, εἰ μὴ τὸν τοιοῦτον δουλώσωνται χρόνῳ ἀνακρεμάσαντες καὶ βλάσφημον πρὸς τὸν ὄντως θεὸν κατασκευάσαντες καὶ περιεργίᾳ γλιχόμενον τῆς ἐπαγγελίας ἴδωσι. Καὶ τότε δοκιμάσαντες δέσμιον εἶναι τῆς ἁμαρτίας μυοῦσι | τὸ τέλειον τῶν κακῶν παραδιδόντες, ὅρκοις δήσαντες μήτε ἐξειπεῖν μήτε τῷ τυχόντι μεταδοῦναι, εἰ μὴ ὁμοίως δουλωθείη, οὐ μόνον παραδοθέντος οὐκ ἔτι ὅρκος ἀναγκαῖος ἦν. Ὁ γὰρ ὑπομείνας παθεῖν καὶ παραλαβεῖν τὰ τέλεια αὐτῶν μυστήρια ἱκανῶς αὐτῷ τῷ ἔργῳ πρός τε τὴν ἰδίαν συνείδησιν καὶ πρὸς τὸ ἑτέροις μὴ ἐξειπεῖν ἔσται δεδεμένος. Εἰ γὰρ ἐξείποι τινὶ ἀνθρώπων τὸ τοιοῦτον ἀνόμημα, οὔτε ἐν ἀνθρώποις λογισθήσεται οὔτε τὸ φῶς ὁρᾶν ἄξιος ἡγηθήσεται, εἰ καὶ ἄλογα ὄντα τοιοῦτον ἀνόμημα οὐκ ἐπιχειρεῖ, καθὼς ἐν τοῖς τόποις γενόμενοι ἐροῦμεν. Ἀλλ' ἐπεὶ ἀναγκάζει ἡμᾶς ὁ λόγος εἰς μέγαν βυθὸν διηγήσεως ἐπιβῆναι, οὐχ ἡγούμεθα σιγᾶν, ἀλλὰ τὰ πάντων δόγματα κατὰ λεπτὸν ἐκθέμενοι οὐδὲν σιωπήσομεν. Δοκεῖ δέ, εἰ καὶ μακρότερος ἔσται λόγος, μὴ καμεῖν. Οὐδὲ γὰρ μικράν τινα βοήθειαν τῷ τῶν ἀνθρώπων βίῳ καταλείψομεν πρὸς τὸ μηκέτι πλανᾶσθαι, φανερῶς πάντων ὁρώντων τὰ κρύφια αὐτῶν καὶ ἄρρητα ὄργια, ἃ ταμιευόμενοι μόνοις τοῖς μύσταις παραδιδόασιν. Ταῦτα δὲ ἕτερος οὐκ ἐλέγξει, ἢ τὸ ἐν ἐκκλησίᾳ παραδοθὲν ἅγιον πνεῦμα, οὗ τυχόντες πρότεροι οἱ ἀπόστολοι μετέδοσαν τοῖς ὀρθῶς πεπιστευκόσιν· ὧν ἡμεῖς διάδοχοι τυγχάνοντες τῆς τε αὐτῆς χάριτος μετέχοντες ἀρχιερατείας τε καὶ διδασκαλίας καὶ φρουροὶ τῆς ἐκκλησίας λελογισμένοι οὐκ ὀφθαλμῷ νυστάζομεν, οὐδὲ λόγον ὀρθὸν σιωπῶμεν, ἀλλ' οὐδὲ

24. *τῆς ἀθεμίτου γνώμης καὶ ἀλόγου ἐπιχειρήσεως* T 26. *μήτε* vulgo 31. *χρόνον* L 32. *περιεργίᾳ* T: *περιεργείᾳ* B O: *περιεργίαν* Wolfius. 33. *δεόμενον* L 35. *μήτε* L: *τοίτε* B O 36. *μόνον* Roeperus: *μόνου* vulgo 37. *παθεῖν*] *μαθεῖν* Roeperus

quae in lucem proferrentur, ut, ubi per aenigmata explicassemus placita eorum, illi reveriti, ne quando etiam arcanis per nos protractis atheos illos coargueremus, aliquantum desciscerent ab insana doctrina et impio conatu. Sed cum videam non revereri illos nostram modestiam, neque pensi habere deum longanimem esse ab ipsis irrisum, ut aut prae pudore mutent mentem, aut si in errore perstabunt iuste iudicentur, coactus progredior, ostensurus arcana eorum mysteria, quae initiatis magna cum fiducia tradunt, non prius confessi, nisi talem, ubi per tempus in suspenso tenuere contumeliosumque erga verum deum reddidere, in servitutem redegerint et cupiditate flagrantem promissorum viderint. Atque tum cum exploratum habent vinculis peccati illigatum esse, initiant perfectum malorum tradentes, postquam iuramentis vinxerunt, se neque evulgaturos neque cum quolibet communicaturos, nisi pariter servitutem subeat, quo simpliciter tradito non iam iuramentum necessarium erat. Nam qui sustinuit pati et accipere perfecta eorum mysteria, satis ipsa re et ad conscientiam suam et ne aliis prodat erit vinctus. Nam si prodat alicui homini tale nefas, neque in hominibus censebitur neque qui lucem cernat dignus habebitur, si quidem vel ratione carentia tale nefas non conantur, sicuti suis locis dicemus. Sed quoniam nos cogit ratio in magnum profundum narrationis descendere, non tacendum arbitramur, sed omnium placitis singulatim enarratis nihil silebimus. Visum autem est, etiamsi longior erit sermo, non deficere. Non enim exiguum quoddam subsidium vitae hominum relinquemus ad errores in posterum cavendos, cum manifesto omnes videbunt clandestina eorum et arcana orgia, quae tanquam promi condi solis mystis tradunt. Haec autem alius non refutabit nisi qui in ecclesia traditur spiritus sanctus, quem priores nacti apostoli impertiverunt rectam fidem professis, quorum nos qui successores sumus et eiusdem gratiae participes et summi sacerdotii et magisterii et custodes ecclesiae aestimati non oculo connivemus neque rectam doctrinam sile-

38. *ἱκανὸν* B T: *ἱκανὰ* O   41. *εἰ* Roeperus: *ἃ* vulgo: *ὅτι* Sancroftus   44. *ἐμβῆναι* vel *ἀναβῆναι* Roeperus   55. *νυστάζομεν* Richterus: *νυστάξομεν* vulgo   *λόγον ὀρθὸν* B: *λόγου ὅρους* O T: *λόγου ὀργάνῳ* Roeperus

πάσῃ ψυχῇ καὶ σώματι ἐργαζόμενοι κάμνομεν ἄξια ἀξίως θεῷ τῷ εὐεργέτῃ ἀνταποδιδόναι πειρώμενοι, καὶ οὐδὲ οὕτως κατ᾽| ἀξίαν ἀνταμειβόμενοι, πλὴν ἐν οἷς πεπιστεύμεθα μὴ ἀτονοῦντες, ἀλλὰ τοῦ ἰδίου καιροῦ τὰ μέτρα ἐπιτελοῦντες, καὶ ὅσα παρέξει τὸ ἅγιον πνεῦμα πᾶσιν ἀφθόνως κοινωνοῦντες· οὐ μόνον ἀλλότρια δι᾽ ἐλέγχου εἰς φανερὸν ἄγοντες, ἀλλὰ καὶ ὅσα ἡ ἀλήθεια ὑπὸ τῆς τοῦ πατρὸς χάριτος παραλαβοῦσα ἀνθρώποις διηκόνησε, ταῦτα καὶ διὰ λόγου σημειούμενοι καὶ διὰ γραμμάτων ἐμμάρτυρα ποιούμενοι ἀνεπαισχύντως κηρύσσομεν. Ἵνα οὖν, καθὼς φθάσαντες εἴπομεν, ἀθέους αὐτοὺς ἐπιδείξωμεν καὶ κατὰ γνώμην καὶ κατὰ τρόπον καὶ κατὰ ἔργον, ὅθεν τε τὰ ἐπιχειρήματα αὐτοῖς γεγένηται, καὶ ὅτι μηθὲν ἐξ ἁγίων γραφῶν λαβόντες ταῦτα ἐπεχείρησαν, ἤ τινος ἁγίου διαδοχὴν φυλάξαντες ἐπὶ ταῦτα ὥρμησαν, ἀλλ᾽ ἔστιν αὐτοῖς τὰ δοξαζόμενα ἀρχὴν μὲν ἐκ τῆς Ἑλλήνων σοφίας λαβόντα, ἐκ δογμάτων φιλοσοφουμένων καὶ μυστηρίων ἐπικεχειρημένων καὶ ἀστρολόγων ῥεμβομένων· δοκεῖ οὖν πρότερον ἐκθεμένους τὰ δόξαντα τοῖς τῶν Ἑλλήνων φιλοσόφοις ἐπιδεῖξαι τοῖς ἐντυγχάνουσιν ὄντα τούτων παλαιότερα καὶ πρὸς τὸ θεῖον σεμνότερα· ἔπειτα συμβαλεῖν ἑκάστην αἵρεσιν ἑκάστῳ, ὡς τούτοις τοῖς ἐπιχειρήμασιν ἐπιβαλόμενος ὁ πρωτοστάτης τῆς αἱρέσεως ἐπλεονέκτησε λαβόμενος τὰς ἀρχὰς καὶ ἐκ τούτων ἐπὶ τὰ χείρονα ὁρμηθεὶς δόγμα συνεστήσατο. Ἔστι μὲν οὖν πόνου μεστὸν τὸ ἐπιχειρούμενον καὶ πολλῆς δεόμενον ἱστορίας· ἀλλὰ οὐκ ἐνδεήσομεν, ὕστερον γὰρ εὐφρανεῖ ὡς ἀθλητὴν μετὰ πολλοῦ πόνου στεφάνου τυχόντα ἢ ἔμπορον μετὰ μέγαν θαλάσσης σάλον κερδάναντα ἢ γεωργὸν μετὰ ἱδρῶτα προσώπου καρπῶν ἀπολαύσαντα ἢ προφήτην μετὰ ὀνειδισμοὺς καὶ ὕβρεις ὁρῶντα τὰ λαληθέντα ἀποβαίνοντα. Ἀρξάμενοι τοίνυν | ἐροῦμεν, τίνες οἱ παρ᾽ Ἕλλησι πρῶτον φιλοσοφίαν φυσικὴν ἐπιδείξαντες. Τούτων γὰρ μάλιστα γεγένηνται κλεψίλογοι οἱ τῶν αἱρέσεων πρωτοστατήσαντες, ὡς μετέπειτα ἐν τῇ πρὸς ἀλλήλους συμβολῇ ἐπιδείξομεν. Ἑκάστῳ δὲ τῶν προαρξαμένων τὰ ἴδια ἀποδιδόντες γυμνοὺς καὶ ἀσχήμονας τοὺς αἱρεσιάρχας παραστήσομεν.

58. *ἀνταμειβόμενοι* Sancroftus: *ἀναμειβόμενοι* Gronovius: *ἀμειβόμενοι* B O T 61. *ἔλεγχον* L *φανερὸν*] *φορὰν* T 62. *τοῦ πνεύματος* T 64. *ἐμμάρτυρα ποιούμενοι* Sancroftus: *ἐμμάρτυρα σημειούμενοι* vulgo: *ἐμμαρτυρησάμενοι* Morus cfr. Roeperum p. 515 sq. 65. *καθάπερ φθάτες* L 70. *ἀρχὴν μὲν*] cfr. Roeperum p. 516,

mus; sed ne omni quidem animo atque corpore laborantes deficimus digna digne deo benefico nostro reddere conati, et ne sic quidem pro merito remunerantes, nisi quod in eis quae nobis concredita sunt non deficiamus, sed nostrae opportunitatis modum impleamus, et quidquid praebebit sanctus spiritus cum omnibus citra invidiam communicemus; non solum aliena arguendo in lucem proferentes, sed etiam quidquid veritas per patris gratiam acceptum hominibus ministravit, haec et per sermonem significantes et per litteras testificantes sine rubore praedicamus. Quo igitur, sicut supra diximus, atheos illos ostendamus et ad sententiam et ad mores et ad opera, et unde conatus eorum profecti sint, nec quidquam eos ex sacris scripturis mutuatos haec periclitatos esse, aut sancti alicuius successionem observantes ad haec delatos esse, sed decreta illorum principium ex Graecorum sapientia duxisse, ex dogmatis philosophis et mysteriis tentatis et astrologis circumvagantibus: placet igitur prius expositis Graecorum philosophorum placitis ostendere lecturis esse his antiquiora et ad divinum numen sanctiora, posthac conferre singulas haereses cum singulis, quomodo his conatibus superveniens primus conditor haeresis lucri fecerit repetens principia et ex his ad deteriora delapsus dogma confinxerit. Est igitur plenum laboris quod suscipimus multaque indiget quaestione. Sed non deficiemus, posthac enim exhilarabit, velut athletam multo cum labore coronam nactum, aut mercatorem post vehementem aestum maris lucrum adeptum, aut agricolam post sudorem frontis cum frugibus fruitur, aut vatem post convicia et conculcationes cum videt evenire quae praedixerat. Principio igitur dicemus, quinam inter Graecos philosophiam naturalem primi instituerint. Horum enim potissimum decreta surripuerunt qui haeresium signiferi extiterunt, ut posthac ubi inter se comparabimus ostendemus. Singulo autem cuique eorum qui principes doctrinae extiterunt tribuentes suum, nudos et inanes exhibebimus haeresiarchas.

qui pro *ἀρχὴν μὲν* vestigiis codd. *ἀφορμὴν* commendari arbitratur 76. *ἐπιβαλόμενος* Roeperus: *ἐπιλαβόμενος* vulgo *πρωτοστάτης* B O: *πρωτοστατήσας* L 77. *λαβόμενος*] *λαβὼν?* *καὶ* om Gronovius 89. *παραστήσομεν* Wolfius: *προστήσομεν* vulgo

1. *Λέγεται Θαλῆν τὸν Μιλήσιον ἕνα τῶν ἑπτὰ σοφῶν πρῶτον ἐπικεχειρηκέναι φιλοσοφίαν φυσικήν. Οὗτος ἔφη ἀρχὴν τοῦ παντὸς εἶναι καὶ τέλος τὸ ὕδωρ. Ἐκ γὰρ αὐτοῦ τὰ πάντα συνίστασθαι πηγνυμένου καὶ πάλιν διανιεμένου ἐπιφέρεσθαί τε αὐτῷ τὰ πάντα, ἀφ' οὗ καὶ σεισμοὺς καὶ πνευμάτων στροφὰς καὶ ἄστρων κινήσεις· καὶ τὰ πάντα φέρεσθαί τε καὶ ῥεῖν τῇ τοῦ πρώτου ἀρχηγοῦ τῆς γενέσεως αὐτῶν φύσει συμφερόμενα. Θεῖον δὲ τοῦτο εἶναι, τὸ μήτ' ἀρχὴν μήτε τελευτὴν ἔχον. Οὗτος περὶ τὸν τῶν ἄστρων λόγον καὶ τὴν ζήτησιν ἀσχοληθεὶς Ἕλλησι ταύτης τῆς μαθήσεως αἴτιος πρῶτος γίγνεται, ὃς ἀποβλέπων πρὸς τὸν οὐρανὸν καὶ τὰ ἄνω ἐπιμελῶς κατανοεῖν λέγων εἰς φρέαρ ἐνέπεσεν, ὃν ἐγγελῶσά τις θεραπαινίς, Θρᾷττα τοὔνομα, ἔφη· τὰ ἐν οὐρανῷ προθυμούμενος εἰδέναι τὰ ἐν ποσὶν οὐκ οἶδεν. Ἐγένετο δὲ κατὰ Κροῖσον.*

2. *Ἔστι δὲ καὶ ἑτέρα φιλοσοφία οὐ μακρὰν τῶν αὐτῶν*| *χρόνων, ἧς ἦρξε Πυθαγόρας, ὃν Σάμιόν τινες λέγουσιν. ἣν Ἰταλικὴν προσηγόρευσαν διὰ τὸ τὸν Πυθαγόραν φεύγοντα Πολυκράτην τὸν Σάμιον τύραννον οἰκῆσαι πόλιν τῆς Ἰταλίας κἀκεῖ τὸν βίον πληρῶσαι. Οὗ τὴν αἵρεσιν οἱ διαδεξάμενοι οὐ πολὺ διήνεγκαν τοῦ αὐτοῦ φρονήματος. Καὶ αὐτὸς δὲ περὶ φυσικῶν ζητήσας ἔμιξεν ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν [καὶ ἀριθμητικήν]. Καὶ οὕτως μονάδα μὲν εἶναι ἀπεφήνατο τὸν θεόν, ἀριθμοῦ δὲ φύσιν περιέργως καταμαθὼν μελῳδεῖν ἔφη τὸν κόσμον καὶ ἁρμονίᾳ συγκεῖσθαι, καὶ τῶν ἑπτὰ ἄστρων πρῶτος τὴν κίνησιν εἰς ῥυθμὸν καὶ μέλος ἤγαγεν. Θαυμάσας δὲ τὴν διοίκησιν τῶν ὅλων ἠξίωσε τὰ πρῶτα σιγᾶν τοὺς μαθητὰς, οἱονεὶ μύστας τοῦ παντὸς εἰς τὸν κόσμον ἥκοντας· εἶτα ἐπειδὰν αὐτοῖς ἱκανῶς παιδείας τῆς τῶν λόγων δόξῃ μετεῖναι καὶ δυνατῶς περὶ ἄστρων καὶ φύσεως φιλοσοφήσωσι, καθαροὺς κρίνας τότε κελεύει φθέγγεσθαι. Οὗτος τοὺς μαθητὰς διεῖλε καὶ τοὺς μὲν ἐσωτερικούς, τοὺς δὲ ἐξωτερικοὺς ἐκάλεσεν. Τοῖς δὲ τὰ τελεώτερα μαθήματα ἐπίστευε, τοῖς δὲ τὰ μετριώτερα.*

91. *τὴν ἀρχὴν* B *τι ὕδωρ* vulgo 95. *ἄστρων* Roeperus: *ἀέρων* vulgo 95. *φέρεσθαί* Roeperus: *φύεσθαί* vulgo 97. *Θεῖον*] *Θεὸν* vulgo cf. Clem. Alex. Strom. V p. 594 D sqq. Sylb. *τί ἐστι τὸ θεῖον; τὸ μήτε ἀρχὴν, ἔφη, μήτε τέλος ἔχον* et Krische Forschungen auf dem Gebiete der alten Philosophie 1, 38 sqq. 2. *ὃν*] *ᾧ* Wolfius: *ὅτ'*

1. Dicitur Thales Milesius unus de septem sapientibus primus philosophiae physicae auctor extitisse. Hic dixit principium universi esse et finem aquam. Ex ea enim omnia constare et concreta et rursus dissoluta, et ea sustineri omnia, unde et terrae motus et flaminum conversiones et astrorum motus. Et omnia et ferri et fluere primi ortus ipsorum auctoris naturam secuta. Divinum autem id esse quod neque principium habeat neque finem. Hic circa astrorum rationem et investigationem versatus Graecis huius doctrinae primus auctor evadit, qui vultu in caelum sublato et sublimia curiose perspicere iactans in puteum incidit, quem irridens ancilla quaedam Thratta nomine dixit: Res caelestes nisus novisse quae sunt ad pedes non novit. Floruit autem aetate Croesi.

2. Est autem etiam alia philosophia non longe distans ab iisdem temporibus, cuius auctor extitit Pythagoras, quem Samium quidam ferunt; quam Italicam appellaverunt, propterea quod Pythagoras cum fugeret Polycratem Samiorum tyrannum habitaverit urbem Italiae ibique vitam expleverit. Cuius doctrinam qui exceperunt non multum discrepuerunt ab eadem sententia. Et ipse vero res physicas rimatus miscuit astronomiam et geometriam et musicam et arithmeticam. Et sic monadem edixit esse deum, numeri autem naturam curiose cum perdidicisset, concinere dixit mundum et per harmoniam constare, et septem siderum primus motum in rhythmum et concentum redegit. Admiratus autem administrationem universorum voluit principio silere discipulos, cum quasi mystae universi in mundum venissent; deinde ubi satis illi visi sunt magnos progressus in disciplina sua fecisse et perite de sideribus et natura posse disputare, puros arbitratus tum demum iubet vocem mittere. Hic discipulos discriminavit cum alteros esotericos, exotericos alteros vocavit. Alteris autem altiora praecepta concredebat, alteris autem tenuiora. Attigit autem etiam magi-

Roeperus 3. *εἰδέναι* Roeperus coll. Plat. Theaet. p. 174 A: *ἰδεῖν* vulgo 8. *Σαμίων?* Roeperus 10. *περὶ φύσεως* B 11. 12. *καὶ ἀριθμητικήν* add Roeperus, quem cfr. p. 520 sq. 14. *ἁρμονίᾳ*] *καθ᾽ ἁρμονίαν* Roeperus p. 521 *ἀστέρων* L 15. *ἀνήγαγεν* Roeperus

ἐφήψατο δὲ καὶ μαγικῆς, ὥς φασι, καὶ φυσιογνωμονικὴν αὐτὸς ἐξεῦρεν ἀριθμούς τινας καὶ μέτρα ὑποθέμενος, λέγων τὴν ἀρχὴν τῆς ἀριθμητικῆς φιλοσοφίαν κατὰ σύνθεσιν περιέχειν τόνδε τὸν τρόπον. Ἀριθμὸς γέγονε πρῶτος ἀρχή, ὅπερ ἐστὶν ἀόριστον, ἀκατάληπτον, ἔχων ἐν ἑαυτῷ πάντας τοὺς ἐπ' ἄπειρον δυναμένους ἐλθεῖν ἀριθμοὺς κατὰ τὸ πλῆθος. Τῶν δὲ ἀριθμῶν ἀρχὴ γέγονε καθ' ὑπόστασιν ἡ πρώτη μονάς, ἥτις ἐστὶ μονὰς ἄρσην γεννῶσα πατρικῶς πάντας τοὺς ἄλλους ἀριθμούς. Δεύτερον ἡ δυὰς θῆλυς ἀριθμός, ὁ δὲ αὐτος καὶ ἄρτιος | ὑπὸ τῶν ἀριθμητικῶν καλεῖται. Τρίτον ἡ τριὰς ἀριθμὸς ἄρσην, οὗτος καὶ περισσὸς ὑπὸ τῶν ἀριθμητικῶν νενομοθέτηται καλεῖσθαι. Ἐπὶ πᾶσι δὲ τούτοις ἡ τετρὰς θῆλυς ἀριθμός, ὁ δὲ αὐτὸς καὶ ἄρτιος καλεῖται ὅτι θῆλυς ἐστίν. Γεγόνασιν οὖν οἱ πάντες ἀριθμοὶ ληφθέντες ἀπὸ γένους τέσσαρες (ἀριθμὸς δ' ἦν τὸ γένος ἀόριστος), ἀφ' ὧν ὁ τέλειος αὐτοῖς συνέστηκεν ἀριθμὸς ἡ δεκάς. Τὸ γὰρ ἕν, δύο, τρία, τέσσαρα γίνεται δέκα, ἐὰν ἑκάστῳ τῶν ἀριθμῶν φυλάσσηται κατ' οὐσίαν τὸ οἰκεῖον ὄνομα. Ταύτην ὁ Πυθαγόρας ἔφη ἱερὰν τετρακτύν, πηγὴν ἀεννάου φύσεως ῥιζώματα ἔχουσαν ἐν ἑαυτῇ, καὶ ἐκ τούτου τοῦ ἀριθμοῦ πάντας ἔχειν τοὺς ἀριθμοὺς τὴν ἀρχήν. ὁ γὰρ ἕνδεκα καὶ ὁ δώδεκα καὶ οἱ λοιποὶ τὴν ἀρχὴν τοῦ εἶναι ἐκ τοῦ δέκα μετέχουσι. Ταύτης τῆς δεκάδος, τοῦ τελείου ἀριθμοῦ, τὰ τέσσαρα καλεῖται μέρη ἀριθμός, μονάς, δύναμις, κύβος. Ὧν καὶ ἐπιπλοκαὶ καὶ μίξεις πρὸς γένεσιν αὐξήσεως γίνονται, κατὰ φύσιν τὸν γόνιμον ἀριθμὸν ἀποτελοῦσαι· ὅταν γὰρ δύναμις αὐτὴ ἐφ' ἑαυτὴν κυβισθῇ, γέγονε δυναμοδύναμις· ὅταν δὲ δύναμις ἐπὶ κύβον, γέγονε δυναμόκυβος, ὅταν δὲ κύβος ἐπὶ κύβον, γέγονε κυβόκυβος· ὡς γίνεσθαι τοὺς πάντας ἀριθμούς, ἐξ ὧν ἡ τῶν γι-

23. *φυσιογνωμονικὴν* B cfr. Roeperus p. 521 sqq.: *φυσιογονικὴν* vulgo *αὐτὸς*] *πρῶτος?* Roeperus: *πρῶτος αὐτὸς?* 25. cfr. p. 89, 14 sqq., ubi paene eadem iterantur *φιλοσοφίας* vulgo 26. *ἐστὶν ἓν* vulgo, cfr. infra p. 89, 16. 27. *ἀόριστος, ἀκατάληπτος* vulgo, cfr. p. 89, 16. 29. *ὑπόστασιν* Codd: *ὑπόθεσιν* pr L et vulgo 33. *ἀριθμῶν* B O *νενομοτέθηται* vulgo 36. Infra p. 89, 27 *ἀπὸ τοῦ γένους* 37. *ἀόριστον* vulgo; cfr. infra p. 89, 28. *τέλειος*] *τρίτος* B 40. 41. *πηγὴν ἀεννάου φύσεως*] *ἀένναον φύσιν* T De scriptura *ἀένναος* posterioris aetatis scriptoribus familiari dixit Lehrsius in Jahnii

cam artem, ut volunt, et physiognomonicam ipse invenit numeros quosdam et mensuras pro fundamento statuens, cum dicebat principium arithmeticae philosophiam per compositionem continere in hunc modum. Numerus extitit primum principium, quod quidem est infinitum, incomprehensibile, continens in se omnes qui in infinitum possunt venire numeros per multitudinem. Numerorum autem principium extitit per substantiam prima monas, quae est monas masculina gignens instar patris omnes reliquos numeros. Altero loco dyas femininus numerus, idem autem etiam par ab arithmeticis vocatur. Tertium trias numerus masculinus, hic etiam impar ab arithmeticis receptum est ut vocetur. Super omnes autem hos tetras femininus numerus, idem autem etiam par vocatur quia femininus est. Existunt igitur universi numeri sumti generatim quattuor (numerus autem erat ad sexum indefinitus), unde constitit illis perfectus numerus decas. Etenim unum, duo, tria, quattuor efficiunt decem, ubi singulis numeris servabitur ex re domesticum nomen. Hanc Pythagoras appellavit sanctam tetractyn, fontem sempiternae naturae radices habentem in sese, et ex hoc numero reliquos omnes habere numeros principium. Numerus enim undenarius et duodenarius et qui sunt praeterea principium existentiae ex denario participant. Huius denarii numeri, qui perfectus est, quattuor vocantur partes: numerus, monas, potentia, cubus. Quorum etiam complexiones et mixtiones ad generationem augmenti fiunt, per naturam genitalem numerum perficientes. Cum enim potentia ipsa secum ipsa multiplicabitur, fit dynamodynamis, cum autem potentia cum cubo, existit dynamocubus, cum autem cubus cum cubo, existit cubocubus, ut fiant omnes numeri, ex quibus

annalibus a. 1828. 41. *φύσεως ὡς* vulgo; cfr. infra p. 90, 33. 42. Accuratius infra p. 90, 33. sq. *τοὺς ἄλλους πάντας ἀριθμούς* 43. *τοῦ εἶναι*] *τῆς γενέσεως* infra p. 90, 35. 45. *ἀριθμός, μονάς*] Roepero p. 531. ordo verborum ita mutandus videtur: *μονάς, ἀριθμός.* 47. *αὐτὴ*] *αὐτὴν* vulgo: *αὑτὴν* Salvinius; cfr. infra p. 90, 40. 48. *κυβισθῇ* Roeperus: *κυβιστῇ* vulgo: *κυβισθήσεται* infra p. 90, 40. 49. *γέγονε δυναμόκυβος — κύβον* in Codd. omissa restituimus ex p. 90, 41 sq., qualia fere iam Wolfius desideravit

νομένων γένεσις γίνεται, ἑπτά· ἀριθμόν, μονάδα, δύναμιν, κύβον, δυναμοδύναμιν, δυναμόκυβον, κυβόκυβον.

Οὗτος καὶ ψυχὴν ἀθάνατον εἶπε καὶ μετενσωμάτωσιν· διὸ ἔλεγεν ἑαυτὸν πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδην γεγονέναι, ἐν δὲ τοῖς Τρωϊκοῖς Εὔφορβον, μετὰ δὲ ταῦτα Ἑρμότιμον Σάμιον, μεθ' ὃν Πύρρον Δήλιον, πέμπτον Πυθαγόραν. Διόδωρος δὲ ὁ Ἐρετριεὺς καὶ Ἀριστόξε|νος ὁ μουσικός φασι πρὸς Ζαράταν τὸν Χαλδαῖον ἐληλυθέναι Πυθαγόραν· τὸν δὲ ἐκθέσθαι αὐτῷ δύο εἶναι ἀπ' ἀρχῆς τοῖς οὖσιν αἴτια, πατέρα καὶ μητέρα· καὶ πατέρα μὲν φῶς, μητέρα δὲ σκότος, τοῦ δὲ φωτὸς μέρη θερμόν, ξηρόν, κοῦφον, ταχύ· τοῦ δὲ σκότους ψυχρόν, ὑγρόν, βαρύ, βραδύ· ἐκ δὲ τούτων πάντα τὸν κόσμον συνεστάναι, ἐκ θηλείας καὶ ἄρρενος. Εἶναι δὲ τὸν κόσμον φύσιν κατὰ μουσικὴν ἁρμονίαν, διὸ καὶ τὸν ἥλιον ποιεῖσθαι τὴν περίοδον ἐναρμόνιον. Περὶ δὲ τῶν ἐκ γῆς καὶ κόσμου γινομένων τάδε φασὶ λέγειν τὸν Ζαράταν· δύο δαίμονας εἶναι, τὸν μὲν οὐράνιον, τὸν δὲ χθόνιον· καὶ τὸν μὲν χθόνιον ἀνιέναι τὴν γένεσιν ἐκ τῆς γῆς· εἶναι δὲ ὕδωρ· τὸν δὲ οὐράνιον πῦρ μετέχον τοῦ ἀέρος, θερμὸν τοῦ ψυχροῦ· διὸ καὶ τούτων οὐδὲν ἀναιρεῖν οὐδὲ μιαίνειν φησὶ τὴν ψυχήν· ἔστι γὰρ ταῦτα οὐσία τῶν πάντων. Κυάμους δὲ λέγεται παραγγέλλειν μὴ ἐσθίειν, αἰτίᾳ τοῦ τὸν Ζαράταν εἰρηκέναι κατὰ τὴν ἀρχὴν καὶ σύγκρισιν τῶν πάντων συνισταμένης τῆς γῆς ἔτι καὶ συνσεσημμένης γενέσθαι τὸν κύαμον. τούτου δὲ τεκμήριόν φησιν, εἴ τις καταμασησάμενος λεῖον τὸν κύαμον καταθείη πρὸς ἥλιον χρόνον τινά (τοῦτο γὰρ εὐθέως ἀντιλήψεται), προσφέρειν ἀνθρωπίνου γόνου ὀδμήν. Σαφέστερον δὲ εἶναι καὶ ἕτερον παράδειγμα λέγει, εἰ ἀνθοῦντος τοῦ κυάμου λαβόντες τὸν κύαμον καὶ τὸ ἄνθος αὐτοῦ καὶ καταθέντες εἰς χύτραν ταύτην τε καταχρίσαντες εἰς γῆν κατορύξαιμεν καὶ μετ' ὀλίγας ἡμέρας ἀνακαλύψαιμεν, ἴδοιμεν αὐτὸ εἶδος ἔχον τὸ μὲν πρῶτον ὡς αἰσχύνην γυναικός, μετὰ δὲ ταῦτα κατανοούμενον παιδίου κεφαλὴν συμπεφυκυῖαν. Οὗτος ἐν Κρότωνι τῆς Ἰταλίας ἅμα τοῖς μαθηταῖς ἐμπυρισθεὶς διεφθάρη. Ἔθος δὲ τοῦτο | ἦν παρ' αὐτῷ, ἐπειδὰν προσήει τις μαθητευσόμενος, πιπράσκειν τὰ ὑπάρχοντα καὶ τὸ ἀργύριον κατατι-

51. ἀριθμόν, μονάδα] cfr. Roeperum p. 531. 54. Θαλλίδην vulgo 56. 57. De Diodoro Eretriensi cfr. Roeperum p. 532—35. 62. πάντα Roeperus: πάντων vulgo 63. φύσιν κατὰ] φύσιν καὶ

gignentium genitura oritur, septem: numerus, monas, potentia, cubus, dynamodynamis, dynamocubus, cubocubus.

Hic etiam animam immortalem docuit et migrationem animarum. Quapropter dixit semet ante Troiana tempora Aethalidam extitisse, Troianis autem temporibus Euphorbum, posthac autem Hermotimum Samium, post quem Pyrrhum Delium, quintum Pythagoram. Diodorus autem Eretriensis et Aristoxenus musicus dicunt ad Zaratam Chaldaeum venisse Pythagoram, illum autem exposuisse ei duas esse a principio causas rerum, patrem et matrem, et patrem quidem lucem, matrem autem tenebras, lucis autem partes calidum, aridum, leve, citum, tenebrarum autem frigidum, humidum, grave, tardum; ex his autem omnem mundum constare, ex feminino et masculo. Esse autem mundum ad naturam suam musicum concentum, quapropter etiam solem facere circuitum per concentum. De iis autem quae ex terra et mundo existunt haec aiunt dicere Zaratam. Duos genios esse, alterum caelestem, alterum terrestrem, et terrestrem quidem submittere generationem ex terra, esse autem aquam, caelestem autem esse ignem participem aëris, calidum frigidi; quare etiam horum nihil interimere nec maculare ait animam; sunt enim haec substantia omnium. Fabis autem dicitur vetare vesci propterea quod Zaratas dixerit in initio et concretione omnium, cum terra etiamtum concinnaretur et computresceret, ortam esse fabam. Huius autem rei documentum esse ait, si quis nudatam siliquis fabam manducaverit et deposuerit adversus solem per tempus (id enim ilico iuvabit) afferre humani seminis odorem. Apertius autem etiam alterum ait documentum esse, si florescentem decerpserimus fabam floremque eius eamque deposuerimus in olla et hanc circumlitam in terra defoderimus et paucos post dies retexerimus, videbimus eam speciem praebere primum quidem ut pudendum muliebre, posthac autem accuratius consideratam infantis caput recens concretum. Hic Crotone Italiae una cum discipulis igni concrematus periit. Institutum autem hoc erat apud eum, sicubi ad eum se conferebat quispiam disciplina

vulgo: φησὶν καὶ L M: τὴν κόσμου φύσιν καὶ Roeperus 69. τοῦ ψυχροῦ Roeperus: καὶ ψυχρόν vulgo: ὑγροῦ? ἀναιρεῖ Roeperus 76. προσφέρειν T: προσφέρει vulgo

θέναι ἐσφραγισμένον παρὰ τῷ Πυθαγόρᾳ, καὶ ὑπέμεινε σιωπῶν ὅτε μὲν ἔτη τρία, ὅτε δὲ πέντε καὶ μανθάνων. αὖθις δὲ λυθεὶς ἐμίσγετο τοῖς ἑτέροις καὶ παρέμενε μαθητὴς καὶ συνειστιᾶτο ἅμα, εἰ δ᾽ οὔ, ἀπελάμβανε τὸ ἴδιον καὶ ἀπεβάλλετο. Οἱ μὲν οὖν ἐσωτερικοὶ ἐκαλοῦντο Πυθαγόρειοι, οἱ δὲ ἕτεροι Πυθαγορισταί. Τῶν δὲ μαθητῶν αὐτοῦ οἱ διαφυγόντες τὸν ἐμπρησμὸν Λῦσις ἦν καὶ Ἄρχιππος καὶ ὁ τοῦ Πυθαγόρου οἰκέτης Ζάμολξις, ὃς καὶ τοὺς παρὰ Κελτοῖς Δρυΐδας λέγεται διδάξαι φιλοσοφεῖν τὴν Πυθαγόρειον φιλοσοφίαν. Τοὺς δὲ ἀριθμοὺς καὶ τὰ μέτρα παρὰ Αἰγυπτίων φασὶ τὸν Πυθαγόραν μαθεῖν, ὃς καταπλαγεὶς τῇ τῶν ἱερέων ἀξιοπίστῳ καὶ φαντασιώδει καὶ δυσχερῶς ἐξαγορευομένῃ σοφίᾳ, μιμησάμενος ὁμοίως καὶ αὐτὸς σιγᾶν προσέταξεν καὶ ἐν ἀδύτοις καταγείοις ἐρημεῖν ἐποίει μανθάνοντας.

3. Ἐμπεδοκλῆς δὲ μετὰ τούτους γενόμενος καὶ περὶ δαιμόνων φύσεως εἶπε πολλά, ὡς ἀναστρέφονται διοικοῦντες τὰ κατὰ τὴν γῆν ὄντες πλεῖστοι. Οὗτος τὴν τοῦ παντὸς ἀρχὴν νεῖκος καὶ φιλίαν ἔφη· καὶ τὸ τῆς μονάδος νοερὸν πῦρ τὸν θεόν, καὶ συνεστάναι ἐκ πυρὸς τὰ πάντα καὶ εἰς πῦρ ἀναλυθήσεσθαι· ᾧ σχεδὸν καὶ οἱ Στωϊκοὶ συντίθενται δόγματι, ἐκπύρωσιν προσδοκῶντες. μάλιστα δὲ πάντων συγκατατίθεται τῇ μετενσωματώσει, οὕτως εἰπών·

Ἤτοι μὲν γὰρ ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θαμνός τ᾽ οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς.

Οὗτος πάσας εἰς πάντα τὰ ζῶα μεταλλάττειν εἶπε τὰς | ψυχάς. Καὶ γὰρ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἔφη ἑαυτὸν Εὔφορβον γεγονέναι τὸν ἐπὶ Ἴλιον στρατεύσαντα, φάσκων ἐπιγινώσκειν τὴν ἀσπίδα. Ταῦτα μὲν ὁ Ἐμπεδοκλῆς.

4. Ἡράκλειτος δὲ φυσικὸς φιλόσοφος, ὁ Ἐφέσιος, τὰ πάντα ἔκλαιεν ἄγνοιαν τοῦ παντὸς βίου καταγινώσκων καὶ πάντων ἀνθρώπων, ἐλεῶν δὲ τὸν τῶν θνητῶν βίον. αὐτὸν μὲν γὰρ ἔφασκε τὰ πάντα εἰδέναι, τοὺς δὲ ἄλλους ἀνθρώπους οὐδέν. Καὶ αὐτὸς δὲ σχεδὸν σύμφωνα τῷ Ἐμπεδοκλεῖ ἐφθέγξατο, στάσιν καὶ φιλίαν φήσας τῶν ἁπάντων ἀρχὴν εἶναι καὶ πῦρ νοε-

86. *Πυθαγόρῃ* vulgo   87. *μανθάνων* Wolfius: *μανθάνειν* vulgo   92. *Λύσις* vulgo   93. *Ζαμέτος* B   98. *καταγείοις* Roeperus: *κατάγων* vulgo   *ἐρημεῖν* Roeperus: *ἠρεμεῖν* vulgo   99. *μανθάνοντα* vulgo   9. 10. Leguntur hi versus apud Karsten. v. 380. sq.,

usurus, ut venderet quae haberet pecuniamque deponeret signatam apud Pythagoram, et manebat silens, aliquando tres annos, interdum quinque, et discens; rursus autem solutus miscebatur cum reliquis et remanebat sectator et simul coenabat, sin minus, recipiebat sua et reiiciebatur. Alteri igitur qui esoterici erant vocabantur Pythagorei, alteri autem Pythagoristae. Ex discipulis autem eius qui evaserunt conflagrationem Lysis erat et Archippus et Pythagorae servus Zamolxis, qui etiam apud Celtas Druidas docuisse fertur Pythagorica philosophari. Numeros autem et mensuras ab Aegyptiis dicunt Pythagoram didicisse, qui admiratus sacerdotum gravem et speciosam et non nisi difficulter cum aliis communicatam sapientiam, imitatus et ipse pariter silentium imponebat, et in adytis subterraneis solitariam vitam agere discentes instituebat.

Empedocles autem, qui post hos natus est, etiam de geniorum natura dixit multa, ut versentur administrantes res mundanas, numero permulti. Hic universi principium discordiam et amicitiam dixit, et monadis ignem mente praeditum deum, et constitisse ex igni universa et in ignem resolutum iri. Cui fere et Stoici adstipulantur decreto conflagrationem exspectantes. Maxime autem omnium consentit cum migratione animarum, sic fatus:

Profecto enim ego extiti puerque puellaque
Frutexque alesque et ex mari exsul piscis.

Hic omnes animas in omnia animalia transmutari dixit. Etenim horum auctor Pythagoras dixit se Euphorbum fuisse, qui ad Troiam imperitavit, affirmans se recognoscere clypeum. Haec quidem Empedocles.

Heraclitus autem physicus philosophus, Ephesius universas res lugebat inscitiam universae vitae coarguens et omnium hominum, miseratus mortalium vitam. Semet enim dicebat omnia cognovisse, reliquos autem homines nihil. Et ipse vero paene congrua Empedocli pronunciavit, discordiam et amicitiam statuens universorum principium esse et ignem intelligibilem deum,

apud Stein. v. 383 sq. 10. Θαμνός] καὶ θήρ Cedrenus, et profecto quadrupedis mentio desideratur. An ἀμνός? ἐξ ἁλὸς] εἰν ἁλὶ alii ἔμπορος] Alii aliter; vide Karsten. et Stein. 12. τούτου ὧν Roeperus p. 606. 13. περὶ Ἴλιον Roeperus. 17. ἐλεῶν δὴ Roeperus

ρὸν τὸν θεὸν συμφέρεσθαί τε τὰ πάντα ἀλλήλοις καὶ οὐχ ἑστάναι, καὶ ὥσπερ ὁ Ἐμπεδοκλῆς πάντα τὸν καθ' ἡμᾶς τόπον ἔφη κακῶν μεστὸν εἶναι καὶ μέχρι μὲν σελήνης τὰ κακὰ φθάνειν ἐκ τοῦ περὶ γῆν τόπου ταθέντα, περαιτέρω δὲ μὴ χωρεῖν, ἅτε καθαρωτέρου τοῦ ὑπὲρ τὴν σελήνην παντὸς ὄντος τόπου. Οὕτω καὶ τῷ Ἡρακλείτῳ ἔδοξεν.

5. Μετὰ τούτους ἐγένοντο καὶ ἕτεροι φυσικοί, ὧν οὐκ ἀναγκαῖον ἡγησάμεθα τὰς δόξας εἰπεῖν, μηδὲν τῶν προειρημένων ἀπεμφαινούσας. Ἀλλ' ἐπεὶ καθόλου οὐ μικρὰ γεγένηται ἡ σχολὴ πολλοί τε οἱ μετέπειτα φυσικοὶ ἐξ αὐτῶν γεγένηνται ἄλλοι ἄλλως περὶ φύσεως τοῦ παντὸς διηγούμενοι, καὶ δοκεῖ ἡμῖν τὴν ἀπὸ Πυθαγόρου ἐκθεμένους φιλοσοφίαν κατὰ διαδοχὴν ἀναδραμεῖν ἐπὶ τὰ δόξαντα τοῖς μετὰ Θαλῆν, καὶ ταῦτα ἐξειπόντας ἐλθεῖν ἐπί τε τὴν ἠθικὴν καὶ λογικὴν φιλοσοφίαν, ὧν ἦρξαν Σωκράτης μὲν ἠθικῆς, Ἀριστοτέλης δὲ διαλεκτικῆς.|

6. Θαλοῦ τοίνυν Ἀναξίμανδρος γίνεται ἀκροατής. Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος. Οὗτος ἀρχὴν ἔφη τῶν ὄντων φύσιν τινὰ τοῦ ἀπείρου, ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους. Ταύτην δ' ἀΐδιον εἶναι καὶ ἀγήρω, ἣν καὶ πάντας περιέχειν τοὺς κόσμους. Λέγει δὲ χρόνον ὡς ὡρισμένης τῆς γενέσεως καὶ τῆς οὐσίας καὶ τῆς φθορᾶς. Οὗτος μὲν ἀρχὴν καὶ στοιχεῖον εἴρηκε τῶν ὄντων τὸ ἄπειρον, πρῶτος τοὔνομα καλέσας τῆς ἀρχῆς. Πρὸς δὲ τούτῳ κίνησιν ἀΐδιον εἶναι, ἐν ᾗ συμβαίνειν γίνεσθαι τοὺς οὐρανούς. Τὴν δὲ γῆν εἶναι μετέωρον ὑπ' οὐδενὸς κρατουμένην, μένουσαν διὰ τὴν ὁμοίαν πάντων ἀπόστασιν. Τὸ δὲ σχῆμα αὐτῆς γυρόν, στρογγύλον, κίονι λίθῳ παραπλήσιον. Τῶν δὲ ἐπιπέδων ᾧ μὲν ἐπιβεβήκαμεν, ὃ δὲ ἀντίθετον ὑπάρχει. Τὰ δὲ ἄστρα γίνεσθαι κύκλον πυρός, ἀποκριθέντα τοῦ κατὰ τὸν κόσμον πυρός, περιληφθέντα δ' ὑπὸ ἀέρος. Ἐκπνοὰς δ' ὑπάρξαι τινὰς ἀερώδεις, καθ' οὓς τόπους φαίνεται τὰ ἄστρα· διὸ καὶ ἐπιφρασσομένων τῶν ἐκπνοῶν τὰς ἐκλείψεις γίνεσθαι. Τὴν δὲ σελήνην ποτὲ μὲν πληρουμένην φαίνεσθαι, ποτὲ δὲ μειουμένην κατὰ τὴν τῶν

21. συμφέρεσθαι Roeperus: ἐμφέρεσθαι vulgo 22. καθ' ἡμῶν Gronovius 23. μὲν T Roeperus: δὲ vulgo 35. ἠθικὸς — διαλεκτικός Gronovius 39. τοὺς — κόσμους H. Ritterus: τὸν — κόσμον vulgo 43. τούτων B T 44. συμβαίνειν Roeperus: συμβαίνει vulgo οὐρανούς] ἀνθρώπους B 45. μηδενὸς T 46.

conferrique universa invicem et non consistere, et sicut Empedocles omnem circa nos locum dixit malis confertum esse et usque ad lunam quidem pertingere mala ex loco circa tellurem porrecta, ulterius autem non progredi, quippe cum omnis supra lunam purior sit locus. Ita etiam Heraclito visum est.

Post hos extiterunt etiam alii physici, quorum non necessarium arbitrati sumus decreta apponere, quippe quae nihil ab iis quae supra dicta sunt discrepent. Sed cum in universum non exigua extiterit schola multique postea physici ex iis orti sint, alii aliter de natura universi disserentes, etiam videtur nobis exposita per successiones a Pythagora philosophia recurrere ad ea quae placuerunt Thaletis successoribus, hisque enarratis accedere ad ethicam et logicam philosophiam, quarum auctores extiterunt Socrates ethicae, Aristoteles autem dialecticae.

Thaletis igitur Anaximander fuit auditor. Anaximander Praxiadae Milesius. Hic principium dixit rerum naturam quandam infiniti, ex qua existere caelos mundosque qui sunt in iis. Principium autem esse aeternum et senii expers, quod universos contineat mundos. Dicit autem tempus ut finita generatione et existentia et interitu. Hic principium et fundamentum dixit rerum id quod infinitum est, primusque nuncupavit nomen principii. Praeterea autem motum sempiternum esse, per quem fieri ut existant caeli. Terram autem pendulam esse, nulla re roboratam, manentem propter parem omnium distantiam. Figuram autem eius curvam, rotundam, columnae lapidi similem. Planitierum alteri insistimus, altera autem opposita est. Stellas autem esse orbem ignis, discretum ab igni qui est circa mundum, comprehensum autem ab aëre. Exspirationes autem extare quasdam aërias, per quae loca lucent stellae, quapropter etiam exspirationibus obstructis eclipses fieri. Lunam autem alias plenam apparere, aliquando autem minuentem secundum tramitum obstructionem aut reclusionem. Esse autem orbem

γυρὸν Roeperus: ὑγρὸν vulgo 47. κίονι Wolfius: χίονι vulgo; cfr. Roeperus p. 607. sq., qui ab Anaximandro ipso κιονέῃ profectum arbitratur 47. 48. ὃν ἐπιβεβήκαμεν, ὃ μὲν δὲ B O: τῷ μὲν — τόδε Salvinius 50. 51. τόπους τινὰς ἀερώδεις καθ' οὓς φαίνεται vulgo; correxit Roeperus p. 608.

πόρων ἐπίφραξιν ἢ ἄνοιξιν. Εἶναι δὲ τὸν κύκλον τοῦ ἡλίου ἑπτακαιεικοσιπλασίονα τῆς σελήνης, καὶ ἀνωτάτω μὲν εἶναι τὸν ἡλίου, κατωτάτω δὲ τοὺς τῶν ἀπλανῶν ἀστέρων κύκλους. Τὰ δὲ ζῶα γίνεσθαι ἐξατμιζόμενα ὑπὸ τοῦ ἡλίου. Τὸν δὲ ἄνθρωπον ἑτέρῳ ζώῳ γεγονέναι, τούτεστιν ἰχθύϊ, παραπλήσιον κατ' ἀρχάς. Ἀνέμους δὲ γίνεσθαι τῶν λεπτοτάτων ἀτμῶν τοῦ ἀέρος ἀποκρινομένων καὶ | ὅταν ἀθροισθῶσι κινουμένων, ὑετὸν δὲ ἐκ γῆς ἀναδιδομένης ἐκ τῶν ὑφ' ἥλιον· ἀστραπὰς δέ, ὅταν ἄνεμος ἐμπίπτων διϊστᾷ τὰς νεφέλας. Οὗτος ἐγένετο κατὰ ἔτος τρίτον τῆς τεσσαρακοστῆς δευτέρας ὀλυμπιάδος.

7. Ἀναξιμένης δὲ καὶ αὐτὸς ὢν Μιλήσιος, υἱὸς δ' Εὐρυστράτου, ἀέρα ἄπειρον ἔφη τὴν ἀρχὴν εἶναι, ἐξ οὗ τὰ γινόμενα, τὰ γεγονότα καὶ τὰ ἐσόμενα, καὶ θεοὺς καὶ θεῖα γίνεσθαι, τὰ δὲ λοιπὰ ἐκ τῶν τούτων ἀπογόνων. Τὸ δὲ εἶδος τοῦ ἀέρος τοιοῦτον, ὅταν μὲν ὁμαλώτατος ᾖ, ὄψει ἄδηλον, δηλοῦσθαι δὲ τῷ ψυχρῷ καὶ τῷ θερμῷ καὶ τῷ νοτερῷ καὶ τῷ κινουμένῳ, κινεῖσθαι δὲ ἀεί· οὐ γὰρ μεταβάλλειν ὅσα μεταβάλλει, εἰ μὴ κινοῖτο. Πυκνούμενον γὰρ καὶ ἀραιούμενον διάφορον φαίνεσθαι· ὅταν γὰρ εἰς τὸ ἀραιότερον διαχυθῇ, πῦρ γίνεσθαι, μέσως δὲ πάλιν εἰς ἀέρα πυκνούμενον ἐξ ἀέρος νέφος ἀποτελεῖσθαι κατὰ τὴν πίλησιν, ἔτι δὲ μᾶλλον ὕδωρ, ἐπὶ πλεῖον πυκνωθέντα γῆν, καὶ εἰς τὸ μάλιστα πυκνώτατον λίθους. Ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν. Τὴν δὲ γῆν πλατεῖαν εἶναι ἐπ' ἀέρος ὀχουμένην, ὁμοίως δὲ καὶ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα· πάντα γὰρ πύρινα ὄντα ἐποχεῖσθαι τῷ ἀέρι διὰ πλάτος. Γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι. Εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμφερομένας ἐκείνοις. Οὐ κινεῖσθαι δὲ ὑπὸ γῆν τὰ ἄστρα λέγει, καθὼς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν, ὡσπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον, κρύπτεσθαί τε τὸν ἥλιον

55. *ἑπτακαιεικοσιπλασίονα*] Cfr. Roeperus, qui *ἑπτακοσιεικοσαπλασίονα* commendat p. 609 56. *ἡλίου* Roeperus: *ἥλιον* vulgo 61. Fortasse in verbis *τῶν ὑφ' ἥλιον* latet *τῶν νεφελῶν*; ceterum cfr. conamina Roeperi p. 610 67. *τούτων* T: *τούτου* vulgo 72. *γὰρ* Roepe-

solis septies et vicies maiorem luna, et in supremo loco esse solis, in infimo autem non errantium stellarum orbes. Animalia autem gigni evaporata a sole. Hominem autem alii animali, hoc est pisci, consimilem ab initio. Ventos autem nasci tenuissimis vaporibus aëris secretis et cum congregati sunt se moventibus, pluviam autem existere ex nubibus, fulgura autem, quando ventus incidens discindat nubes. Hic natus est anno Olympiadis quadragesimae secundae tertio.

Anaximenes autem, qui et ipse fuit Milesius, filius autem Eurystrati, aërem infinitum dixit principium esse, ex quo quaeque sint quaeque fuerint quaeque futura sint, et deos et divina nasci, reliqua autem ex horum subole. Speciem autem aëris talem esse: quando maxime aequalis sit non posse visu conspici, posse autem frigido et calido et humido et motu, in motu autem esse semper, non enim mutari quaecunque mutentur, nisi motus accedat. Condensatum enim et extenuatum diversum apparere; quando enim in tenuius diffundatur, ignem existere, in medio autem statu rursus in aërem condensatum, ex aëre nebulam gigni secundum coartationem, magis autem etiam aquam, maiorem in modum autem densatum terram et cum maxime densum lapides: ut primaria generationis principia sint contraria et calidum et frigidum. Terram autem planam esse in aëre vectam, similiter autem etiam solem et lunam et reliquas stellas, omnes enim quae igneae sint vehi in aëre per latitudinem. Natas autem esse stellas ex terra propterea quod humor ex hac surgat, quo tenuato ignem nasci, ex igni autem sursum lato stellas consistere. Esse autem etiam terrenas naturas in regione stellarum quae una ferantur cum illis. Non moveri autem sub terram stellas dicit, sicut alii statuerunt, sed circum terram, quemadmodum circum nostrum caput vertitur pileus, et occultari solem, non infra terram delatum, sed

rus: δὲ vulgo 73. πάλιν Roeperus: ἐπὰν vulgo 74. ἀποτελεῖσθαι Roeperus: ἀποτελεσθῇ vulgo 74. πίλησιν Salvinius: πήλλησιν T: πόλησιν reliqui 77. 78. πλατεῖαν ἐπ' ἀέρος ὀχουμένην B O: πλατεῖον εἶναι ἐπ' ἀέρος ἰχουμένην Gronovius 79. ἐπιχεῖσθαι L Θ

οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ᾽ ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων | μερῶν σκεπόμενον, καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν. Τὰ δὲ ἄστρα μὴ θερμαίνειν διὰ τὸ μῆκος τῆς ἀποστάσεως· ἀνέμους δὲ γεννᾶσθαι, ὅταν ἐκπεπυκνωμένος ὁ ἀὴρ ἀραιωθεὶς φέρηται, συνελθόντα δὲ καὶ ἐπὶ πλεῖον παχυθέντα νέφη γεννᾶσθαι, καὶ οὕτως εἰς ὕδωρ μεταβάλλειν. Χάλαζαν δὲ γίνεσθαι, ὅταν ἀπὸ τῶν νεφῶν τὸ ὕδωρ καταφερόμενον παγῇ· χιόνα δὲ, ὅταν αὐτὰ ταῦτα ἐνυγρότερα ὄντα πῆξιν λάβῃ· ἀστραπὴν δ᾽, ὅταν τὰ νέφη διϊστῆται βίᾳ πνευμάτων· τούτων γὰρ διϊσταμένων λαμπρὰν καὶ πυρώδη γίνεσθαι τὴν αὐγήν. Ἶριν δὲ γεννᾶσθαι τῶν ἡλιακῶν αὐγῶν εἰς ἀέρα συνεστῶτα πιπτουσῶν· σεισμὸν δὲ, τῆς γῆς ἐπὶ πλεῖον ἀλλοιουμένης ὑπὸ θερμασίας καὶ ψύξεως. Ταῦτα μὲν οὖν Ἀναξιμένης. Οὗτος ἤκμασε περὶ ἔτος πρῶτον τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος.

8. Μετὰ τοῦτον γίνεται Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος. Οὗτος ἔφη τὴν παντὸς ἀρχὴν νοῦν καὶ ὕλην, τὸν μὲν νοῦν ποιοῦντα, τὴν δὲ ὕλην γινομένην. Ὄντων γὰρ πάντων ὁμοῦ, νοῦς ἐπελθὼν διεκόσμησεν. Τὰς δ᾽ ὑλικὰς ἀρχὰς ἀπείρους ὑπάρχειν, καὶ τὰς σμικροτέρας αὐτῶν ἄπειρα λέγει. Κινήσεως δὲ μετέχειν τὰ πάντα ὑπὸ τοῦ νοῦ κινούμενα, συνελθεῖν τε τὰ ὅμοια. Καὶ τὰ μὲν κατὰ τὸν οὐρανὸν κεκοσμῆσθαι ὑπὸ τῆς ἐγκυκλίου κινήσεως. Τὸ μὲν οὖν πυκνὸν καὶ ὑγρὸν καὶ τὸ σκοτεινὸν καὶ ψυχρὸν καὶ πάντα τὰ βαρέα συνελθεῖν ἐπὶ τὸ μέσον, ἐξ ὧν παγέντων τὴν γῆν ὑποστῆναι· τὰ δ᾽ ἀντικείμενα τούτοις τὸ θερμὸν καὶ τὸ λαμπρὸν καὶ τὸ | ξηρὸν καὶ τὸ κοῦφον εἰς τὸ πρόσω τοῦ αἰθέρος ὁρμῆσαι. Τὴν δὲ γῆν τῷ σχήματι πλατεῖαν εἶναι καὶ μένειν μετέωρον διὰ τὸ μέγεθος καὶ διὰ τὸ μηδὲν εἶναι κενόν καὶ διὰ τὸ τὸν ἀέρα ἰσχυρότατον ὄντα φέρειν ἐποχουμένην τὴν γῆν. Τῶν δ᾽ ἐπὶ γῆς ὑγρῶν τὴν μὲν θάλασσαν ὑπάρξαι, τά τε ἐν αὐτῇ ὕδατα ἐξατμισθέντα .... ὑποστάντα οὕτως γεγονέναι καὶ ἀπὸ τῶν καταρρευσάντων ποταμῶν. Τοὺς δὲ ποταμοὺς καὶ ἀπὸ τῶν ὄμβρων λαμβάνειν τὴν ὑπόστασιν καὶ ἐξ ὑδάτων τῶν ἐν τῇ γῇ. Εἶναι γὰρ

91. 92: *παχυνθέντα* Salvinius 95. *διίσταται* vulgo 3. *Ἡγησιφόντου* T 7. Si contuleris locum Simplic. in Arist. Phys. fol. 33 b *Ἀναξαγόρας λέγων ἀπ᾽ ἀρχῆς· Ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν,* apparebit

a partibus terrae altioribus obtectum et propter maiorem a nobis distantiam quae incidat. Stellas autem non calefacere propter magnitudinem distantiae. Ventos autem nasci, quando condensatus aër extenuatus feratur, quando autem congressus sit et maiorem in modum crassus, nubes nasci et ita in aquam converti. Grandinem autem fieri, quando aqua a nubibus delata concrescat, nivem autem, quando hae ipsae humidiores cum sint coalescant, fulmen autem, quando nubes discindantur per vim ventorum, his enim discedentibus lucidum et ignitum existere splendorem. Iridem autem nasci solaribus radiis in aërem consistentem cadentibus, motum autem terrae terra maiorem in modum immutata per calefactionem et frigefactionem. Haec igitur Anaximenes. Hic floruit circa annum primum quinquagesimae octavae olympiadis.

Post hunc oritur Anaxagoras Hegesibuli Clazomenius. Hic dixit universi principium mentem et materiam, et mentem quidem efficientem, materiam autem fientem. Cum enim essent omnia simul, mens interveniens disposuit. Materialia autem principia infinita subesse et ad multitudinem et ad tenuitatem, etenim vel tenuiora infinita dicit. Motum autem pertinere ad omnia, a mente scilicet mota, congressaque esse quae consimilia sint. Et caelestia quidem ornata esse ab orbiculari motu. Densum igitur et humidum et obscurum et frigidum et omnia gravia congressa esse in medium, ex quibus concretis terram substitisse, contraria autem horum, calidum et clarum et aridum et leve in ulteriora aetheris nisa esse. Terram autem figura planam esse et manere pendulam propter magnitudinem et propterea quod nullum adsit inane et quia aër, qui sit robustissimus, ferat invectam terram. Humidorum autem in terra primum mare extitisse aquasque in eo exsiccatas .... substitisse et sic natum esse et ab amnibus qui in id defluxerint. Amnes autem et ab imbribus accipere sub-

Hippolytum haec potius scripsisse: *καὶ πλῆθος καὶ σμικρότητα· καὶ τὰ σμικρότερα γὰρ ἄπειρα λέγει* 8. 9. *συνελθεῖν δὲ* L 11. *βαρέα* Salvinius: *βαρεῖα* vulgo 19. Roeperus p. 610. 11 collatis aliorum scriptorum testimoniis lacunosa verba ita reficit: *ἐξατμισθέντων ὑπὸ τοῦ ἡλίου ἐκείνων ὑποστάντα* 21. *ὑδάτων* Roeperus: *αὐτῶν* vulgo

αὐτὴν κοίλην καὶ ἔχειν ὕδωρ ἐν τοῖς κοιλώμασιν. Τὸν δὲ Νεῖλον αὔξεσθαι κατὰ τὸ θέρος καταφερομένων εἰς αὐτὸν ὑδάτων ἀπὸ τῶν ἐν τοῖς ἀντοίκοις χιόνων. Ἥλιον δὲ καὶ σελήνην καὶ πάντα τὰ ἄστρα λίθους εἶναι ἐμπύρους συμπεριληφθέντας ὑπὸ τῆς αἰθέρος περιφορᾶς. Εἶναι δ' ὑποκάτω τῶν ἄστρων ἥλιον καὶ σελήνην καὶ σώματά τινα συμπεριφερόμενα ἡμῖν ἀόρατα, τῆς δὲ θερμότητος μὴ αἰσθάνεσθαι τῶν ἄστρων διὰ τὸ μακρὰν εἶναι [καὶ διὰ] τὴν ἀπόστασιν τῆς γῆς· ἔτι δὲ οὐχ ὁμοίως θερμὰ τῷ ἡλίῳ διὰ τὸ χώραν ἔχειν ψυχροτέραν. εἶναι δὲ τὴν σελήνην κατωτέρω τοῦ ἡλίου πλησιώτερον ἡμῶν. Ὑπερέχειν δὲ τὸν ἥλιον μεγέθει τὴν Πελοπόννησον. Τὸ δὲ φῶς τὴν σελήνην μὴ ἴδιον ἔχειν, ἀλλ' ἀπὸ τοῦ ἡλίου. Τὴν δὲ τῶν ἄστρων περιφορὰν ὑπὸ γῆν γίνεσθαι. Ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφραττούσης, ἐνίοτε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης, τὸν δὲ ἥλιον ταῖς νουμηνίαις σελήνης ἀντιφραττούσης. Τροπὰς δὲ ποιεῖσθαι καὶ ἥλιον καὶ σελήνην ἀπωθουμένους ὑπὸ τοῦ ἀέρος. Σελήνην δὲ πολλάκις τρέπεσθαι διὰ τὸ μὴ δύνασθαι κρατεῖν τοῦ ψυχροῦ. Οὗτος ἀφώρισε πρῶτος τὰ περὶ τὰς ἐκλείψεις καὶ φωτισμούς. Ἔφη δὲ γηΐνην εἶναι τὴν σελήνην ἔχειν τε | ἐν αὐτῇ πεδία καὶ φάραγγας. Τὸν δὲ γαλαξίαν ἀνάκλασιν εἶναι τοῦ φωτὸς τῶν ἄστρων τῶν μὴ καταλαμβανομένων ὑπὸ τοῦ ἡλίου. τοὺς δὲ μεταβαίνοντας ἀστέρας ὡσεὶ σπινθῆρας ἀφαλλομένους γίνεσθαι ἐκ τῆς κινήσεως τοῦ πόλου. Ἀνέμους δὲ γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου καὶ τῶν ἐκκαιομένων πρὸς τὸν πόλον ὑποχωρούντων καὶ ἀποφερομένων. Βροντὰς δὲ καὶ ἀστραπὰς ἀπὸ θερμοῦ γίνεσθαι ἐμπίπτοντος εἰς τὰ νέφη. Σεισμοὺς δὲ γίνεσθαι τοῦ ἄνωθεν ἀέρος εἰς τὸν ὑπὸ γῆν ἐμπίπτοντος· τούτου γὰρ κινουμένου καὶ τὴν ὀχουμένην γῆν ὑπ' αὐτοῦ σαλεύεσθαι. Ζῷα δὲ τὴν μὲν ἀρχὴν ἐν ὑγρῷ γενέσθαι, μετὰ ταῦτα δὲ ἐξ ἀλλήλων, καὶ ἄρρενας μὲν γίνεσθαι, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀποκριθὲν τὸ σπέρμα τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κολληθῇ, τὰ δὲ θήλεα κατὰ τοὐναντίον. Οὗτος ἤκμασεν ἔτους πρώτου τῆς ὀγδοηκοστῆς ὀγδόης ὀλυμπιάδος, καθ' ὃν καιρὸν καὶ Πλάτωνα λέγουσι γεγενῆσθαι. Τοῦτον λέγουσι καὶ προγνωστικὸν γεγονέναι.

24. ἀντοίκοις Roeperus p. 611. 612: ἀρκτοῖς vulgo 26. τῆς] τῆς τοῦ Brandis 27. ἡλίου καὶ σελήνης vel καὶ ἡλίου κ. σ. coniicit Ruaeus καὶ σώματα Brandis: σώματα vulgo; alia tentat Roeperus

sistentiam et ex aquis in terra; esse enim eam cavam et continere aquam in cavernis. Nilum autem augescere per aestatem, cum deferantur in eum aquae a nivibus apud antoecos. Solem autem et lunam omnesque stellas lapides esse ignitos circumvolutos una ab aetheris rotatione. Esse autem subter stellas solem et lunam et corpora quaedam una circumrotata nobis non conspecta; calorem autem non sentiri stellarum, quoniam longius distent a terra; praeterea vero non parem soli calorem habere, quia locum obtineant frigidiorem. Esse autem lunam inferiorem sole propiorem nobis. Superare autem magnitudine solem Peloponnesum. Lumen autem non habere suum lunam, sed a sole. Stellarum autem conversionem sub terram fieri. Deficere autem lunam terra officiente, interdum autem etiam iis quae sunt infra lunam, solem autem noviluniis luna officiente. Clinamina autem facere et solem et lunam, repulsa ab aëre; lunam autem saepe declinare propterea quod nequeat superare frigidum. Hic definivit primus doctrinam defectionum et illuminationum. Dixit autem terrenam esse lunam habereque in se campos et saltus. Circulum autem lacteum repercussionem esse lucis stellarum non superatarum a sole; discurrentes autem stellas tamquam scintillas resultantes oriri ex motu poli. Ventos autem nasci cum extenuetur aër a sole et partes exustae ad polum subeant et deferantur. Tonitrua autem et fulgura a calido fieri quod incidat in nubes. Motus autem terrae fieri cum superior aër incidat in subterraneum; hoc enim moto etiam vectam in eo terram ab eo concuti. Animalia autem initio in humido nata esse, post illa autem ex se invicem, et masculina quidem fieri cum a dextris partibus secretum semen dextris partibus uteri adhaerescat, feminina autem per contrarium. Hic floruit anno primo octogesimae octavae olympiadis, quo tempore et Platonem dicunt natum esse. Hunc aiunt etiam rerum futurarum praesagum fuisse.

29. *καὶ διὰ* delenda esse tautologia demonstrat. Aliter Roeperus p. 614 41. *Τὸν δὲ* Roeperus: *Τόν τε* vulgo 42. *καταλαμβανομένων*] *καταλαμπομένων* Gronovius 47. *δὲ* Roeperus: *τε* vulgo 49. *ἐμπίπτοντος* Schaubach: *ἐκπίπτοντος* vulgo 51. *γεννᾶσθαι* B

9. Ἀρχέλαος τὸ μὲν γένος Ἀθηναῖος, υἱὸς δὲ Ἀπολλοδώρου. Οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως, οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα. Εἶναι δ' ἀρχὴν τῆς κινήσεως τὸ ἀποκρίνεσθαι ἀπ' ἀλλήλων τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ μὲν θερμὸν κινεῖσθαι, τὸ δὲ ψυχρὸν ἠρεμεῖν. Τηκόμενον δὲ τὸ ὕδωρ εἰς μέσον ῥεῖν, ἐν ᾧ κατακαιόμενον ἀέρα γίνεσθαι καὶ γῆν, ὧν τὸ μὲν ἄνω φέρεσθαι, τὸ δὲ ὑφίστασθαι κάτω. Τὴν μὲν οὖν γῆν ἠρεμεῖν καὶ γενέσθαι διὰ ταῦτα, κεῖσθαι δ' ἐν μέσῳ οὐδὲν μέρος οὖσαν, ὡς | εἰπεῖν, τοῦ παντός, ἐκδεδομένου ἐκ τῆς πυρώσεως, ἀφ' οὗ πρῶτον ἀποκαιομένου τὴν τῶν ἀστέρων εἶναι φύσιν, ὧν μέγιστον μὲν ἥλιον, δεύτερον δὲ σελήνην, τῶν δὲ ἄλλων τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω. Ἐπικλιθῆναι δὲ τὸν οὐρανόν φησι, καὶ οὕτως τὸν ἥλιον ἐπὶ τῆς γῆς ποιῆσαι φῶς καὶ τόν τε ἀέρα ποιῆσαι διαφανῆ καὶ τὴν γῆν ξηράν. Λίμνην γὰρ εἶναι τὸ πρῶτον, ἅτε κύκλῳ μὲν οὖσαν ὑψηλήν, μέσον δὲ κοίλην. Σημεῖον δὲ φέρει τῆς κοιλότητος, ὅτι ὁ ἥλιος οὐχ ἅμα ἀνατέλλει τε καὶ δύεται πᾶσιν, ὅπερ ἔδει συμβαίνειν, εἴπερ ἦν ὁμαλή. Περὶ δὲ ζώων φησίν, ὅτι θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κάτω μέρει, ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῶα πολλὰ καὶ ἀνόμοια πάντα τὴν αὐτὴν δίαιταν ἔχοντα ἐκ τῆς ἰλύος τρεφόμενα, ἦν δὲ ὀλιγοχρόνια· ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις ἀνέστη, καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας καὶ νόμους καὶ τέχνας καὶ πόλεις καὶ τὰ ἄλλα συνέστησαν. Νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζώοις ὁμοίως. Χρήσασθαι γὰρ ἕκαστον καὶ τῶν σωμάτων ὅσῳ τὸ μὲν βραδυτέρως, τὸ δὲ ταχυτέρως.

10. Ἡ μὲν οὖν φυσικὴ φιλοσοφία ἀπὸ Θάλητος ἕως Ἀρχελάου διέμεινε· τούτου γίνεται Σωκράτης ἀκροατής. Εἰσὶ δὲ καὶ ἕτεροι πλεῖστοι διαφόρους δόξας προενεγκάμενοι περί τε τοῦ θείου καὶ τῆς τοῦ παντὸς φύσεως. ὧν εἰ πάσας τὰς δόξας ἐβουλόμεθα παραθεῖναι, πολλὴν ἂν ὕλην βιβλίων ἔδει κατασκευάζειν. Ὧν δὲ ἔδει μάλιστα ἐπ' ὀνόματος ὄντων καὶ ὡς

60. δ' ἀρχὴν] ἀρχὴν Roeperus: ἀρχὰς vulgo   τὸ ἀποκρίνεσθαι H. Ritterus: ἀποκρίνεσθαι vulgo   63. κατακαιόμενον Roeperus: καὶ κατακαιόμενον vulgo   65—67. Cfr. de hoc loco Roeper. p. 614.   73. μέσον B O: μέσου vulgo   76. κάτω μέρει H. Ritterus: κατὰ

Archelaus stirpe Atheniensis filius autem Apollodori. Hic docuit mixturam materiae consimiliter Anaxagorae principiaque eodem modo, hic autem in mente inesse quandam statim mixtionem. Esse autem principium motus secretionem a se calidi et frigidi, et calidum quidem moveri, frigidum autem quiescere. Liquefactam autem aquam in medium confluere, in quo exustam aërem fieri et terram, quorum alterum superne ferri, alterum autem subsistere infra. Terram igitur quiescere et frigidam consistere ob has causas, iacere autem in medio, quae, si fas sit dicere, nulla sit pars universi, res edita ex incensione, a qua primum deusta stellarum sit natura, quarum maxima sit sol, altera autem luna, reliquarum autem aliae minores, aliae maiores. Desuper autem incumbere caelum ait et ita solem in terram fundere lucem atque aërem facere pellucidum et terram aridam. Lacum enim esse primum, quippe quae in ambitu sit alta, media autem cava. Testimonium autem fert cavitatis, quod sol non simul et oriatur et occidat omnibus, id quod debebat evenire, si esset aequabilis. De animalibus autem dicit, calefacta terra primum in inferiore parte, ubi calidum et frigidum miscebatur, apparuisse et reliqua animalia multa et imparia, omnia eodem victu utentia, videlicet e luto nutrita, fuisse autem brevis aevi; posthac autem etiam ex semet invicem generationem extitisse et discretos esse homines a reliquis animalibus et duces et leges et artes et oppida et reliqua constituisse. Mentem autem dicit innatam esse omnibus animalibus pariter; uti enim quodvis animal instar et corporum mente, nisi quod tardius alia, alia celerius.

Physica igitur philosophia a Thalete usque ad Archelaum duravit. Huius extitit Socrates auditor. Sunt autem etiam alii plurimi diversas sententias professi deque divino numine universique natura, quorum si omnes sententias vellemus apponere, multam profecto silvam librorum oporteret conficere. Sed recordati illorum quorum oportebat, maxime illustrium eo-

μέρος vulgo 80. *συνέστη* O T 83. *ὅσα* B O 82. 83. An *Χρήσασθαι δὲ ἕκαστον κατὰ τὴν τῶν σωμάτων διαφορὰν τὸ μὲν κ. τ. λ.?* Cfr. de hoc loco Roeper. p. 615 87. *προσενεγκάμενοι* vulgo

εἰπεῖν κορυφαίων πᾶσι τοῖς μετέπειτα φιλοσοφήσασι γενομένων ἀφορμὰς δεδω|κότων πρὸς τὰ ἐπιχειρούμενα ὑπομνησθέντες ἐπὶ τὰ ἑξῆς ὁρμήσομεν.

11. *Καὶ γὰρ καὶ Παρμενίδης ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀΐδιόν τε καὶ ἀγέννητον καὶ σφαιροειδές. Οὐδὲ αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν, πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν, τὸν κόσμον ἔφη φθείρεσθαι, ᾧ δὲ τρόπῳ, οὐκ εἶπεν. Ὁ αὐτὸς δὲ εἶπεν ἀΐδιον εἶναι τὸ πᾶν καὶ οὐ γενόμενον, καὶ σφαιροειδές, καὶ ὅμοιον, οὐκ ἔχον δὲ τόπον ἐν ἑαυτῷ, καὶ ἀκίνητον καὶ πεπερασμένον.*

12. *Λεύκιππος δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν, ἀλλά φησιν ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα καὶ γένεσιν καὶ μεταβολὴν συνεχῶς οὖσαν. Στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ τὸ κενόν. Κόσμους δὲ γίνεσθαι λέγει οὕτως· ὅταν εἰς μέγα κενὸν ἐκ τοῦ περιέχοντος ἀθροισθῇ πολλὰ σώματα καὶ συρρυῇ, προσκρούοντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφάς, καὶ περιπλεχθέντων εἰς ἕτερα γίνεσθαι, αὔξειν δὲ καὶ φθίνειν διά τινα ἀνάγκην. Τίς δ᾽ ἂν εἴη ἡ ἀνάγκη, οὐ διώρισεν.*

13. *Δημόκριτος δὲ Λευκίππου γίνεται γνώριμος. Δημόκριτος Δαμασίππου, Ἀβδηρίτης, πολλοῖς συμβαλὼν γυμνοσοφισταῖς ἐν Ἰνδοῖς καὶ ἱερεῦσιν ἐν Αἰγύπτῳ καὶ ἀστρολόγοις καὶ ἐν Βαβυλῶνι μάγοις. Λέγει δὲ ὁμοίως Λευκίππῳ περὶ στοιχείων, πλήρους καὶ κενοῦ, τὸ μὲν πλῆρες λέγων ὄν, τὸ δὲ κενόν, οὐκ ὄν· ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ· ἀπείρους δὲ εἶναι | κόσμους καὶ μεγέθει διαφέροντας, ἔν τισι δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἔν τισι δὲ μείζω τῶν παρ᾽ ἡμῖν, καὶ ἔν τισι πλείω. Εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν πλείους, τῇ δὲ ἐλάττους, καὶ τοὺς μὲν αὔξεσθαι, τοὺς δὲ ἀκμάζειν, τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίνεσθαι, τῇ δὲ λείπειν. Φθείρεσθαι δὲ αὐτοὺς ὑπ᾽ ἀλλήλων προσπίπτοντας. Εἶναι δὲ ἐνίους κόσμους ἐρήμους ζώων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ. Τοῦ δὲ παρ᾽ ἡμῖν κόσμου πρότερον*

93. *ὁρμήσομεν* Wolf: *ὁρμήσωμεν* vulgo 1. *τόπον* Brandis Comm. Eleatic. p. 146: *τύπον* vulgo 6. *γίνεσθαι* Roeperus: *γενέσθαι* vulgo 6. *οὕτως· ὅταν* Roeperus: *ὅταν* vulgo *μέγα κενὸν* Roeperus: *μετάκοινον* vulgo 9. Quid Hippolytus dixerit colligitur ex loco Diogenis Laër-

rumque qui, si ita dicere licet, antesignani universis post illos philosophatis extiterunt, quippe qui ad conatus suos reliquos instigaverint, ea quae restant aggrediemur.

Etenim et Parmenides unum quidem universum ponit aeternumque et non generatum et sphaeriforme. Ne ipse quidem effugiens multitudinis opinionem, ignem dicens et terram universi principia, et terram quidem tanquam materiam, ignem autem tanquam efficientem et operantem, mundum dixit consumi, qua vero ratione non dixit. Idem autem dixit sempiternum esse universum et non natum et sphaeriforme et aequabile, non autem habens locum in se, et immotum et finitum.

Leucippus autem Zenonis sodalis non in eadem sententia perseveravit, sed dicit infinita esse et semper moventia et generationem commutationemque continuam. Elementa autem dicit plenum et inane. Mundos autem nasci dicit sic: cum in magnum inane ex continenti coacerventur multa corpora et confluant, illidentia ad se invicem complicari quae sint simili specie et formis comparia, quae autem non complicentur aliorsum ferri. Mundos autem augescere et perire secundum quandam necessitatem; quaenam autem sit necessitas non definivit.

Democritus autem Leucippi extitit familiaris. Democritus Damasippi, Abderita, cum multis versatus gymnosophistis in Indis et sacerdotibus in Aegypto et astrologis et Babylone magis. Dicit autem consimiliter Leucippo de elementis, pleno et inani, id quod plenum est appellans *existens*, inane autem *non existens;* dicebat autem, quoniam moveantur semper ea, quae extent, in inani. Infinitos autem esse mundos et magnitudine differentes, in quibusdam autem non esse solem neque lunam, in quibusdam autem maiores nostris, et in quibusdam plures. Esse autem mundorum inaequales distantias, et alicubi quidem esse plures mundos, alicubi autem pauciores, et alios quidem crescere, alios vigere, alios denique perire, et alicubi existere, alicubi deficere; perire autem a se invicem collidentes. Esse autem quosdam mundos orbos animalibus et plantis et quovis humido. Nostri autem mundi prius terram

tii IX, 31 unde Roeperus *τὰ δὲ μὴ περιπλεχθέντα* suspicatur p. 617
10. *διά τινα* Roeperus e Diogene Laërtio IX, 32: *διὰ τὴν* vulgo
13. *Ἀβδηρίτης* M : *Αὐδηρίτης* vulgo 23. *ἐκλείπειν* H. Ritterus

τὴν γῆν τῶν ἄστρων γενέσθαι, εἶναι δὲ τὴν μὲν σελήνην κάτω, ἔπειτα τὸν ἥλιον, εἶτα τοὺς ἀπλανεῖς ἄστερας. Τοὺς δὲ πλάνητας οὐδ' αὐτοὺς ἔχειν ἶσον ὕψος. Ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν. Οὗτος ἐγέλα πάντα, ὡς γέλωτος ἀξίων πάντων τῶν ἐν ἀνθρώποις.

14. *Ξενοφάνης δὲ ὁ Κολοφώνιος Ὀρθομένους υἱός. Οὗτος ἕως Κύρου διέμεινεν. Οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων, εἰπὼν οὕτως·*

> *εἰ γὰρ καὶ τὰ μάλιστα τύχῃ τετελεσμένον εἰπών,*
> *αὐτὸς ὅμως οὐκ οἶδε, δόκος δ' ἐπὶ πᾶσι τέτυκται.*

Λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται, καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς. Φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀΐδιον, καὶ ἕνα, καὶ ὅμοιον πάντῃ, καὶ πεπερασμένον, καὶ σφαιροειδῆ, καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. Τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι, καὶ μήτε ὑπ' ἀέρος μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. Καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς. Οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ πόλλα μίγματα συρρέειν ἐν αὐτῇ· ὁ δὲ Μη|τρόδωρος διὰ τὸ ἐν τῇ γῇ διηθεῖσθαι, τούτου χάριν γίνεσθαι ἁλμυράν· ὁ δὲ Ξενοφάνης μῖξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γενέσθαι δοκεῖ καὶ τῷ χρόνῳ ἀπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων. Ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι, ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ τοῦτο πᾶσι τοῖς κόσμοις γίνεσθαι καταβολήν.

15. *Ἔκφαντός τις Συρρακούσιος ἔφη μὴ εἶναι ἀληθινὴν τῶν ὄντων λαβεῖν γνῶσιν. Ὁρίζει δὲ, ὡς νομίζει τὰ μὲν πρῶτα*

34. 35. Karsten. fragm. XIV p. 51 38. *οὐ πεπερασμένον* Wolfius 44. *σύρειν ἐν ἑαυτῇ* Roeperus 47. *γίνεσθαι* vulgo 51. *ἀφύης* Gronovius: *δάφνης* libri 51. *Μελίτῃ* Karstenius: *Μελίτῳ* vulgo 52. 53. *ἀπηλάθησαν* O: *ἐπελάθησαν* L 56. *καταβολήν* Roeperus p. 619: *καταβάλλειν* vulgo: *μεταβάλλειν* Wolfius mendose

natam esse quam stellas, esse autem lunam infra, deinde solem, deinceps immotas stellas. Errantes autem stellas nec ipsas habere aequalem altitudinem. Vigere autem mundum, donec iam non possit extrinsecus aliquid assumere. Hic ridebat omnia, tanquam risu dignae essent res humanae omnes.

Xenophanes autem Colophonius Orthomenis filius. Hic usque ad Cyrum vixit. Hic primus dixit esse incomprehensibilitatem omnium, his usus verbis:

Etenim si vel maxime attigerit dicendo id quod perfectum est,
Ipse tamen non novit, opinatio autem rebus in omnibus extat.

Dicit autem nihil fieri neque perire neque moveri, et unum esse universum citra conversionem. Dicit autem etiam deum esse aeternum et unum et aequabilem ab omni parte et terminatum et orbicularem et omnibus particulis sensibilem. Solem autem ex parvis igniculis conglomeratis existere singulo quoque die, terram autem infinitam esse et neque ab aëre neque a caelo comprehendi. Et infinitos soles esse et lunas, omnia autem esse ex terra. Hic mare salsum dixit propterea quod plurimae mixturae confluant in eo; Metrodorus autem, quia percoletur per terram, ex eo fieri salsum. Xenophanes autem olim extitisse ait mixturam terrae cum mari, eamque tempore ab humido solutam esse, haec promens sententiae suae documenta: in media terra et in montibus reperiri conchas, veluti et Syracusis in lapicidinis dicit repertam esse imaginem piscis et phocarum, in Paro autem insula imaginem pisciculi in imo monte, in Melita autem crustas quorumvis marinorum animalium. Haec autem ait facta esse, cum omnia luto obvolverentur olim, imaginem autem in luto arefactam esse; interimi autem omnes homines, quando terra delata in mare aliquando lutum existat, deinde rursus incipere fieri, idque omnibus mundis existere principium nascendi.

Ecphantus quidam Syracusanus dixit non licere veracem eorum quae sint capere intellectum; definit autem, ut quisque

58. Si quid tribuendum si. paraphrastae, sequentia verba *ὁρίζει δὲ ὡς νομίζει τὰ μὲν πρῶτα* probationis loco ad priora referenda erunt, quibus Ecphantus dicebatur omnem veri sententiam sustulisse, quia unusquisque ita iudicet, prout ipsius ferat opinio sive sententia. Paraphrastes enim ita habet: *ὅτι καὶ Ἔκφαντος μὴ εἶναι γνῶσιν ἀληθῆ τῶν ὄντων λαβεῖν*

ἀδιαίρετα εἶναι σώματα, καὶ παραλλαγὰς αὐτῶν τρεῖς ὑπάρχειν, μέγεθος, σχῆμα, δύναμιν, ἐξ ὧν τὰ αἰσθητὰ γίνεσθαι. Εἶναι δὲ τὸ πλῆθος αὐτῶν ὡρισμένον καὶ τοῦτο ἄπειρον. Κινεῖσθαι δὲ τὰ σώματα μήτε ὑπὸ βάρους μήτε πληγῆς, ἀλλ' ὑπὸ θείας δυνάμεως, ἣν νοῦν καὶ ψυχὴν προσαγορεύει. Τούτου μὲν οὖν τὸν κόσμον εἶναι ἰδέαν, δι' ὃ καὶ σφαιροειδῆ ὑπὸ θείας δυνάμεως γεγονέναι. Τὴν δὲ γῆν μέσον κόσμου κινεῖσθαι περὶ τὸ αὑτῆς κέντρον ὡς πρὸς ἀνατολήν.

16 *Ἵππων δὲ ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ* | *θερμὸν τὸ πῦρ. Γενόμενον δὲ τὸ πῦρ ὑπὸ ὕδατος κατανικῆσαι τὴν τοῦ γεννήσαντος δύναμιν, συστῆσαί τε τὸν κόσμον. Τὴν δὲ ψυχὴν ποτὲ μὲν ἐγκέφαλον ἔφη εἶναι, ποτὲ δὲ ὕδωρ, καὶ γὰρ τὸ σπέρμα εἶναι, τὸ φαινόμενον ἡμῖν ἐξ ὑγροῦ, ἐξ οὗ φησι ψυχὴν γίνεσθαι.*

17 *Ταῦτα μὲν οὖν ἱκανῶς δοκοῦμεν παρατεθεικέναι. Διὸ δοκεῖ λοιπὸν αὐτάρκως διαδραμόντων ἡμῶν τὰ τοῖς φυσικοῖς δόξαντα, ἀναδραμεῖν ἐπὶ Σωκράτην καὶ Πλάτωνα, οἳ τὸ ἠθικὸν μάλιστα προετίμησαν.*

18 *Ὁ μὲν οὖν Σωκράτης γίνεται Ἀρχελάου τοῦ φυσικοῦ ἀκροατής· ὃς τὸ γνῶθι σαυτὸν προτιμήσας καὶ μεγάλην σχολὴν συστήσας ἔσχε πάντων τῶν μαθητῶν ἱκανώτερον τὸν Πλάτωνα, αὐτὸς μὲν μηδὲν σύγγραμμα καταλιπών. Ὁ δὲ Πλάτων τὴν πᾶσαν αὐτοῦ σοφίαν ἀπομαξάμενος συνέστησε τὸ διδασκαλεῖον μίξας ὁμοῦ φυσικήν, ἠθικήν, διαλεκτικήν. Ἃ δὲ ὁ Πλάτων ὁρίζει, ἐστὶ ταῦτα.*

19 *Πλάτων ἀρχὰς εἶναι τοῦ παντὸς θεὸν καὶ ὕλην καὶ παράδειγμα· θεὸν μὲν τὸν ποιητὴν καὶ διακοσμήσαντα τόδε τὸ πᾶν καὶ προνοούμενον αὐτοῦ· ὕλην δὲ τὴν πᾶσιν ὑποκειμένην, ἣν καὶ δεξαμενὴν καὶ τιθήνην καλεῖ, ἐξ ἧς διακοσμηθείσης γε-*

ἐδόξασεν, ἀλλ' ἕκαστος ὁρίζει ὡς νομίζει τὰ πράγματα. Et sane haec rectius sibi constare videntur, quam si verba ista coniungantur tanquam scriptoris nostri cum sequentibus: *ὁρίζει δὲ ὡς νομίζει τὰ μὲν πρῶτα* etc. Sic itaque excidisset vox *ἕκαστος*, sequentia autem ab his *τελείᾳ στιγμῇ* seiuncta Ecphanti doctrinas ordine exponere censenda essent: *τὰ μὲν πρῶτα* cet. Wolfius 61. Cfr. Roeper. p. 619. 20. An *ὡρισμένων κατὰ τοῦτο, ἄπειρον?* 63. *Τούτου* Roeperus: *τοῦ* vulgo 64. *εἶναι ἰδέαν* Roeperus p. 620: *εἰδέναι ἰδεῖν* vulgo 64. *θείας*] *μίας*

arbitratur. Prima indivisa esse corpora et commutationes eorum existere tres, magnitudinem, figuram, potentiam, ex quibus ea quae sensibus percipiuntur fiant. Esse autem multitudinem eorum, definitorum in hunc modum, infinitam. Moveri autem corpora neque per pondus, neque per ictum, sed divina potestate, quam mentem et animam nuncupat. Huius igitur mundum esse speciem, quare etiam orbicularem vi divina factum esse. Terram autem, medium mundi, moveri circa suum centrum versus orientem.

Hippo autem Rheginus principia dixit frigidum aquam, et calidum ignem. Ortum autem ignem ab aqua devicisse genitricis potestatem constituisseque mundum. Animam autem aliquando dixit cerebrum esse, aliquando aquam, nam etiam semen esse, quod nobis appareat ex humido, unde ait animam nasci.

Et haec quidem quae apposuimus nobis sufficere videntur. Quapropter videtur nobis iam satis percursis physicorum placitis recurrere ad Socratem et Platonem, qui moralem potissimum partem excoluerunt.

Igitur Socrates Archelai physici factus est auditor. Qui dictum illud: *nosce te ipsum* maxime amplexus magna schola aperta nactus est omnium discipulorum habilissimum Platonem. Ipse quidem nihil scripti reliquit. Plato autem universam eius doctrinam reddens condidit scholam suam mixta simul physica, ethica, dialectica philosophia. Quae autem Plato definit, haec sunt.

Plato principia universi dixit esse deum et materiem et exemplar, et deum quidem conditorem et qui disposuerit hocce universum prospiciatque illi, materiem autem rebus omnibus substratam, quam eandem vocat receptaculum et nutricem, ex

vulgo. 68. *Γενόμενον* Roeperus: *Γεννώμενον* vulgo 68. *καταvικῆσαι* T: *κατανικῆσαν* reliqui 70. *ἔφη εἶναι* Roeperus p. 621: *ἔχειν* vulgo 70. *γὰρ* Bakhuizen van den Brink varr. lectionn. ex hist. philos. ant. p. 47. 52: *παρὰ* vulgo 80. *μηδὲν σύγγραμμα* Roeperus: *μηδὲ συγγράμματα* vulgo 83. *ὁρίζει, ἐστὶ* Roeperus: *ὁρίζεται* vulgo 84. Exciditne alicubi *ἔφη* vel *φησίν*? 86. *πᾶσιν* Roeperus: *πᾶσαν* vulgo 87 *ἣν δὲ καὶ* L: *ἣν δὴ καὶ* Roeperus *δεξαμενὴν* L: *δεξαμένην* reliqui; cf. Lobeck. ad Phrynichum p. 322.

νέσθαι τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνέστηκεν ὁ κόσμος, πυρός, ἀέρος, γῆς, ὕδατος, ἐξ ὧν καὶ τὰ ἄλλα πάντα συγκρίματα καλού|μενα, ζῶά τε καὶ φυτὰ συνεστηκέναι. Τὸ δὲ παράδειγμα τὴν διάνοιαν τοῦ θεοῦ εἶναι, ὃ καὶ ἰδέας καλεῖ, ᾧ οἷον εἰκονίσματι προσέχων ἐν τῇ ψυχῇ ὁ θεὸς τὰ πάντα ἐδημιούργει. Τὸν μὲν θεόν φησιν ἀσώματόν τε καὶ ἀνείδεον καὶ μόνοις σοφοῖς ἀνδράσι καταληπτὸν εἶναι· τὴν δὲ ὕλην δυνάμει μὲν σῶμα, ἐνεργείᾳ δὲ οὐδέπω· ἀσχημάτιστον γὰρ αὐτὴν οὖσαν καὶ ἄποιον, προσλαβοῦσαν σχήματα καὶ ποιότητας γενέσθαι σῶμα. Τὴν μὲν οὖν ὕλην ἀρχὴν εἶναι καὶ σύγχρονον τῷ θεῷ, ταύτῃ καὶ ἀγέννητον τὸν κόσμον. Ἐκ γὰρ αὐτῆς συνεστάναι φησὶν αὐτόν. Τῷ δὲ ἀγεννήτῳ ἀκολουθεῖν πάντως καὶ τὸ ἄφθαρτον. Ἧι δὲ σῶμά τε καὶ ἐκ πολλῶν ποιοτήτων καὶ ἰδεῶν συγκείμενον ὑποτίθεται, ταύτῃ καὶ γεννητὸν καὶ φθαρτόν. Τινὲς δὲ τῶν Πλατωνικῶν ἀμφότερα ἔμιξαν, χρησάμενοι παραδείγματι τοιούτῳ· ὅτι ὥσπερ ἅμαξα δύναται ἀεὶ διαμένειν ἄφθαρτος κατὰ μέρος ἐπισκευαζομένη, κἂν τὰ μέρη φθείρηται ἑκάστοτε, αὐτὴ δὲ ὁλόκληρος ἀεὶ μένει· τοῦτον τὸν τρόπον καὶ ὁ κόσμος κατὰ μέρη μὲν εἰ καὶ φθείρεται, ἐπισκευαζομένων δὲ καὶ ἀντανισουμένων τῶν ἀφαιρουμένων ἀΐδιος μένει. Τὸν δὲ θεὸν οἱ μὲν ἕνα φασὶν αὐτὸν εἰπεῖν ἀγέννητον καὶ ἄφθαρτον, ὡς λέγει ἐν τοῖς Νόμοις· ὁ μὲν δὴ θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχει. Οὕτως ἕνα αὐτὸν τὸν διὰ πάντων κεχωρηκότα ἀποφαίνεται. Οἱ δὲ καὶ πολλοὺς, ἀορίστως, ὅταν λέγῃ· θεὸς θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ. Οἱ δὲ καὶ ὡρισμένους, ὅταν λέγῃ, ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων, καὶ ὅταν γενεαλογῇ τοὺς Οὐρανοῦ παῖδας καὶ Γῆς. Οἱ δὲ συστήσασθαι μὲν αὐτὸν θεούς γενητούς, καὶ διὰ μὲν τὸ γεγε|νῆσθαι πάντως αὐτοὺς φθαρῆναι ἀνάγκην ἔχειν, διὰ δὲ τὴν βούλησιν τοῦ θεοῦ ἀθανάτους εἶναι, ἐν ᾧ προσθεὶς λέγει· θεὸς θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ, ἄλυτα ἐμοῦ γε θέλοντος, ὡς ἂν εἰ λυθῆναι αὐτὰ θέλει, ῥᾳδίως λυθησόμενα. Δαιμόνων δὲ φύσεις ἀποδέχεται, καὶ τοὺς μὲν ἀγαθοὺς εἶναι φη-

89. συγκρώματα T 91. ἰδέαν Gronovius ᾧ οἷον Roeperus: οἷον vulgo 97. ταύτῃ] ταύτην vulgo 98. αὐτῆς Roeperus: αὐτοῦ vulgo 7. μὲν εἰ καὶ] μένει καὶ vulgo: μὲν Roeperus δὲ καὶ Roeperus: καὶ vulgo 10. δὴ] δὲ vulgo 11. ὄντων ἁπάντων T et Plato Legg.

qua exornata extitisse quattuor elementa, unde extitit mundus, igni, aëre, terra, aqua, ex quibus et reliqua omnia, quae coagula vocentur, et animalia et plantas constitisse. Exemplar autem intellectum dei esse, quod et idearum nomine appellat, quod tanquam effigiem respiciens in anima deus universa fabricaverit. Deum quidem dicit incorporalem et ineffigiatum et a solis sapientibus viris comprehendi posse; materiem autem potentia quidem corpus esse, actu autem nondum; informem enim et carentem qualitatibus assumptis formis et qualitatibus extitisse corpus. Materiem igitur ab initio esse et aequalem deo, ab hac parte etiam mundum non natum; ex ea enim ait constitisse mundum, id autem quod natum non sit necessario sequi ut non pereat; quatenus autem et corpus et ex multis qualitatibus et speciebus compositum ponit mundum, ita etiam natum et periturum. Quidam autem ex Platonicis utraque miscuerunt usi exemplo hoc: velut plaustrum potest semper permanere salvum, cum per partes reparatur, etiamsi partes pereunt singulis vicibus, ipsum autem integrum semper manet: hunc in modum etiam mundus etsi per partes perit, reparatis autem et compensatis iis, quae dempta sunt, sempiternum manet. Deum autem alii dicunt unum eum statuisse non natum et non periturum, ut dicit in Legibus: *Deus igitur, sicut etiam antiqua fabula est, et principium et finem et medium omnium eorum quae sunt habet.* In hunc modum unum eum qui omnia pervaserit declarat. Alii autem etiam multos illum dicere, quando dicat: *deus deorum, quorum ego et opifex et pater.* Alii vero etiam definitos, quando dicat: *igitur magnus in caelo Jupiter alatum currum agens*, et quando stirpem recenseat filiorum Caeli et Terrae. Alii autem constituisse eum deos generatos et propter generationem omnimodo perire eos necessitatem esse, per voluntatem autem dei immortales esse, ubi haec addit: *deus deorum, quorum ego et opifex et pater, indissolubilia me quidem volente*, quoniam si vellet dissolvi, facile dissolverentur. Daemonum autem naturas accipit, et alios

IV p. 715 b.: *ἁπάντων* vulgo 12. *ἔχει* Plato: *ἔχων* vulgo 14. *ὧν* insertum ex Plat. Tim. p. 41 a: *Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε θέλοντος* cfr. paulo post l. 19 21. 17. *γενητοῦς* et *γεγενῆσθαι* B: *γεννητοὺς* et *γεγεννῆσθαι* vulgo

σὶν αὐτῶν, τοὺς δὲ φαύλους. Καὶ τὴν ψυχὴν οἱ μὲν φασὶν αὐτὸν ἀγένητον λέγειν καὶ ἄφθαρτον, ὅταν λέγῃ· ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον· καὶ ὅταν αὐτοκίνητον αὐτὴν ἀποδεικνύῃ καὶ ἀρχὴν κινήσεως. Οἱ δὲ γενητὴν μέν, ἄφθαρτον δὲ διὰ τὴν τοῦ θεοῦ βούλησιν. Οἱ δὲ σύνθετον καὶ γενητὴν καὶ φθαρτήν· καὶ γὰρ κρατῆρα αὐτῆς ὑποτίθεσθαι, καὶ σῶμα αὐτὴν ἔχειν αὐγοειδές, τὸ δὲ γενόμενον πᾶν ἀνάγκην ἔχειν φθαρῆναι. Οἱ δὲ ἀθάνατον αὐτὴν εἶναι λέγοντες μάλιστα ἐκείνοις ἰσχυρίζονται, ὅσοις καὶ κρίσεις φησὶν εἶναι μετὰ τελευτήν, καὶ ἐν Ἅιδου δικαστήρια, καὶ τὰς μὲν ἀγαθὰς ἀγαθοῦ μισθοῦ τυγχάνειν, τὰς δὲ πονηρὰς ἀκολούθων δικῶν. Τινὲς μὲν οὖν φασὶν καὶ μετενσωμάτωσιν αὐτὸν ὁμολογεῖν καὶ μεταβαίνειν τὰς ψυχὰς ὡρισμένας οὔσας ἄλλας εἰς ἄλλα σώματα κατ' ἀξίαν ἑκάστῃ καὶ κατά τινας περιόδους ὡρισμένας ἀναπέμπεσθαι ἐς τοῦτον τὸν κόσμον πάλιν πεῖραν παρεξομένας τῆς ἑαυτῶν προαιρέσεως. Οἱ δὲ οὔ, ἀλλὰ τόπον λαγχάνειν κατ' ἀξίαν ἑκάστῃ, καὶ χρῶνται μαρτυρίῳ, ὅτι φησὶ μετὰ Διός τινας εἶναι, ἄλλους δὲ μετὰ ἄλλων θεῶν συμπεριπολοῦντας τῶν ἀγαθῶν ἀνδρῶν, τοὺς δὲ ἐν κολάσεσιν ὑπάρχειν αἰωνίοις, ὅσοι πονηρὰ καὶ ἄδικα παρὰ τοῦτον τὸν βίον εἰσὶν ἐξειργασμένοι. Φασὶ δὲ αὐτὸν τὰ μὲν ἄμεσα λέγειν, τὰ δὲ ἔμμεσα, τὰ δὲ μέσα τῶν πραγμάτων. Ἐγρήγορσιν μὲν καὶ ὕπνον ἄμεσα, καὶ | ὅσα τοιαῦτα· ἔμμεσα δέ, οἷον ἀγαθὰ καὶ κακά· καὶ μέσα, οἷον τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιὸν ἤ τι ἄλλο χρῶμα. Ἀγαθὰ δὲ μόνα κυρίως λέγειν φασὶν αὐτὸν τὰ περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα καὶ τὰ ἐκτὸς οὐκ ἔτι κυρίως ἀγαθά, ἀλλὰ λεγόμενα ἀγαθά, πολλαχοῦ δὲ καὶ μέσα ὠνομακέναι αὐτά· εἶναι γὰρ αὐτοῖς καὶ καλῶς καὶ κακῶς χρῆσθαι. Τὰς μὲν οὖν ἀρετὰς κατὰ τιμὴν ἀκρότητας εἶναί φησι, κατὰ δὲ οὐσίαν μεσότητας· τιμιώτερον μὲν γὰρ οὐδὲν ἀρετῆς. Τὸ δὲ ὑπερβάλλον αὐτῶν ἢ ἐνδέον εἰς κακίαν τελευτᾶν, οἷον τέσσαράς φησιν εἶναι ἀρετὰς φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν. Τούτων ἑκάστῃ παρακολουθεῖν δύο κακίας, καθ' ὑπερβολὴν καὶ μείωσιν, οἷον τῇ μὲν φρονήσει ἀφροσύνην κατὰ μείωσιν, πανουργίαν

24. αὐτὸν Wolfius: αὐτῶν reliqui 28. ὑποτίθεσθαι T: ὑποτίθεται vulgo 30. ἔχειν] εἶναι T 31. ἐκείνοις — ὅσοις Roeperus: ἐκεῖνοι - ὅσοι vulgo: ἐκείνῳ - ὅτι R. Scottus 31. φησὶν Roeperus: φασὶν vulgo 35. μεταβάλλειν O 39. φησὶ Wolfius: φασὶ vulgo.

quidem bonos esse dicit eorum, alios autem pravos. Et animam quidem nonnulli dicunt eum non generatam dicere et non perituram, quando dicat: *anima quaevis immortalis, nam quod semper movetur immortale est*, et quando per se ipsam moveri eam doceat eamque esse principium movendi. Alii autem generatam, non autem perituram per voluntatem dei. Alii denique compositam et generatam et perituram; etenim craterem eius statuere eum, corpusque eam habere lucis simile, quidquid autem generatum sit necessario perire. Qui autem immortalem eam esse dicunt, iis potissimum nituntur, quibus etiam iudicia esse ait post mortem et in Orco tribunalia, et bonas quidem animas mercedem consequi, pravas autem consentaneas poenas. Iam quidam aiunt illum etiam migrationem animarum comprobare et transmigrare animas, quae numero definitae sint, alias in alia corpora, prouti singulae quaeque mereantur, et per quaedam intervalla statuta remitti in hunc mundum rursus documentum exhibituras electionis suae. Alii contra, locum adipisci prouti mereantur singulae, utunturque testimonio, quod dicat cum Jove quosdam esse, alios autem cum aliis diis conversantes proborum virorum, alteros autem poenas sufferre aeternas, quotquot prava et iniusta per hanc vitam perpetraverint. Dicunt autem eum alia *ἄμεσα* dicere, alia *ἔμμεσα*, alia *μέσα* rerum. Vigilare et somniare *ἄμεσα* et quae sunt eiusdemmodi, *ἔμμεσα* autem, veluti bona et mala, et *μέσα*, veluti inter candidum et nigrum fuscum vel aliquem alium colorem. Bona autem sola proprie dicere eum aiunt quae pertinent ad animam, quae autem sint corporis et extra, non iam proprie bona, sed appellata bona, saepe autem etiam media appellavisse ea, licere enim illis et bene et male uti. Jam virtutes ex pretio ait summitates esse, re autem medietates. Pretiosius enim nihil virtute; quidquid autem earum vel exsuperet vel deficiat in pravitatem terminari, veluti quattuor statuit esse virtutes: prudentiam, temperantiam, iustitiam, fortitudinem. Harum unamquamque comitari duo vitia, per exsuperantiam et deminutionem, veluti prudentiam imprudentiam per deminutionem, calliditatem autem per exsuperantiam, temperantiam autem incontinen-

41. *αἰωνίοις* M: *αἰωνιαίοις* O: *αἰωνίαις* vulgo 51. *φησι* Wolfius: *φασι* vulgo 53. *φησιν* Roeperus: *φασιν* vulgo

δὲ καθ' ὑπερβολήν, τῇ δὲ σωφροσύνῃ ἀκολασίαν κατὰ μείωσιν, σκαιότητα καθ' ὑπερβολήν, τῇ δὲ δικαιοσύνῃ μειονεξίαν κατὰ μείωσιν, πλεονεξίαν καθ' ὑπερβολήν, τῇ δὲ ἀνδρείᾳ δειλίαν κατὰ μείωσιν, θρασύτητα καθ' ὑπερβολήν, ταύτας δὲ ἐγγενομένας τὰς ἀρετὰς ἀνθρώπῳ ἀπεργάζεσθαι αὐτὸν τέλειον καὶ παρέχειν αὐτῷ εὐδαιμονίαν. Τὴν δὲ εὐδαιμονίαν εἶναί φησιν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατόν. Τὴν δὲ ὁμοίωσιν τῷ θεῷ, ὅταν τις ὅσιός τε καὶ δίκαιος γένηται μετὰ φρονήσεως. Τέλος γὰρ τοῦτο τῆς ἄκρας σοφίας καὶ ἀρετῆς ὑποτίθεται. Λέγει δὲ ἀντακολουθεῖν τὰς ἀρετὰς ἀλλήλαις καὶ μονοειδεῖς εἶναι καὶ μηδέποτε ἐναντιοῦσθαι ἀλλήλαις. Τὰς δὲ κακίας πολυτρόπους τε εἶναι καὶ ποτὲ μὲν ἀντακολουθεῖν, ποτὲ δὲ ἐναντιοῦσθαι ἀλλήλαις. Εἱμαρμένην φησὶν εἶναι, οὐ μὴν πάντα καθ' εἱμαρμένην γίνεσθαι, ἀλλ' εἶναί τι καὶ ἐφ' ἡμῖν, ἐν οἷς φησίν· αἰτία ἑλομένου, θεὸς ἀναίτιος, καί· θεσμός τε Ἀδραστείας ὅδε. Οἱ | δὲ οὕτω τὸ καθ' εἱμαρμένην, οἱ δὲ καὶ τὸ ἐφ' ἡμῖν· ἀκούσια δέ φησιν εἶναι τὰ ἁμαρτήματα· εἰς γὰρ τὸ κάλλιστον τῶν ἐν ἡμῖν, ὅπερ ἐστὶν ἡ ψυχή, οὐκ ἄν τινα τὸ κακὸν παραδέξασθαι, τουτέστι τὴν ἀδικίαν· κατὰ ἄγνοιαν δὲ καὶ σφάλμα τοῦ ἀγαθοῦ, οἰομένους καλόν τι ποιεῖν, ἐπὶ τὸ κακὸν ἔρχεσθαι. Καὶ λέξις τούτου ἐμφανεστάτη ἐστὶν ἐν τῇ Πολιτείᾳ, ἐν ᾗ φησιν· πάλιν δὲ αὖ τολμᾶτε λέγειν ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ κακία· πῶς οὖν δή τις τὸ τοιοῦτον κακὸν αἱροῖτ' ἄν; ἥττων ὃς ἂν ᾖ, φατέ, τῶν ἡδονῶν. οὐκοῦν καὶ τοῦτο ἀκούσιον, εἴπερ τὸ νικᾶν ἑκούσιον; ὥστε ἐκ παντὸς λόγου τό γε ἀδικεῖν ἀκούσιον ὁ λόγος αἱρεῖ. Ἀντιτίθεταί δέ τις αὐτῷ πρὸς τοῦτο· διὰ τί οὖν κολάζονται, εἰ ἀκουσίως ἁμαρτάνουσιν; Ὁ δὲ λέγει, ἵνα τε αὐτὸς ὅτι τάχιστα ἀπαλλαγῇ κακίας, καὶ κόλασιν ὑπόσχῃ. Τὸ γὰρ κόλασιν ὑποσχεῖν οὐ κακὸν εἶναι ἀλλὰ ἀγαθόν, εἴπερ μέλλει κάθαρσις τῶν κακῶν γίνεσθαι· καὶ ἵνα μηδὲν ἁμαρτάνωσιν οἱ λοιποὶ ἀκούοντες ἄνθρωποι, ἀλλὰ φυλάσσωνται τὴν τοιαύτην πλάνην. Κακοῦ δὲ φύσιν οὔτε ὑπὸ θεοῦ γενέσθαι, οὔτε καθ' αὑτὴν ὑπόστασιν ἔχειν, ἀλλὰ κατ'

60. θρασύτητα B: θράσος vulgo 69. φασίν B L O 72. ὅδε Roeperus addidit ex Plat. Phaedr. p. 248 c 78. Cfr. Roeper. p. 623. Locus extat in Clitophonte p. 407 d sic scriptus: πάλιν δ' αὖ τολμᾶτε λέγειν ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ ἀδικία· πῶς οὖν δή τις τό γε τοιοῦτον κακὸν ἑκὼν αἱροῖτ' ἄν; ἥττων ὃς ἂν ᾖ, φατέ, τῶν ἡδονῶν· οὐκοῦν

tiam per deminutionem, imbecillitatem per exsuperantiam, iustitiam autem mionexiam per deminutionem, pleonexiam per exsuperantiam, fortitudinem autem ignaviam per deminutionem, audaciam per exsuperantiam. Has autem virtutes cum insint in homine reddere eum perfectum praebereque ei beatitatem. Beatitatem autem esse ait, cum quis assimiletur, quantum fieri possit, deo. Assimilari autem quempiam deo, cum sanctum et iustum se praestet cum prudentia. Finem enim hunc summae sapientiae et virtutis statuit. Dicit autem societate quadam contineri virtutes et eiusdem speciei esse nec unquam adversari inter se. Vitia autem et multigenera esse et aliquando societate inter se contineri, aliquando autem adversari inter se. Fatum dicit esse, non vero omnia per fatum fieri, sed esse aliquid etiam in nostra potestate, cum dicit: *culpa est eius, qui elegit sibi, deus non in culpa*, et: *lex Adrasteae haece.* Iam alii sic illum appellare quod per fatum fiat, alii et id quod in nostra potestate sit aiunt. Invita autem esse ait peccata. In id enim, quod pulcherrimum est in nobis, id quod est anima, non facile quemquam malum recipere, hoc est pravitatem; per imprudentiam autem et lapsum boni qui opinentur se pulcrum aliquid facere devenire in malum. Cuius quidem sententiae declaratio clarissima extat in Civitate, in qua dicit: *Rursus autem audetis dicere, turpe esse diisque invisum pravitatem. Quomodo igitur tandem quispiam concupiscat tale malum? Qui inferior est, respondetis, voluptatibus? Non ergo et hoc invitum, siquidem vincere non invitum? ut ex omni ratione prave facere praeter voluntatem fieri ratio vincat.* Opponit autem quidam ei contra hoc: quam ob causam igitur puniuntur qui inviti peccant? Is autem dicit: ut et ipse quam celerrime liberetur pravitate et poenas det. Nam poenas dare non malum esse, sed bonum, siquidem futura sit purgatio malorum et ne quid peccent reliqui homines cognito exemplo, sed caveant ab eiusmodi errore. Mali autem naturam neque a deo factam esse, neque per se consistere, sed per adversationem et co-

καὶ τοῦτ' ἀκούσιον, εἴπερ τὸ νικᾷν ἑκούσιον; ὥστε ἐκ παντὸς τρόπου τό γε ἀδικεῖν ἀκούσιον ὁ λόγος αἱρεῖ κ. τ. λ. 78. *αὐτῷ ἅμα τε λέγειν* vulgo 80. *ἢ τῶν ὅσα δή φατε* vulgo 82. *ὁ λόγος αἱρεῖ*] *λόγος αἱρεῖ* M: *λόγὸς ἐρεῖ* vulgo 87. *μηδὲ* vulgo

ἐναντίωσιν καὶ παρακολούθησιν τοῦ ἀγαθοῦ γενέσθαι, ἢ καθ' ὑπερβολὴν ἢ κατὰ μείωσιν, ὡς περὶ τῶν ἀρετῶν προείπομεν. Ὁ μὲν οὖν Πλάτων, καθὼς προείπομεν, συναγαγὼν τὰ τρία μέρη τῆς κατὰ πάντα φιλοσοφίας, οὕτως ἐφιλοσόφησεν.

20. Ἀριστοτέλης τούτου γενόμενος ἀκροατὴς εἰς τέχνην τὴν φιλοσοφίαν ἤγαγεν, καὶ λογικώτερος ἐγένετο, τὰ μὲν στοιχεῖα τῶν πάντων ὑποθέμενος οὐσίαν καὶ συμβεβηκός· τὴν μὲν οὐσίαν μίαν τὴν πᾶσιν ὑποκειμένην, | τὰ δὲ συμβεβηκότα ἐννέα· ποσόν, ποιόν, πρός τί, ποῦ, πότε, ἔχειν, κεῖσθαι, ποιεῖν, πάσχειν· τὴν μὲν οὖν οὐσίαν τοιαύτην εἶναι, οἷον θεόν, ἄνθρωπον καὶ ἕκαστον τῶν τῷ ὁμοίῳ λόγῳ ὑποπεσεῖν δυναμένων. Περὶ δὲ τὰ συμβεβηκότα θεωρεῖται τὸ μὲν ποιόν, οἷον λευκόν, μέλαν· τὸ δὲ ποσόν, οἷον δίπηχυ, τρίπηχυ· τὸ δὲ πρός τί, οἷον πατήρ, υἱός· τὸ δὲ ποῦ, οἷον Ἀθήνησι, Μεγαροῖ· τὸ δὲ πότε, οἷον ἐπὶ τῆς δεκάτης ὀλυμπιάδος· τὸ δὲ ἔχειν, οἷον κεκτῆσθαι· τὸ δὲ ποιεῖν, οἷον γράφειν καὶ ὅλως ἐνεργεῖν τι· τὸ δὲ κεῖσθαι, οἷον κατακεῖσθαι· τὸ δὲ πάσχειν, οἷον τύπτεσθαι. Ὑποτίθεται καὶ αὐτὸς τὰ μὲν μεσότητα ἔχειν, τὰ δὲ ἄμεσα εἶναι, ὡς εἴπομεν καὶ περὶ τοῦ Πλάτωνος. Καὶ σχεδὸν τὰ πλεῖστα τῷ Πλάτωνι σύμφωνός ἐστι πλὴν τοῦ περὶ ψυχῆς δόγματος. Ὁ μὲν γὰρ Πλάτων ἀθάνατον, ὁ δὲ Ἀριστοτέλης ἐπιδιαμένειν καὶ μετὰ ταῦτα καὶ ταύτην ἐναφανίζεσθαι τῷ πέμπτῳ σώματι, ὃ ὑποτίθεται εἶναι μετὰ τῶν ἄλλων τεσσάρων, τοῦ τε πυρὸς καὶ τῆς γῆς καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος λεπτότερον, οἷον πνεῦμα. Ὁ μὲν οὖν Πλάτων μόνα ἀγαθὰ ὄντως τὰ περὶ ψυχὴν εἶναί φησιν, καὶ ἀρκεῖν πρὸς τὴν εὐδαιμονίαν. Ὁ δὲ Ἀριστοτέλης τριγένειαν τῶν ἀγαθῶν εἰσάγει, καὶ λέγει μὴ εἶναι τέλειον τὸν σοφόν, ἐὰν μὴ παρῇ αὐτῷ καὶ τὰ τοῦ σώματος ἀγαθὰ καὶ τὰ ἐκτός, ἅ ἐστι κάλλος, ἰσχύς, εὐαισθησία, ἀρτιότης· τὰ δὲ ἐκτός, πλοῦτος, εὐγένεια, δόξα, δύναμις, εἰρήνη, φιλία. Τὰ δὲ ἐντὸς περὶ ψυχὴν καθὼς καὶ Πλάτωνι ἔδοξε, φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν. Τὰ δὲ κακά φησι καὶ οὗτος κατ' ἐναντίωσιν τῶν ἀγαθῶν γενέσθαι, καὶ εἶναι ὑπὸ τὸν περὶ σελήνην τόπον, ὑπὲρ δὲ σελήνην μηκέτι. Τὴν δὲ ψυχὴν τὴν μὲν ὅλου τοῦ | κόσμου ἀθάνατον εἶναι, καὶ αὐτὸν τὸν κόσμον

90. γενήσεσθαι T 4. Μεγαροῖ Roeperus: Μεγάροισι vulgo 10. ψυχῆς Menagius ad Diog. Laert. VII, 157: ψυχὴν vulgo 12. 13. ᾧ ὑποτίθεται L 15. οὖν] αὖ Roeperus p. 621 20. εἰρήνη, φι-

mitatum boni extitisse, aut per deminutionem aut per exsuperantiam, uti de virtutibus ante diximus. Plato igitur, ut supra diximus, consociatis tribus partibus universalis philosophiae in hunc modum philosophabatur.

Aristoteles, qui huius auditor fuit, in artem philosophiam redegit logicamque disciplinam magis excoluit, elementa universorum ponens substantiam et accidens, et substantiam quidem unam, quae universis substrata sit, accidentia autem numero novem: quantum, quale, ad quid, ubi, quando, habere, situm esse, facere, pati. Jam substantiam huiusmodi esse, veluti deum, hominem, et nihil non quod in eundem censum veniat. Quod autem attinet ad accidentia, id quod *quale* dicit ostenditur veluti album, nigrum, *quantum* autem veluti duarum triumve ulnarum, illud autem *ad quid*, velut pater, filius, *ubi* autem, velut Athenis, Megaris, *quando* autem, velut decima olympiade, *habere* autem, velut possidere, *facere* autem, velut scribere et omnino patrare aliquid, *situm* autem *esse*, veluti humi iacere, *pati* autem, velut verberari. Ponit et ipse alia medium habere, alia non habere, ut diximus etiam de Platone. Et paene in rebus plurimis concordat cum Platone excepta de anima doctrina. Plato enim immortalem, Aristoteles autem permanere et post haec et ipsam evanescere in quintum corpus, quod ponit esse cum reliquis quattuor, hoc est et igni et terra et aqua et aëre tenuius, tanquam spiritum. Verum Plato sola bona reapse quae pertineant ad animam dicit eaque sufficere ad beatitatem; Aristoteles autem trifariam divisa bona inducit negatque perfectum esse sapientem, nisi assint ei etiam corporis bona et quae sunt extra: quae sunt pulcritudo, robur, vigor sensuum, integritas, sanitas, quae autem sunt extra: divitiae, nobilitas, gloria, potentia, pax, amicitia; quae autem intus sunt circa animam, sicut etiam Platoni visum est, prudentiam, temperantiam, iustitiam, fortitudinem. Mala autem etiam hic dicit per adversationem extitisse bonorum et esse in eo loco, qui sub luna est, supra lunam autem non pertingere. Animam autem universi quidem mundi immortalem esse et ipsum mundum aeternum,

λία Roeperus coll. Joh. Stob. eclog. II p. 274 *καὶ τῶν ἐκτὸς λεγομένων εὐγένειαν, πλοῦτον, δόξαν, εἰρήνην, ἐλευθερίαν, φιλίαν: ἐρρωμένη φίλων* vulgo   24. 25. *τὴν μὲν* Roeperus: *τοῦ μὲν* vulgo

ἀΐδιον, τὴν δὲ καθ' ἕκαστον, ὡς προείπομεν, ἀφανίζεσθαι. Οὗτος μὲν οὖν ἐν τῷ Λυκείῳ ποιούμενος τὰς διατριβὰς ἐφιλοσόφει· ὁ δὲ Ζήνων ἐν τῇ ποικίλῃ στοᾷ. Ἐκτήσαντο δὲ οἱ μὲν ἀπὸ τοῦ Ζήνωνος ἀπὸ τοῦ τόπου τὸ ὄνομα, τουτέστιν ἀπὸ τῆς στοᾶς Στωϊκοὶ κληθέντες· οἱ δὲ ἀπὸ τοῦ Ἀριστοτέλους ἀπὸ τοῦ ἔργου. Ἐπειδὴ γὰρ περιπατοῦντες ἐν τῷ Λυκείῳ ἐζήτουν, διὰ τοῦτο Περιπατητικοὶ ἐκλήθησαν. ταῦτα μὲν οὖν καὶ ὁ Ἀριστοτέλης.

21. Στωϊκοὶ καὶ αὐτοὶ μὲν ἐπὶ τὸ συλλογιστικώτερον τὴν φιλοσοφίαν ηὔξησαν καὶ σχεδὸν ὅροις περιέλαβον, ὁμόδοξοι γενόμενοι ὅ τε Χρύσιππος καὶ Ζήνων, οἳ ὑπέθεντο καὶ αὐτοὶ ἀρχὴν μὲν θεὸν τῶν πάντων, σῶμα ὄντα τὸ καθαρώτατον, διὰ πάντων δὲ διήκειν τὴν πρόνοιαν αὐτοῦ, καὶ αὐτοὶ δὲ τὸ καθ' εἱμαρμένην εἶναι πάντη διεβεβαιώσαντο παραδείγματι χρησάμενοι τοιούτῳ, ὅτι ὥσπερ ὀχήματος ἐὰν ᾖ ἐξηρτημένος κύων, ἐὰν μὲν βούληται ἕπεσθαι, καὶ ἕλκεται καὶ ἕπεται ἑκών, ποιῶν καὶ τὸ αὐτεξούσιον μετὰ τῆς ἀνάγκης οἷον τῆς εἱμαρμένης· ἐὰν δὲ μὴ βούληται ἕπεσθαι, πάντως ἀναγκασθήσεται, τὸ αὐτὸ δή που καὶ ἐπὶ τῶν ἀνθρώπων· καὶ μὴ βουλόμενοι γὰρ ἀκολουθεῖν ἀναγκασθήσονται πάντως εἰς τὸ πεπρωμένον εἰσελθεῖν. Τὴν δὲ ψυχὴν λέγουσι μένειν μετὰ θάνατον, εἶναι δὲ σῶμα καὶ γενέσθαι ἐκ τῆς περιψύξεως τοῦ ἀέρος τοῦ περιέχοντος, διὸ καὶ καλεῖσθαι ψυχήν. Ὁμολογοῦσι δὲ καὶ μετενσωμάτωσιν γίνεσθαι ὡρισμένων οὐσῶν τῶν ψυχῶν. Προσδέχονται δὲ ἐκπύρωσιν ἔσεσθαι καὶ κάθαρσιν τοῦ κόσμου τούτου, οἱ μὲν| παντός, οἱ δὲ μέρους, καὶ κατὰ μέρος δὲ αὐτὸν καθαίρεσθαι λέγουσιν· καὶ σχεδὸν τὴν φθορὰν καὶ τὴν ἑτέρου ἐξ αὐτῆς γένεσιν κάθαρσιν ὀνομάζουσιν. Σώματα δὲ πάντα ὑπέθεντο, καὶ σῶμα διὰ σώματος μὲν χωρεῖν, ἀλλὰ ἀνάκλασιν εἶναι καὶ πεπληρῶσθαι πάντα καὶ μηδὲν εἶναι κενόν. Ταῦτα καὶ οἱ Στωϊκοί.

22. Ἐπίκουρος δὲ σχεδὸν ἐναντίαν πᾶσι δόξαν ἔθετο. Ἀρχὰς μὲν τῶν ὅλων ὑπέθετο ἀτόμους καὶ κενόν. Κενὸν μὲν οἷον τόπον τῶν ἐσομένων, ἀτόμους δὲ τὴν ὕλην, ἐξ ἧς τὰ πάντα. Ἐκ δὲ τῶν ἀτόμων συνελθόντων γενέσθαι καὶ τὸν θεόν, καὶ

33. οἱ δὲ Στωϊκοὶ T 38. πάντα T 40. 41. ἑκὼν ποιῶν Wolfius: ποιῶν vulgo: alia Roeperus p. 625 45. μένειν μετὰ θάνατον Roeperus p. 625 sq.: μὲν ἀθάνατον vulgo 49. ἐμπύρωσιν O

singulorum autem, ut supra diximus, perire. Hic igitur in Lyceo versari solitus philosophabatur, Zeno autem in porticu quae Poecile vocabatur. Nacti autem sunt Zenonis discipuli a loco nomen, cum a Stoa Stoici vocati sint, Aristotelis autem ab opere; quoniam enim ambulantes in Lyceo commentabantur, hanc ob causam Peripatetici appellati sunt. Haec igitur Aristotelis doctrina fuit.

Stoici et ipsi quidem syllogisticam partem philosophiae amplificaverunt et paene terminis suis circumscripserunt, idem secuti et Chrysippus et Zeno, qui posuerunt et ipsi deum quidem principium rerum, qui sit corpus purissimum, per omnia autem pervadere providentiam illius, et ipsi vero fato omnia fieri pro certo posuerunt, exemplo usi hoce. Veluti ad currum cum iunctus sit canis, quando quidem velit sequi, et trahi et sequi sponte, cum faciat etiam quod voluntario faciat cum necessitate, tanquam fato; sin minus velit sequi, certe coactum iri. Idemque valere in hominibus. Etenim vel cum sequi nolunt, certe cogentur devenire in id quod fatum est. Animam autem dicunt permanere post mortem, esse autem corpus et ortum esse ex frigefactione aëris continentis, quapropter etiam vocari psycham. Consentiunt autem etiam migrationem animarum existere, cum definitae sint animae. Sumunt autem conflagrationem fore et purgationem huius mundi, alii universi, partis alii et per partem eum purgari aiunt, et paene interitum aliusque ex eo generationem purgationem appellant. Corpora autem universa ponunt et corpus penetrare quidem per corpus, sed refractionem esse, et impleta esse omnia nec quidquam esse vacuum. Haec quidem et Stoici.

Epicurus autem paene contrariam universis doctrinam professus est. Principia omnium statuit atomos et inane: inane quidem tanquam spatium rerum futurarum, atomos autem materiem, ex qua universa. Ex congressis autem atomis extitisse

52. *κάθαρσιν* Roeperus: *καθάρσιον* vulgo 53. *μὲν χωρεῖν*] *μὴ χωρεῖν* vulgo 53. *ἀνάκλασιν* H. Ritterus: *ἀνάστασιν* vulgo: *ἀντίστασιν* Salvinius

τὰ στοιχεῖα πάντα, καὶ τὰ ἐν αὐτοῖς πάντα καὶ ζῷα καὶ ἄλλα, ὡς μηδὲν γίνεσθαι μήτε συνεστάναι, εἰ μὴ ἐκ τῶν ἀτόμων εἴη. Τὰς δὲ ἀτόμους τὸ λεπτομερέστατον καὶ ἐφ' οὗ οὐκ ἂν γένοιτο κέντρον οὐδὲ σημεῖον οὐδὲν οὐδὲ διαίρεσις οὐδεμία, ἔφη εἶναι, διὸ καὶ ἀτόμους αὐτὰς ὠνόμασε. Τὸν δὲ θεὸν ὁμολογῶν εἶναι ἀΐδιον καὶ ἄφθαρτόν φησι μηδενὸς προνοεῖν, καὶ ὅλως πρόνοιαν μὴ εἶναι μηδὲ εἱμαρμένην, ἀλλὰ πάντα κατὰ αὐτοματισμὸν γίνεσθαι. Καθῆσθαι γὰρ τὸν θεὸν ἐν τοῖς μετακοσμίοις, οὕτω καλουμένοις ὑπ' αὐτοῦ· ἔξω γάρ τι τοῦ κόσμου οἰκητήριον τοῦ θεοῦ ἔθετο εἶναι, λεγόμενον τὰ μετακόσμια, ἥδεσθαί τε καὶ ἡσυχάζειν ἐν τῇ ἀκροτάτῃ εὐφροσύνῃ, καὶ μήτε αὐτὸν πράγματα ἔχειν μήτε ἄλλοις παρέχειν. Οἷς ἀκόλουθον καὶ τὸν περὶ τῶν σοφῶν ἀνδρῶν πεποίηται λόγον, λέγων τὸ τέλος τῆς σοφίας εἶναι ἡδονήν. Ἄλλοι δὲ ἄλλως τὸ ὄνομα τῆς ἡδονῆς ἐξέλαβον· οἱ μὲν γὰρ κατενόησαν τὰς | ἐπιθυμίας, οἱ δὲ τὴν ἐπὶ τῇ ἀρετῇ ἡδονήν. Τὰς δὲ ψυχὰς τῶν ἀνθρώπων λύεσθαι ἅμα τοῖς σώμασιν, ὥσπερ καὶ συγγεννᾶσθαι αὐτοῖς τίθεται, αἷμα γὰρ αὐτὰς εἶναι, οὗ ἐξελθόντος ἢ τραπέντος ἀπόλλυσθαι ὅλον τὸν ἄνθρωπον, ᾧ ἀκολουθεῖ μήτε κρίσεις εἶναι ἐν Ἅιδου, μήτε δικαστήρια, ὡς ὅ τι ἂν δράσῃ τις ἐν τῷ βίῳ τούτῳ καὶ διαλάθῃ ἀνεύθυνον εἶναι παντελῶς. Οὕτως οὖν καὶ Ἐπίκουρος.

23. Ἄλλη δὲ αἵρεσις φιλοσόφων ἐκλήθη Ἀκαδημαϊκή, διὰ τὸ ἐν τῇ Ἀκαδημίᾳ τὰς διατριβὰς αὐτοὺς ποιεῖσθαι, ὧν ἄρξας ὁ Πύρρων, ἀφ' οὗ Πυρρώνειοι ἐκλήθησαν φιλόσοφοι, τὴν ἀκαταληψίαν ἁπάντων πρῶτος εἰσήγαγεν, ὡς ἐπιχειρεῖν μὲν εἰς ἑκάτερα, μὴ μέντοι ἀποφαίνεσθαι μηδέν. Οὐδὲν γὰρ εἶναι οὔτε τῶν νοητῶν οὔτε τῶν αἰσθητῶν ἀληθές, ἀλλὰ δοκεῖν τοῖς ἀνθρώποις οὕτως ἔχειν. Ῥευστήν τε εἶναι τὴν οὐσίαν πᾶσαν καὶ μεταβλητήν, καὶ μηδέποτε ἐν τῷ αὐτῷ μένειν. Οἱ μὲν οὖν τῶν Ἀκαδημαϊκῶν λέγουσι μὴ δεῖν τὴν ἀρχὴν περὶ μηδενὸς ἀποφαίνεσθαι, ἀλλ' ἁπλῶς ἐπιχειρήσαντας ἐᾶν. Οἱ δὲ τὸ οὐ μᾶλλον προσέθεσαν, λέγοντες οὐ μᾶλλον τὸ πῦρ πῦρ εἶναι ἢ

60. Roeperus p. 626 ad doctrinam Epicuri congruenter ita scriptum malit: καὶ τὰ στοιχεῖα, καὶ τοὺς κόσμους, καὶ τὰ ἐν αὐτοῖς πάντα 60. πάντα καὶ ante ζῷα om T 62. ἐφ' Roeperus: μεθ' vulgo 68. καλουμένοις Gronovius: καλουμένου libri 71. οὔτε αὐτὸν πρᾶγμα ἔχειν, οὔτε ἄλλῳ παρέχειν· ᾧ ἀκόλουθον T 73. τῆς σοφίας] αὐτοῖς T 74. κατ-

etiam deum et elementa [et mundos] et quae sunt in eis omnia, et animalia et reliqua, ut nihil neque fiat neque extiterit, nisi quod ex atomis natum sit. Atomos autem tenuissimum et in quo esse nequeat neque centrum, neque signum, nec denique divisio ulla dixit esse, quapropter et atomos eas vocavit. Deum autem perennem et immortalem confessus esse dicit nullius rei providentiam habere, neque omnino esse providentiam nec fatum, sed omnia fortuito fieri. Considere enim deum in locis, quae intermundia appellat; extra enim mundum quoddam dei habitaculum esse statuit eaque intermundia vocari, laetarique et requiescere in extrema hilaritate, neque ipsum vel habere negotia vel praebere aliis. Quibus consentaneam et de sapientibus hominibus instituit disputationem, dicens finem sapientiae esse voluptatem. Alii autem aliter vocem voluptatis interpretati sunt; alii enim intellexerunt cupiditates, alii autem eam voluptatem, quam habet virtus. Animas autem hominum solvi simul cum corporibus, sicuti etiam una gigni statuit, sanguinem enim eas esse, quo egresso aut mutato interire totum hominem, cui consectarium est, quod nulla esse statuit iudicia in Orco neque tribunalia, ut, quidquid commiserit quispiam in hac vita et latuerit, plane impune illi sit. Ita igitur et Epicurus.

Alia schola philosophorum vocata est Academicorum, quia in Academia conversationes instituere solebant, quorum dux qui exstitit Pyrrho, a quo Pyrrhonei vocati sunt philosophi, incomprehensibilitatem omnium primus introduxit, ut aggrediantur quidem in utramque partem, non vero definiant quidquam. Nihil enim esse neque comprehensibilium neque sensibilium verum, sed videri hominibus ita esse, fluidamque esse materiem omnem et mutabilem nec unquam in eodem loco permanere. Iam alii ex Academicis dicunt non oportere omnino de quoquam affirmare, sed tantum aggressos mittere. Alii autem illud *non magis* adiecerunt, his usi verbis; non magis ignis

ενόησαν] *κατὰ ἔθνη* vulgo: *κατ' αἴσθησιν* Roeperus 79. *ὡς* Roeperus: *ὧν* vulgo 84. *Πυρρώνιοι* vulgo 91. 92. *τὸ οὐ μᾶλλον — οὐ μᾶλλον* Roeperus p. 628. coll. Sext. Empir. Pyrrhon. hypotypos. I, 188—192. Diog. Laërt. IX, 75. Gell. noctt. Att. XI, 5: *τὸ μᾶλλον — τὸ μᾶλλον* vulgo 92. *πῦρ πῦρ*] *πῦρ* vulgo

ἄλλο τι. Οὐ μέν τοι ἀπεφήναντο αὐτὸ τί ἐστιν, ἀλλὰ τὸ τοιόνδε.

24. *Ἔστι δὲ καὶ παρὰ Ἰνδοῖς αἵρεσις φιλοσοφουμένων ἐν τοῖς Βραχμάναις, οἳ βίον μὲν αὐτάρκη προβάλλονται, ἐμψύχων δὲ καὶ τῶν διὰ πυρὸς βρωμάτων πάντων ἀπέχονται, ἀκροδρύοις ἀρκούμενοι, μηδὲ αὐτὰ ταῦτα τρυγῶντες, ἀλλὰ τὰ πίπτοντα εἰς τὴν γῆν βασιάζοντες | ζῶσιν, ὕδωρ ποταμοῦ Ταγαβενὰ πίνοντες. Διαβιοῦσι δὲ γυμνοί, τὸ σῶμα ἔνδυμα τῇ ψυχῇ ὑπὸ τοῦ θεοῦ γεγονέναι λέγοντες. Οὗτοι τὸν θεὸν φῶς εἶναι λέγουσιν, οὐχ ὁποῖόν τις ὁρᾷ, οὐδ' οἷον ἥλιος καὶ πῦρ, ἀλλά ἐστιν αὐτοῖς ὁ θεὸς λόγος, οὐχ ὁ ἔναρθρος, ἀλλὰ ὁ τῆς γνώσεως, δι' οὗ τὰ κρυπτὰ τῆς φύσεως μυστήρια ὁρᾶται σοφοῖς. Τοῦτο δὲ τὸ φῶς, ὅ φασι λόγον τὸν θεόν, αὐτοὺς μόνους εἰδέναι Βραχμᾶνας λέγουσι, διὰ τὸ ἀπορρῖψαι μόνους τὴν κενοδοξίαν, ὅς ἐστι χιτὼν τῆς ψυχῆς ἔσχατος. Οὗτοι θανάτου καταφρονοῦσιν· ἀεὶ δὲ ἰδίᾳ φωνῇ θεὸν ὀνομάζουσι, καθὼς προείπομεν, ὕμνους τε ἀναπέμπουσιν. Οὔτε δὲ γυναῖκες παρ' αὐτοῖς οὔτε τεκνοῦσιν. Οἱ δὲ τοῦ ὁμοίου αὐτοῖς βίου ὀρεχθέντες ἐκ τῆς ἀντιπέραν χώρας τοῦ ποταμοῦ διαπερήσαντες ἐκεῖσε ἐναπομένουσιν, ἀναστρέφοντες μηκέτι· καὶ αὐτοὶ δὲ Βραχμᾶνες καλοῦνται. Βίον δὲ οὐχ ὁμοίως διάγουσιν· εἰσὶ γὰρ καὶ γυναῖκες ἐν τῇ χώρᾳ, ἐξ ὧνπερ οἱ ἐκεῖ κατοικοῦντες γεννῶνται καὶ γεννῶσιν. Τοῦτον δὲ τὸν λόγον, ὃν θεὸν ὀνομάζουσι, σωματικὸν εἶναι, περικείμενόν τε σῶμα ἔξωθεν ἑαυτοῦ, καθάπερ εἴ τις τὸ ἐκ τῶν προβάτων ἔνδυμα φορεῖ, ἀπεκδυσάμενον δὲ τὸ σῶμα, ὃ περίκειται, ὀφθαλμοφανῶς φαίνεσθαι. Πόλεμον δὲ εἶναι ἐν τῷ περικειμένῳ αὐτῶν σώματι οἱ Βραχμᾶνες λέγουσι [καὶ πλῆρες εἶναι πολεμίων αὐτοῖς τὸ σῶμα νενομίκασι], πρὸς ὃ ὡς πρὸς πολεμίους παρατεταγμένοι μάχονται, καθὼς προδεδηλώκαμεν. Πάντας δὲ ἀνθρώπους λέγουσιν αἰχμαλώτους εἶναι τῶν ἰδίων συγγενῶν πολεμίων, γαστρὸς καὶ αἰδοίων, λαιμοῦ, ὀργῆς, χαρᾶς, λύπης, ἐπιθυμίας καὶ τῶν ὁμοίων. Μόνος δὲ πρὸς τὸν θεὸν χωρεῖ ὁ κατὰ τούτων ἐγείρας τρόπαιον. Διὸ Δάνδαμιν μέν, πρὸς ὃν Ἀλέξανδρος ὁ Μακεδὼν εἰσῆλθεν,*

93. *αὐτὸ τί*] *αὐτὸ τὸ τί* Roeperus 99. *ἐν τῇ γῇ* T 2. *Οὗτοι* Roeperus: *Αὐτοὶ* vulgo 5. *φύσεως* Roeperus p. 629: *γνώσεως* vulgo 6. 7. *εἰδέναι*] *ἰδεῖν* Roeperus *Βραχμᾶνες* Roeperus 8. *ὅς* Roeperus: *ὅ* vulgo 9. *φωνῇ θεὸν*] *φῶς τὸν θεὸν* Roeperus. An: *ᾄδουσι*

ignis quam quodvis aliud. Illud autem non declaraverunt, ignis ipse quid esset, sed in hunc modum.

Est autem etiam in Indis schola philosophantium in Brachmanis. Qui vitam cum abstinentem sectantur, animatis et igni coctis cibis omnibus abstinent acquiescuntque in frugibus arborum, et ne has quidem decerpentes, sed quae ceciderunt in terram auferentes vivunt, aquam fluminis Tagabena bibentes. Per omnem autem vitam agunt nudi, corpus vestimentum animae a deo tributum esse affirmantes. Hi deum lucem esse dictitant, non qualem quis cernit, nec qualis sol et ignis, sed est iis deus logus, non articulatus sed cognitionis, per quem abscondita naturae arcana cernuntur sapientibus. Hanc autem lucem, quam dicunt logum deum, semet solos novisse qui sint Brachmanes, quippe qui soli abiecerint vanam opinationem, quod est velamen animae extremum. Hi mortem contemnunt, celebrant autem domestica lingua deum, quem vocant eo nomine, quo supra diximus, hymnosque in sublime mittunt. Neque autem mulieres inter illos, neque procreant liberos. Qui autem similem illis vitam affectant, ex terra quae trans flumen est transgressi illuc inter illos manent nec unquam revertuntur, et ipsi autem Brachmanes vocantur. Vitam autem non eodem modo peragunt; sunt enim etiam mulieres in ea regione, ex quibus qui inhabitant ea loca et generantur et generant. Hunc autem logum, quem deum vocant, corporeum esse et vestitum corpore extra sese, tanquam cum quis pellem ovilem gestet, exuto autem corpore, quo vestitus sit, clare oculis patere. Bellum autem inesse in corpore, quo vestiantur, docent Brachmanes [et plenum esse corpus hostium arbitrantur], contra quod tanquam contra hostes iusta acie depugnant, sicuti antea declaravimus. Omnes autem homines aiunt captivos esse congenitorum suorum hostium, ventris et pudendorum, gulae, irae, laetitiae, luctus, cupiditatis et quae sunt reliqua. Solus autem ad deum graditur qui de his tropaeum erexit. Quapropter Dandamin, ad quem Alexander Macedo accessit,

δὲ ἰδίᾳ φωνῇ θεόν, ὃν ὀνομάζουσι κ. τ. λ.? 14. *Βίῳ* Ruaeus 16. Immerito videtur de sinceritate horum verborum dubitare Roeperus 21. Verba *καὶ — νενομίκασι* uncis inclusit Roeperus 21. *πολεμίων* Roeperus: *πόλεμων* vulgo

ὡς νενικηκότα τὸν πόλεμον τὸν ἐν τῷ σώματι, Βραχμᾶνες θεολογοῦσι· | Καλάνου δὲ καταφέρονται ὡς ἀσεβῶς ἀποστατήσαντος τῆς κατ' αὐτοὺς φιλοσοφίας. Ἀποθέμενοι δὲ Βραχμᾶνες τὸ σῶμα ὥσπερ ἐξ ὕδατος ἰχθύες ἀνακύψαντες εἰς ἀέρα καθαρὸν ὁρῶσι τὸν ἥλιον.

25. Δρυΐδαι οἱ ἐν Κελτοῖς τῇ Πυθαγορείῳ φιλοσοφίᾳ κατ' ἄκρον ἐγκύψαντες, αἰτίου αὐτοῖς γενομένου ταύτης τῆς ἀσκήσεως Ζαμόλξιδος δούλου Πυθαγόρου, γένει Θρᾳκίου· ὃς μετὰ τὴν Πυθαγόρου τελευτὴν ἐκεῖ χωρήσας αἴτιος τούτοις ταύτης τῆς φιλοσοφίας ἐγένετο. Τούτους Κελτοὶ ὡς προφήτας καὶ προγνωστικοὺς δοξάζουσιν, διὰ τὸ ἐκ ψήφων καὶ ἀριθμῶν Πυθαγορικῇ τέχνῃ προαγορεύειν αὐτούς τινα, ἧς καὶ αὐτῆς τέχνης τὰς ἐφόδους οὐ σιωπήσομεν, ἐπεὶ καὶ ἐκ τούτων τινὲς αἱρέσεις παρεισάγειν ἐτόλμησαν. Χρῶνται δὲ Δρυΐδαι καὶ μαγείαις.

26. Ἡσίοδος δὲ ὁ ποιητὴς καὶ αὐτὸς περὶ φύσεως οὕτω λέγει ἀκηκοέναι παρὰ Μουσῶν. Διὸς δὲ εἶναι τὰς Μούσας θυγατέρας. Ἐννέα γὰρ νύκτας ὁμοῦ καὶ ἡμέρας δι' ὑπερβολὴν ἐπιθυμίας ἀδιαλείπτως συνευνηθέντος τῇ Μνημοσύνῃ τοῦ Διός, ἐννέα ταύτας τὴν Μνημοσύνην συλλαβεῖν ἐν μιᾷ γαστρί, ἐφ' ἑκάστης νυκτὸς ὑποδεξαμένην μίαν. Καλέσας οὖν τὰς ἐννέα Μούσας ἀπὸ τῆς | Πιερίας, τουτέστιν ἀπὸ τοῦ Ὀλύμπου, διδαχθῆναι παρεκάλει,

. . . . . ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος οἶδμά τε πόντου,
ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
ὡς στέφανον δάσσαντο, καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
. . . . . Ταῦτά μοι Μοῦσαι, φησίν, ἔσπετ'
ἐξ ἀρχῆς καὶ ἔπειθ' ὅ τι περ πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρην νιφόεντος Ὀλύμπου,

29. 30. ἀποστήσαντος B O 35. Ζαμέτριδος B: Ζαμάλξιδος L 35. γένει Θρᾳκίου om. B O: γένει Θρᾳκός? an γένους Θρᾳκίου? 37. γεγένηται T 39. αὐτούς O: αὐτοῖς vulgo 41. μαγείαις Roeperus: μαγίαις vulgo 45. ἀδιαλείπτως T: om ceteri 47. ὑποδεξαμένην Wolfius: ὑποδεξαμένης libri 50. seqq. Hesiod. Theog.

tanquam victorem belli, quod est in corpore, Brachmanes pro divino numine venerantur. Calanum autem insectantur, ut qui praeter fas desciverit a philosophia sua. Deposito autem corpore Brachmanes tanquam ex aqua exsilientes pisces in purum aërem conspicantur solem.

Druidae, qui sunt in Celtis, Pythagoreae philosophiae summo studio sese dediderunt, postquam iis auctor huius disciplinae extitit Zamolxis, qui servus fuit Pythagorae, genere Thrax. Qui cum post Pythagorae obitum eo se contulisset, auctor illis huius philosophiae extitit. Hos Celtae pro prophetis et futurorum vatibus habent, quandoquidem ex calculis et numeris ex arte Pythagorica vaticinantur quaedam, cuius et ipsius artis vias non silebimus, quoniam et ex his haereses inducere quidam conati sunt. Utuntur autem Druidae etiam magicis artibus.

Hesiodus autem poëta et ipse de natura ita se dicit audivisse a Musis. Iovis autem Musas esse filias. Novem enim noctes simul et dies per exsuperantiam cupidinis cum perpetuo Iupiter cum Mnemosyna concubuisset, novem has Mnemosynam concepisse uno utero, singulis enim noctibus concepisse unam. Postquam igitur novem Musas invocavit ex Pieria, hoc est ab Olympo, ut sese edocerent oravit,

ut ab initio dii et terra extiterint
Et fluvii et mare immensum voragoque maris
Stellaeque collucentes et caelum vastum superne,
Utque divitias dispertiverint inter se et ut munera distribuerint,
Et ut ab initio multiiugem occupaverint Olympum.
. . . Haec mihi, Musae, inquit, dicite
A principio et deinde quid tandem primum extiterit eorum.
Igitur omnium primum Chaos extitit, verum postea
Tellus late patens, omnium sedes immota semper
Immortalium, qui obtinent cacumen nivosi Olympi,

108 seqq., ubi multa alia M 52. *λεπτέοντα* O: *λεπτόεντα* B T: *λεπτήεντα* L 53. *ὥς τ' ἄφενος* Hesiod. Theog. v. 112 *δάσαντο* Codd. 57. *ἔπειθ'* Roeperus p. 632: *ἔπειτα* vulgo: *καὶ εἴπαθ' ὅτι πρῶτον* Hesiodus 59. *κάρη* Hesiodus *νιφόντος* vulgo

Τάρταρά τ' ἠνεμόεντα μυχῷ χθονὸς εὐρυοδείης
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
δάμναται ἐν στήθεσφι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο.
Γαῖα δέ τοι πρώτη μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρα ἔῃ μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' οὔρεα μακρὰ θεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσι κατ' οὔρεα βησσήεντα.
Ἠδὲ καὶ ἀτρύγετον Πέλαγος τέκεν οἴδματι θῦον
Πόντον ἄτερ φιλότητος ἐφιμέρου, αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην
Κοῖόν τε Κρεῖόν θ', Ὑπερίονά τ', Ἰάπετόν τε
Θείαν τε Ῥεῖαν τε, Θέμιν τε, Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον, Τηθύν τ' ἐρατεινὴν,
τοὺς δὲ μετ' ἀκρότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων, θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας, ὑπέρβιον ἦτορ ἔχοντας.

Καὶ τοὺς ἄλλους πάντας ἀπὸ τοῦ Κρόνου καταριθμεῖ Γίγαντας. Ὕστερον δέ που ἐκ τῆς Ῥέας γεγονέναι τὸν Δία.

Οὗτοι μὲν οὖν πάντες περὶ τῆς τοῦ παντὸς φύσεώς τε καὶ γενέσεως ταῦτα καθὼς ἐξεθέμεθα τῇ αὐτῶν δόξῃ ἐξεῖπον. Οἱ δὲ πάντες κάτω τοῦ θείου χωρήσαντες περὶ τὴν τῶν γενομένων οὐσίαν ἠσχολήθησαν, τὰ μεγέθη τῆς κτίσεως καταπλαγέντες, καὶ αὐτὰ τὸ θεῖον εἶναι νομίσαντες, ἕτερος ἕτερον μέρος τῆς κτίσεως προκρίναντες, τὸν δὲ θεὸν τούτων καὶ δημιουργὸν μὴ ἐπιγνόντες.

Τὰς μὲν οὖν τῶν καθ' Ἕλληνας φιλοσοφεῖν ἐπικεχειρηκότων δόξας ἱκανῶς ἐκτεθεῖσθαι νομίζω, παρ' ὧν τὰς ἀφορμὰς λαβόντες οἱ αἱρετικοὶ τὰ μετ' οὐ πολὺ ῥηθησόμενα ἐπεχείρησαν. Δοκεῖ δὲ πρότερον ἐκθεμένους τὰ μυστικὰ καὶ ὅσα περιέργως περὶ ἄστρα τινὲς ἢ μεγέθη ἐφαντάσθησαν, εἰπεῖν· καὶ γὰρ ἐξ

60. *ἠερόεντα* Hesiodus *εὐρυοδίης* L: *εὐρωδίης* B O T 63. *δάμνατε* L T *στήθεσφι* L T: *στήθεσσι* vulgo 66. *πρώτη* B O: *πρῶτα* L: *πρῶτον* libri vulgati et Hesiodus 67. *ἵνα μιν*] *δύναμιν* Codd. *καλύπτειν* Codd. 68. *ὄφρ' ἔνι* B: *ὄφρ' ἔῃ* Gronovius 69. *θεῶν*]

Tartarique tenebrosa sinu terrae vastae,
Atque Amor, qui pulcherrimus in immortalibus diis,
Levans curas omniumque deorum omniumque mortalium,
Domat in pectoribus mentem et prudens consilium.
Ex Chao autem et Erebus et atra Nox extiterunt.
Ex Nocte autem rursus et Aër et Dies enati sunt.
Tellus autem primum peperit par sibimet ipsi
Caelum stellatum, ut se circumquaque obtegeret,
Ut esset beatis diis sedes immota semper.
Peperit autem montes magnos dearum iucunda cubilia
Nympharum, quae habitant per montes confragosos.
Praeterea et sterile Mare peperit aestu fervens
Pontum sine amore iucundo, verum postea
Caelo iuncta peperit Oceanum profundum
Coeumque et Crium Hyperionemque Iapetumque
Thiamque Rheamque Theminque Mnemosynamque
Phoebamque aurea taenia Tethynque amabilem,
Post hos autem supremus natus est Saturnus vafer,
Ferocissimus filiorum, vegetum autem oderat parentem.
Peperit autem rursus Cyclopes trucem animum gerentes.

Et reliquos omnes a Saturno enumerat Gigantes. Post autem aliquando ex Rhea natum esse Jovem.

Hi igitur omnes de universi et natura et genitura haec, sicut exposuimus, ex doctrina sua statuerunt. Universi autem degressi infra id, quod divinum est, de creatarum rerum natura quaesiverunt, excellentias mundi admirati, quippe quas pro divino numine acciperent, cum alius aliam partem mundi anteferrent, deum autem horum omnium et opificem ignorarent.

Igitur eorum, qui in Graecis philosophati sunt, decreta abunde exposita esse arbitror, a quibus profecti haeretici quae paulo post dicentur aggressi sunt. Placet autem prius expositis mysticis etiam quaecunque operose de stellis quidam et spatiis commenti sunt dicere. Etenim ex illis profecti haeretici

ὅσα Codd. 70. Νυμφαίων B O: Νυμφάων L 75. Θίαν vulgo
Ῥείαν vulgo 77. ἀκρότατος Codd.: ὁπλότατος Hesiodus ἀγκυλομή-
της vulgo

αὐτῶν λαβόντες ἀφορμὰς τερατολογεῖν νομίζονται τοῖς πολλοῖς· ἔπειτα ἀκολούθως τὰ ὑπ᾿ αὐτῶν ἀδρανῆ δόγματα φανερώσομεν.

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ ΒΙΒΛΙΟΝ Δ'.

---

1. . . . . [μοίρας ἐπὶ ποστὴν μοῖραν πλεῖστον δύναται. Περὶ ὧν οὐχ ἡ τυχοῦσα] παρ᾿ αὐτοῖς ἐστι καιὰ [τοὺς πίνακας διαφωνία. Δορυφορεῖσθαι δὲ] ἀστέρας λέγουσιν, ὅ[ταν μέσοι ὦσιν ἄλλων ἀστέρων ἐν συνεχείᾳ] ζῳδίων, οἷον, ἐὰν τοῦ αὐτ[οῦ ζῳδίου ὅς μέν τις ἀστὴρ τὰς πρώτας ἐπέχῃ μοίρας,] ὅς δὲ [τὰς τελευταίας, ὅς δὲ τὰς ἐν μέσῳ, δορυφορεῖσθαι λέγεται ὁ ἐν] μέσῳ ὑπὸ τῶν τὰς ἐπ᾿ ἄκροις ἐπεχόντων μοίρας. [Ἐπιβλέπειν δὲ λέγονται ἀλλήλους καὶ συμφωνεῖν ἀλλήλοις] ὡς οἱ κατὰ τρίγωνον ἢ τετράγωνον φαινόμενοι· κατὰ τρίγωνον μὲν οὖν σχηματίζονται καὶ ἐπιθεωροῦσιν ἀλλήλους οἱ ἐπὶ τριῶν ζῳδίων ἔχοντες τὸ μεταξὺ διάλειμμα, κατὰ τετράγωνον δὲ οἱ δυεῖν· κεφαλῇ τὰ ὑποκείμενα μέρη συμπά[σχει καὶ τοῖς ὑποκει]μένοις ἡ κεφαλή, οὕτω καὶ τοῖς ὑπερσεληναίοις τὰ ἐπίγεια. Ἀλλά τις ἔστι τούτων διαφορὰ καὶ ἀσυμπάθεια, ὡς ἂν μὴ μίαν καὶ τ[ὴν] αὐτὴν ἐχόντων ἕνωσιν.|

2. Τούτοις χρησάμενοι Εὐφράτης ὁ Περ[ατικὸς] καὶ Ἀκεμβὴς ὁ Καρύστιος καὶ ὁ λοιπὸς τούτων χορὸς τῷ λόγῳ [τῷ] τῆς ἀληθείας ἐπονομάσαντες αἰώνων στάσιν καὶ ἀπόστασιν ἀ[γαθῶν] δυνάμεων εἰς κακὰ καὶ συμφωνίας ἀγαθῶν μετὰ πονηρῶν προσαγορεύουσι, καλοῦντες τοπάρχας καὶ προαστείους καὶ ἄλλα πλεῖστα ὀνόματα· ὧν πᾶσαν τὴν ἐπικεχειρημένην αἵρεσιν ἐκθή-

94. τοῖς πολλοῖς] πολλοὶ Roeperus: πολλοῖς vulgo 1. Quid exciderit, ex Sext. Empir. adv. Mathem. V. §. 37, p. 345, quem secutus est Hippolytus, cognoscitur, apud quem haec praecedunt: Ὅρια δὲ ἀστέρων προσαγορεύουσιν ἐν ἑκάστῳ ζωδίῳ ἐν οἷς ἕκαστος τῶν ἀστέρων ἀπὸ ποστῆς. Uncis inclusa in Cod. prorsus evanuerunt M 2. καὶ κατὰ Sextus 4. ἐὰν] ἀντὶ C 5. ὁ μέν M 5. 6. ὁ δὲ C M 8. Eadem iterantur p. 127, 17 sqq. 9. κατὰ τρίγωνον ἢ τετράγωνον

prodigia loqui censentur a multitudine. Tum deinceps futilia illorum commenta illustrabimus.

REFUTATIONIS OMNIUM HAERESIUM
LIBER QUARTUS.

1. [Stellarum autem appellant terminos in unoquoque signo, in quibus unaquaeque stella a quota parte ad quotam usque partem potest plurimum. De quibus non exigua] est apud illos secundum [tabulas suas diversitas. Stipari autem tanquam a satellitibus] stellas aiunt, [quando mediae sunt inter alias stellas in confiniis] signorum, veluti, quando [eiusdem signi stella aliqua primas occupat partes], alia [extremas, alia denique quae sunt in medio], stipari a satellitibus dicitur ea quae est media ab iis, quae obtinent eas partes, quae sunt in extremo. [Adspectare autem dicuntur invicem et concinere inter se] utpote in figura triangulari aut quadrangulari apparentes. Atque triangula quidem figurantur forma et adspectant inter se, quae trium signorum spatium habent interiectum, quadrangula autem, quae duorum. Capiti humano subiectae partes [compatiuntur et subiectis] caput, ita etiam superlunaribus partibus terrestres. Sed quaedam harum est diversitas et incompatibilitas, ut quae non unam eandemque habeant iuncturam.

2. His usi Euphrates Peraticus et Acembes Carystius reliquaque horum turba doctrinae veritatis aliena affingentes aevorum discordiam et transgressionem bonarum potestatum in mala et concentus bonarum cum pravis loquuntur, vocantes toparchas et proastios aliisque plurimis nominibus, quorum uni-

om C M Cfr. Sext. §. 39 9. 10. *κατὰ τρίγωνον μὲν οὖν σχηματίζονται καὶ ἐπιθεωροῦσιν* Sextus: *καὶ συσχηματίζοντες· ἐπιθεωροῦσι δὲ* C M 10. *οἱ* Sextus: om. C M 11. *διάστημα* Sextus 12. *οἱ* Sextus: *εἰ* C M *δυοῖν* Sextus *κεφαλὴ* C 13. *ἐν κεφαλῇ* C 13. *ὑπὲρ σεληναίοις* C: *ἐπουρανίοις* Sextus 14. *συμπάθεια, ὡσάν* C Cfr. Sext. V §. 44 p. 345 16. 17. *Ἀκεμβὴς*] Infra p. 127 *Κέλβης,* p. 315 *Ἀδέμης* 17. Cfr. infra p. 127, 26 sqq., ubi eadem ampliora leguntur

σομαι καὶ διελέγξω, ἐπὰν εἰς τὸν περὶ τούτων λόγον φθάσωμεν. Νυνὶ δέ, μή ποτέ τις νομίσῃ πιστὰ εἶναι καὶ ἀσφαλῆ τὰ τοῖς Χαλδαίοις νενομισμένα περὶ τὴν ἀστρολογικὴν μάθησιν, οὐκ ὀκνήσομεν τὸν πρὸς τούτους ἔλεγχον δι' ὀλίγων παραθεῖναι, ἐπιδεικνύντες ματαίαν τὴν τέχνην καὶ πλανᾶν μᾶλλον καὶ ἐξαφανίζειν ψυχὴν δυναμένην ἐλπίζουσαν μάταια, ἢ ὠφελεῖν. οἷς οὐ κατὰ τέχνης ἐμπειρίαν ἐ[π]έχομεν, ἀλλ' ἐκ τῆς τῶν πρακτικῶν λόγων [γνώ]σεως. Οἱ ταύτην τὴν μάθησιν ἠσκηκότες Χαλδαίων γενόμενοι ὁμιληταὶ ὡς ξένα τοῖς ἀνθρώποις καὶ θαυμάσια μεταδιδόντες μυστήρια τοῖς ὀνόμασιν ἐναλλάξαντες αἵρεσιν ἔνθεν συνεστήσαντο· ἀλλ' ἐπεὶ τὴν τῶν ἀστρολόγων τέχνην ὡς δυνατὴν νομίσαντες ταῖς τε παρ' αὐτῶν μαρτυρίαις χρώμενοι τὰ ἐπιχειρούμενα δι' αὐτῶν πιστεύεσθαι θέλουσι, τανῦν καθὼς ἔδοξε τὴν ἀστρολογικὴν ἐπιδείξομεν ἀσύστατον, αὖθις μέλλοντες καὶ τὴν Περατικὴν ἀκυροῦν ὡς κλάδον ἐκ ῥίζης ἀσυστάτου πεφυκυῖαν.

3. *Ἀρχὴ μὲν οὖν καὶ ὥσπερ θεμέλιός ἐστι στῆσαι τὸν* | *ὡροσκόπον. Ἀπὸ τούτου γὰρ τὰ λοιπὰ τῶν κέντρων λαμβάνεται τά τε ἀποκλίματα καὶ αἱ ἐπαναφοραὶ τά τε τρίγωνα καὶ τὰ τετράγωνα καὶ οἱ κατ' αὐτὰ σχηματισμοὶ τῶν ἀστέρων, ἀπὸ δὲ πάντων τούτων αἱ προαγορεύσεις. ὅθεν ἀναιρεθέντος τοῦ ὡροσκόπου κατὰ ἀνάγκην οὐδὲ τὸ μεσουρανοῦν [ἢ δῦνον ἢ ἀντιμεσουρανοῦν] ἐστὶ γνώριμον, ἀκαταληπτουμένων δὲ τούτων συναφανίζεται πᾶσα [ἡ] Χαλδαϊκὴ μέθοδος. Ὅτι δὲ ἀνεύρετον αὐτοῖς ἐστι τὸ ὡροσκοποῦν ζώδιον, ποικίλως ἔστι διδάσκειν. Ἵνα γὰρ τοῦτο καταληφθῇ, δεῖ πρῶτον μὲν τὴν γένεσιν τοῦ πίπτοντος ὑπὸ τὴν ἐπίσκεψιν βεβαίως κατειλῆφθαι, δεύτερον [δὲ] τὸ διασημαῖνον ταύτην ὡροσκόπιον [ἀπλανὲς] ὑπάρχειν, τρίτον δὲ τὴν ἀναφορὰν τοῦ ζωδίου πρὸς ἀκρίβειαν συνῶφθαι. Ἐπὶ μὲν γὰρ τῆς ἀποτέξεως ἡ ἀναφορὰ τοῦ κατ' οὐρανὸν ἀνίσχοντος ζωδίου τετηρήσθω, ἐπεὶ τὸ ὡροσκοποῦν ὁρισάμενοι οἱ*

22. 23. *φράσωμεν* C 25. *τούτοις* C 26. *πλάνην* C 28. *ἐ[ν]έχομεν* M 32. *ἐπὶ* C 34. *τοίνυν* C 38. Quae sequuntur apud Sextum leguntur §. 50 sqq. p. 346 sqq. *ἐστὶ τὸ στῆσαι* Sextus Bekkeri: *ἐπιστῆναι* C: *ἐστι στῆναι* M: *ἐστὶ τὸ στῆναι* Sextus ante Bekkerum 40. *αἱ* om Sextus ante Bekkerum 41. *τὰ* om. C M 43. *οὐδὲ τὸ* Sextus: *οὔτε τι* C M Uncis inclusa desunt in C *ἢ — ἢ] οὔτε — οὔτε* M 44. *ἐπιγνώριμον* C *ἀκαταληπτούντων* C M

versam, quam moliti sunt, pravam doctrinam exponam et confutabo, cum in illum locum devenerimus. Nunc vero, ne forte quisquam opinetur fide digna et certa esse, quae apud Chaldaeos opinione recepta sunt circa astrologicam doctrinam, non cunctabimur horum refutationem paucis afferre, cum demonstramus futilem esse illorum artem et ita comparatam, ut decipiat potius funditusque tollat mentem sperantem vana, quam iuvet. Quibuscum nobis non ex artis praeceptis res erit, sed ex rationibus communis vitae. Hanc doctrinam qui sectati sunt, Chaldaeorum usi consuetudine, tanquam nova hominibus et mirabilia prodentes mysteria commutatis nominibus haeresin inde constituerunt. Sed quoniam astrologorum arti mirificam vim tribuentes illorumque usi testimoniis moliminibus suis fidem facere conantur, nunc, sicuti placuit, astrologicam artem quam sit inepta demonstrabimus, deinceps Peraticorum etiam doctrinam infirmaturi, tanquam ramum ex inepta radice propagatum.

3. Principium igitur et quasi fundamentum est constituere horoscopum. Ab hoc enim reliqui cardinum sumuntur et declinationes et successiones et triangula et quadrata stellarumque ad ea conformationes, ab omnibus autem his praedictiones. Unde dempto horoscopo necessario neque id quod est in medio caeli aut occidens, aut quod est ex adverso eius quod est in medio caeli cognosci potest; haec autem cum comprehendi nequeunt, una tollitur universa Chaldaeorum ars. Reperiri autem ab iis non posse horoscopi signum multifariam licet ostendere. Ut enim hoc comprehendatur oportet primum genituram eius, qui cadit sub considerationem, certo definitam esse; deinde autem horoscopium, quod illam significet, esse non fallax, postremo autem ascensionem signi accurate observatam esse. In pariendo enim ascensio signi in caelo orientis ob-

45. *συναναφανίζεται* C 45. *ἡ* om C 46. *ἔνεστι* Sextus 49. *δὲ* om C *διασημαινόμενον* C M *ἀπλανὲς* om C 50. *ἀναφορὰν* Sextus: *διαφορὰν* C M 51. *Ἐπὶ* Sextus: *Ἀπὸ* C M 51. *ἀποτάξεως* C et Sexti Codd. C S V *ἡ διαφορὰ — ἴσχοντος* C 52. *τετηρείσθω* C: *τετήρηται* Sextus *ἐπὶ* C Uberius Sextus §. 53: *τετήρηται, καθάπερ διακόνῳ πρὸς τὴν τήρησιν τοῦ ὡροσκόπου χρησαμένων τῶν Χαλδαίων· ἐπὶ δὲ τῇ ἀναφορᾷ ὁ συσχηματισμὸς τῶν ἄλλων ἀστέρων, ὅπερ διάθεμα καλοῦσι, καὶ ἐπὶ τῷ διαθέματι αἱ προαγορεύσεις.*

Χαλδαῖοι ἐπὶ τὴν ἀναφορὰν τὸν συσχηματισμὸν τῶν ἄστρων ποιοῦνται, ὅπερ διάθεμα καλοῦσιν, ἐφ᾽ ᾧ τὰς προαγορεύσεις δογματίζουσιν. Οὔτε δὲ τὴν γένεσιν τῶν ὑπὸ τὴν ἐπίσκεψιν πιπτόντων λαμβάνειν δυνατόν | ἐστιν, ὡς παραστήσω, οὔτε τὸ ὡροσκόπιον ἀπλανὲς καθέστηκεν, οὔτε τὸ ἀνίσχον ζώδιον πρὸς ἀκρίβειαν καταλαμβάνεται. Πῶς οὖν ἀσύστατος ἡ τῶν Χαλδαίων μέθοδος νῦν λέγωμεν. Τὴν δὴ γένεσιν τῶν ὑπὸ τὴν ἐπίσκεψιν πεσουμένων πρότερον ὁρίσαντες ἐπιζητεῖν ἤτοι ἀπὸ τῆς τοῦ σπέρματος καταβολῆς καὶ συλλήψεως λαμβάνουσιν ἢ ἀπὸ τῆς ἐκτέξεως. Καὶ εἰ μὲν ἀπὸ τῆς συλλήψεως λαμβάνειν ἐπιχειρήσει τις, ἄληπτός ἐστιν ὁ ἀκριβὴς περὶ τούτου λόγος, ταχὺς ὑπάρχων χρόνος· καὶ εἰκότως. οὐ γὰρ ἔχομεν λέγειν, εἴτε ἅμα τῇ μεταθέσει τοῦ σπέρματος γέγονεν ἡ σύλληψις εἴτε καὶ μή. Δύναται μὲν γὰρ καὶ ἅμα νοήματι τοῦτο συμβαίνειν, ὥσπερ καὶ τὸ προσαχθὲν τοῖς διαπύροις τῶν κλιβάνων στέαρ εὐθὺς κολλᾶται, δύναται δὲ καὶ μετὰ χρόνον. Διαστήματος γὰρ ὄντος ἀπὸ τοῦ στόματος τῆς μήτρας μέχρι τοῦ πυθμένος, ἔνθα καὶ τὰς συλλήψεις λέγουσι γίνεσθαι ἰατροί, πάντως ἐν χρόνῳ τινὶ τὸ διάστημα τοῦτο ἀνύειν πέφυκεν ἡ καταβαλλομένη τοῦ σπέρματος φύσις. Ἀγνοοῦντες οὖν τὴν ποσότητα τοῦ χρόνου κατὰ τὸ ἀκριβὲς οἱ Χαλδαῖοι οὐδέποτε τὴν σύλληψιν καταλήψονται. τοῦ σπέρματος ὁτὲ μὲν εὐθυβολουμένου | καὶ αὐτοῖς προσπίπτοντος ὑφ᾽ ἓν τοῖς εὐφυῶς ἔχουσι πρὸς σύλληψιν τῆς μήτρας [τόποις, ὁτὲ δὲ πολυσπόρως ἐμπίπτοντος, ὑπ᾽ αὐτῆς δὲ τῆς ἐν τῇ μήτρᾳ δυνάμεως εἰς ἕνα τόπον συνάγεσθαι] δυναμένου· τῶν ἀγνώστων τὸ πότε γίνεται τὸ πρῶτον καὶ πότε τὸ δεύτερον, πόσος τε ὁ εἰς ἐκείνην τὴν σύλληψιν ἀναλισκόμενος χρόνος καὶ πόσος [ὁ] εἰς ταύτην· ἀγνοουμένων δὲ τούτων ἦρται καὶ ἡ πρὸς ἀκρίβειαν τῆς συλλήψεως κατάληψις. Εἴπερ τε, ὥσπερ τινὲς τῶν φυσικῶν εἰρήκασιν, ἑψόμενον πρῶτον καὶ προμεταβαλλόμενον ἐν μήτρᾳ τὸ σπέρμα τότε προσέρχεται τοῖς ἀναστομωθεῖσιν αὐτῆς ἀγγείοις, καθάπερ τῇ γῇ τὰ τῆς γῆς σπέρματα· αὐτόθεν οἱ μὴ εἰδότες τὴν ποσότητα τοῦ τῆς μετα-

53. *σχηματισμὸν* C M 55. *ἐπὶ τὴν* Sextus ante Bekkerum 56. *παραστήσομεν* Sextus 58. *ἄστατος* C 59. *λέγομεν* C et Sexti Cod. R et Ed. Gen. *Τὴν δὴ* Sextus: *Δεῖ τὴν* C M. 60. *ὁρίσαντας* C M 65. *θέσει* Sextus: an *καταθέσει?* 71. *ἀνύειν*] *ποιεῖν* Sextus *πέφυκεν ἡ* Sextus: *πέφυκε* C M *τοῦ σπέρματος* Sextus: *τὸ σπέρμα ἡ* C M

servata esse debet, quoniam horoscopi signum definientes Chaldaei ex ascensione configurationem stellarum instituunt, id quod dispositionem appellant, qua innixi praedictiones formant. Verum neque genituram eorum, qui sub considerationem cadunt, licet assequi, ut docebo, neque horoscopium infallax est, neque oriens signum satis accurate comprehenditur. Qua ratione igitur inepta sit Chaldaeorum ars nunc ostendamus. Igitur genituram eorum qui sub considerationem cadent prius cum definierunt quaerere, aut a seminis depositione et conceptione ducunt, aut a partu. Et quando quis a conceptione ducere periclitabitur, accurata horum ratio comprehendi nequit, quippe cum celeriter transvolet tempus; et probabiliter quidem; non enim habemus dicere, utrum una cum transfusione seminis facta sit conceptio annon. Potest enim vel momento cogitationis hoc contingere, sicut etiam farina aqua subacta ardentibus clibanis immissa statim conglutinatur; potest autem etiam post tempus. Spatio enim intercedente ab ore uteri usque ad fundum, ubi et conceptiones fieri aiunt medici, certe in aliquo tempore spatium hoc penetrare consentaneum est demissam naturam seminis. Tenentes igitur quantitatem temporis haud accurate Chaldaei nunquam conceptionem comprehendent. Cum semen aliquando recta iniiciatur et ipsis incidat simul opportune ad conceptionem comparatis uteri [locis, aliquando autem multifariam disiectum incidat, ab ipsa autem quae in utero est vi in unum locum congregari] possit: in ignoratione versatur, quando accidat prius, quando alterum, et quantum temporis in illam conceptionem consumatur, et quantum in hanc. Haec autem cum ignorentur, sublata est et accurata comprehensio conceptionis. Sin vero, sicuti quidam physicorum dixerunt, coctum prius et ante commutatum in utero semen tum demum intrat in reserata eius vasa, sicuti in terram semina terrae: hinc qui

75. *προσπίπτος* C 76. 77. Uncis inclusa suppleta ex Sexto 78. *δυνάμεων· ἀγνώστων δὲ ὄντων πότε* C M 80. *πόσος εἰς αὐτήν* C 81. *ἦρται*] *οἴχεται* Sextus 82. *τε*] *γε* C *ἑψόμενον* Sextus: *ἐμμένον* C M 83. *προμεταβάλλον* Sextus 84. 85. *καθάπερ* — *σπέρματα*] Haec, quae parum ad rem facere videntur, omissa apud Sextum 85. *αὐτόθεν* Sextus: *ὅθεν* C M *οἱ μὴ*] *οὐκ* Sextus

βολῆς χρόνου οὐκ εἴσονται οὐδὲ τὸν τῆς συλλήψεως καιρόν. Ἔτι δὲ καὶ ὡς κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος διαφέρουσιν ἀλλήλων αἱ γυναῖκες κατὰ ἐνέργειάν τε καὶ τὰς λοιπὰς αἰτίας, οὕτως καὶ κατὰ τὴν τῆς μήτρας ἐνέργειαν τὰς μὲν θᾶττον συλλαμβανούσας τὰς δὲ βράδιον. Καὶ οὐ παράδοξον, ὅπου καὶ αὗται αὑταῖς συγκρινόμεναι νυνὶ μὲν εὐσύλληπτοι θεωροῦνται νυνὶ δὲ οὐδαμῶς. Τούτου δ' οὕτως ἔχοντος ἀδυνάτως ἐστι λέγειν πρὸς ἀκρίβειαν πότε | συνέχεται τὸ καταβληθὲν σπέρμα, ἵνα ἀπὸ τούτου τοῦ χρόνου στήσωσιν οἱ Χαλδαῖοι τῆς γενέσεως τὸν ὡροσκόπον.

4. *Τούτῳ τῷ λόγῳ ἀδύνατόν ἐστιν ἐκ τῆς συλλήψεως στῆσαι τὸν ὡροσκόπον. ἀλλ' οὐδὲ ἐξ ἀποτέξεως. Πρῶτον μὲν γὰρ ἄπορόν ἐστι τὸ πότε ῥηθήσεται ἀπότεξιν εἶναι· ἆρά γε ὅταν ἄρξηται προκύπτειν εἰς τὸν ψυχρὸν ἀέρα τὸ ἀποτικτόμενον, ἢ ὅταν ὀλίγον ἐξίσχῃ, ἢ ὅταν εἰς τὴν γῆν κατενεχθῇ; οὐδ' ἐν ἑκάστῳ τούτων δυνατόν ἐστι τὸ ἀκριβὲς τῆς ἀποτέξεως καταλαβέσθαι ἢ χρόνον ὁρίζειν. Καὶ γὰρ διὰ παράστημα ψυχῆς καὶ δι' ἐπιτηδειότητα σώματος καὶ διὰ προαίρεσιν τῶν τόπων καὶ δι' ἐμπειρίαν μαίας καὶ ἄλλας ἀπείρους προφάσεις οὐχ ὁ αὐτός ἐστι χρόνος καθ' ὃν προκύπτει τὸ τικτόμενον ῥαγέντων τῶν ὑμένων, ἢ ἐκτὸς ὀλίγον γίνεται, ἢ εἰς τὴν γῆν καταφέρεται, ἀλλ' ἄλλος ἐπ' ἄλλων. ὃν πάλιν μὴ δυνάμενοι ὡρισμένως καὶ ἀκριβῶς σταθμήσασθαι οἱ Χαλδαῖοι ἐκπεσοῦνται τοῦ δεόντως τὴν τῆς ἀποτέξεως ὥραν ὁρίζειν. Ὅτι μὲν οὖν ἐπαγγέλλονται ἐπὶ τοῖς τῆς ἀποτέξεως χρόνοις οἱ Χαλδαῖοι τὸν ὡροσκόπον γινώσκειν, οὐκ ἴσασι δέ, ἐκ τούτων συμφανές· ὅτι δὲ οὐδὲ τὸ ὡροσκό|πιον ἀπλανὲς αὐτοῖς ἐστί, πάρεστιν ἐπιλογίζεσθαι. Ὅταν γὰρ λέγωσιν ὅτι ὁ προσεδρεύων τῇ ὠδινούσῃ ἅμα τῇ ἀποτέξει δίσκῳ σημαίνει τῷ ἀπὸ τῆς ἀκρωρείας ἀστεροσκοποῦντι Χαλδαίῳ, κἀκεῖνος εἰς οὐρανὸν ἀποβλέπων παρασημαίνεται τὸ ἀνί-*

87. Rectiora haec extant apud Sextum sic: *καὶ μὴν ὥσπερ κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος ἐν ταῖς τῶν μερῶν ἐνεργείαις διαφέρουσιν ἀλλήλων αἱ γυναῖκες, οὕτως εἰκὸς αὐτὰς καὶ κατὰ τὴν τῆς μήτρας ἐνέργειαν διαφέρειν, τὰς μὲν θᾶττον συλλαμβανούσας τὰς δὲ βράδιον* 90. *ὅπου*] *ὅτε* Sextus *αὗται αὑταῖς* C: *αὗται αὐταῖς* M: *ἑαυταῖς* Sextus 92. *τῶν ἀδυνάτων* Sextus: *ἀδύνατόν* M. 93. *τὸ πότε συνέσχηται* Sextus 94. *συστήσωσιν* Sextus ante Bekkerum 97. *ἀλλ' οὐδὲ*] *ἄλλοι δὲ* C: *καὶ μὴν οὐδὲ* Sext. V §. 64 p. 348 *ἐξ ἀποτέξεως*] *ἀπὸ τέξεως* Sextus 99. *τὸν ψυχρὸν ἀέρα τὸ ἀποτικτόμενον* Sextus: *τὸν θυρεὸν* C M 1. *ὀλί-*

ignorant quantitatem temporis ad mutationem necessarii ne conceptionis quidem tempus cognitum habebunt. Praeterea vero etiam ut ad reliquas partes corporis differunt a se mulieres et ad vigorem et reliqua, ita par est eas etiam ad vigorem uteri differre, ita ut aliae citius concipiant, aliae tardius. Nec absurdum, cum et ipsae secum ipsis comparatae aliquando pronae ad concipiendum reperiantur, aliquando autem nequaquam. Quae cum ita se habeant, accurate dici nequit, quando contineatur iniectum semen, ut ab hoc tempore horoscopum Chaldaei constituant.

4. Propter hanc rationem fieri non potest, ut ex conceptione constituatur horoscopus. Sed ne ex enixione quidem. Primum enim arduum est affirmare quando iure dicatur enixio adesse. Anne quando coepit provolvi in frigidum aërem id quod paritur, an quando paullulum emineat, an quando in terram delapsum sit? Neque in singulis his casibus potest fieri ut ipsum momentum enixionis comprehendatur aut tempus definiatur. Etenim per praesentiam animi et opportunitatem corporis et electionem locorum et scientiam obstetricis aliasque causas innumerabiles non idem est tempus, quo provolvitur partus ruptis membranis, aut paullulum prominet, aut in terram defertur, sed in aliis aliter. Quod rursus tempus cum non possint definite et accurate statuere Chaldaei, excident facultate enixionis tempus, ut oportebat, definiendi. Profiteri quidem igitur in ipsis enixionis momentis Chaldaeos horoscopum sese cognoscere, non nosse autem ex his apertum est, esse autem nec horoscopium quidem iis certum, in promptu est rationem subducere. Quando enim dicunt eum, qui assideat parturienti, cum ipsa enixione disco significare Chaldaeo ex edito loco stellas contemplanti, huncque in caelum intuentem

γον Sextus: *ὅλον* C *κατενεχθῇ* Sextus: *ἐνεχθῇ* C M *οὐδ᾽ ἐν ἑκάστῳ*] *οὐδὲν ἑκάστῳ* C: *εἶτα οὐδὲ ἐφ᾽ ἑκάστου* Sextus 2. *ἀποτέξεως* Sextus: *ἀποδείξεως* C M 4. *καὶ πρὸς διάθεσιν* Sextus 5. *μαίας* Sextus: *ἅμα* C 7. *ὀλίγον* Sextus: *ὅλον*, ante quod vocabulum duae litterae evanuerunt, C 8. *ἐπ᾽ ἄλλων. ὃν* Sextus: *ἐπ᾽ ἄλλῳ ὧν* C: *ἐπ᾽ ἄλλῳ. Ὃν* M 9. *σταθμισεσθαι* C 9. *δέοντος* C 10. *ἀποτέξεως* Sextus: *ἀποδείξεως* C M 12. *οὐκ ἴσασι* Sextus: *οὐχ ἱστᾶσι* C 14. *ἅμα τῇ ἀποτέξει*] *τὴν ἀπότεξιν* Sextus 15. *ἐπὶ τῆς* Sextus 16. *παρασημαίνεται*] *ἐπισημειοῦται* Sextus

σχον ζώδιον, τὸ μὲν πρῶτον ἐπιδείξωμεν αὐτοῖς ὅτι τῆς ἀποτέξεως ἀορίστου τυγχανούσης, καθὼς μικροῦ πρότερον παρεστήσαμεν, οὐδὲ τῷ δίσκῳ ταύτην διασημαίνειν εὔκολον. Εἶτ' ἔστω καὶ καταληπτὴν ὑπάρχειν τὴν ἀπότεξιν, ἀλλ' οὔτιγε πρὸς ἀκριβῆ χρόνον σημειοῦσθαι ταύτην δυνατόν ἐστι· τὸν γὰρ τοῦ δίσκου ψόφον ἐν πλείονι χρόνῳ καὶ ἐν συχνῷ πρὸς αἴσθησιν δυνάμενον μερίζεσθαι κινεῖσθαι συνέβη ἐπὶ τὴν ἀκρώρειαν. Τεκμήριον δὲ [τὸ] ἐπὶ τῶν πόρρω δενδροτομούντων θεωρούμενον· μετὰ γὰρ ἱκανὴν ὥραν τοῦ κατενεχθῆναι τὸν πέλεκυν ἐξακούεται ἡ φωνὴ τῆς πληγῆς, ὡς ἂν ἐν χρόνῳ πλείονι φθάνουσα ἐπὶ τὸν ἀκούοντα. Καὶ διὰ τοῦτο τοίνυν οὐκ ἔστιν ἀκριβῶς τοῖς Χαλδαίοις τὸν χρόνον τοῦ ἀνίσχοντος ζωδίου καὶ κατ' ἀλήθειαν ὡροσκοποῦντος λαμβάνειν. Καὶ μὴν οὐ μόνον φθάνει πλείων διελθὼν χρόνος μετὰ τὴν ἀπότεξιν τοῦ παρε|δρεύοντος τῇ ὠδινούσῃ κρούσαντος τῷ δίσκῳ, εἶτα μετὰ τὸ κροῦσαι ἀκούσαντος τοῦ ἐπὶ τὴν ἀκρώρειαν, [ἀλλὰ] καὶ περισκοποῦντος καὶ βλέποντος ἐν τίνι τῶν ζωδίων ἐστὶν ἡ σελήνη καὶ τῶν λοιπῶν ἀστέρων ἐν τίνι ἕκαστος, φθάνει ἀναγκαῖον ἀλλοιότερον γενέσθαι τὸ περὶ τοὺς ἀστέρας διάθεμα, τῆς τοῦ πόλου κινήσεως ἀλέκτῳ τάχει φερομένης, πρὶν τηρητικῶς παραφυλάξασθαι τὴν τοῦ γεννηθέντος ὥραν κατ' οὐρανὸν βλεπομένην.

5. Οὕτως ἀσύστατος δειχθήσεται ἡ κατὰ Χαλδαίους τέχνη. Εἰ δὲ ἐξ ἐπερωτήσεων φάσκοι τις σκοπεῖσθαι τοῦ πυνθανομένου τὴν γένεσιν ἢ περὶ οὗ ἐπερωτάτω, μηδὲ κατὰ τοῦτον τὸν τρόπον δύνασθαι ἐφικνεῖσθαι ἐπὶ τὸ ἀκριβές. Εἰ γὰρ τοσαύτη τις ἐπιμέλεια ἱστόρηται κατ' αὐτοὺς περὶ τὴν τέχνην καὶ μηδ' αὐτοὶ ἐφικνοῦνται ἐπὶ τὸ ἀκριβές, καθὼς ἐπεδείξαμεν, πῶς ὁ ἰδιώτης κατείληφε τῆς ἀποτέξεως τὸν χρόνον ἀκριβῶς, ἵνα παρὰ τούτου μαθὼν ὁ Χαλδαῖος στήσῃ τὸν ὡροσκόπον ἀληθῶς; Ἀλλ' οὐδὲ κατὰ τὴν τοῦ ὁρίζοντος ὄψιν πάντῃ ὁ αὐτὸς φανή-

17. ἐπιδείξωμεν C: ἐπιδείξομεν M: ὑποδείξομεν Sextus 19. εὔκολον Sextus: εὔλογον C 20. καὶ καταληπτὴν Sextus: καταληπτὴν C M οὔ γε Sextus 21. παρεπισημειοῦσθαι Sextus 22. ἐν πλείονι Sextus: πλείονι C M ἐν συχνῷ Sextus: οὐ συχνῷ C: συχνῷ M 23. καὶ κινεῖσθαι C 24. τὸ add M ex Sexto 25 γὰρ Sextus: δὲ C 26. ἂν ἐν Sextus: ἄνευ C 28. 29. κατ' ἀκρίβειαν Sextus 29. 30. φθάνει Sextus: φανεῖται C M 30. διελθεῖν Sextus 32. ἀλλὰ Sextus: om C 33. ἐστὶν ἡ σελήνη Sextus: ἐστὶ

notare oriens signum: primum demonstremus illis, cum enixio non definita sit, ut paullo superius exposuimus, hanc ne disco quidem significare facile esse. Porro vel esto comprehendi posse enixionem, at certe fieri nequit, ut ad accuratum tempus significetur; disci enim sonus longiore demum tempore ad sensum dividi cum possit, evenit ut aegre moveatur ad cacumen. Documentum autem est id, quod in iis qui in longinquo ligna caedunt observatur. Nam post satis diuturnum tempus quam securis demissa est exauditur sonus ictus, quippe qui longiore intervallo penetret ad eum qui audit. Hanc ob rem igitur non licet accurate Chaldaeis tempus exorientis signi et quod revera pro horoscopo habeatur assequi. Tametsi non solum maius temporis intervallum intercedit post partum, dum is, qui assidet parturienti, ferit disco, deinde, postquam feriit, audit qui sedet in cacumine: sed etiam dum circumspectat et cernit in quo signorum sit luna et reliquarum stellarum in quonam signo sit quaeque, necessario consequitur ut diversa existat stellarum dispositio, cum poli motus ineffabili celeritate feratur, antequam curiose observando accommodaverit eius qui nascitur momento ea quae in caelo spectantur.

5. In hunc modum absurda ostendetur Chaldaeorum ars. Sin vero dixerit quispiam ex interrogationibus eius qui sciscitetur ex Chaldaeo posse perspici genituram, manifestum est ne hac quidem ratione assequi illum posse accuratum tempus. Etenim si celebrata est tanta illorum dexteritas in arte sua, et ne ipsi quidem assequuntur accuratum tempus, sicuti demonstravimus, qui tandem qui rudis est illius artis comprehendit enixionis tempus accurate, unde edoctus Chaldaeus horoscopum recte constituat? Verum ne ex contemplatione quidem horizontis ubique apparebit exoriens eadem stella, sed est ubi

σελήνη C M 34. φθάνει Sextus: φαίνεται C M ἀναγκαῖον om Sextus 36. ἀλέκτῳ Sextus: ἀλλ' ἐν C 36. φερομένης Sextus: φερόμενα C 36. 37. Sextus apertius: πρὶν τηρητικῶς παραπλάσασθαι τῇ τοῦ γεννηθέντος ὥρᾳ τὰ κατ' οὐρανὸν βλεπόμενα §. 70 p. 349 40. ἡ περὶ C Haec gravius corrupta eam fere sententiam videntur habuisse, quam in versione expressimus. Cfr. Sext. §. 87 46. τοῦ om pr C

σεται ἀνίσχων ἀστήρ, ἀλλ' ὅπου μὲν ὡροσκόπος νομισθήσεται τὸ ἀπόκλιμα, ὅπου δὲ ὡροσκόπος ἡ ἐπαναφορὰ παρὰ τὴν τῶν τόπων ἐπιφάνειαν ὄντων ἢ ταπεινοτέρων ἢ ὑψηλοτέρων, ὥστε καὶ κατὰ τοῦτο τὸ μέρος οὐκ ἀκριβὴς φανήσεται ἡ προαγόρευσις, πολλῶν κατὰ πάντα τὸν κόσμον τῇ αὐτῇ ὥρᾳ γεννωμένων, ἄλλου ἄλλως τὰ ἄστρα θεωροῦντος. Ματαία δὲ καὶ ἡ διὰ τῶν ὑ[δρι]ῶν νομιζομένη κατάληψις. Οὐ γὰρ ὁμοίως | [ὁ] ἀμφορεὺς το . . . . . θεὶς ῥύσει πληρώσων ὡς ἀπόκενος, αὐτοῦ τοῦ πόλου κατὰ ἐκείνων λόγον ἑνὶ ὁρμήματι ἰσοταχῶς φερομένου. Εἰ δὲ ἀναστρέψαντες λέγοιεν μὴ τὸν ἀκριβῆ χρόνον λαμβάνειν ἀλλ' ὡς ἔτυχεν ἐν πλάτει, σχεδὸν ὑπ' αὐτῶν ἐλεγχθήσονται τῶν ἀποτελεσμάτων. Οἱ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ γεννηθέντες οὐ τὸν αὐτὸν ἔζησαν βίον, ἀλλ' οἱ μὲν λόγου χάριν ἐβασίλευσαν, οἱ δὲ ἐν πέδαις κατεγήρασαν. Οὐδεὶς γοῦν Ἀλεξάνδρῳ τῷ Μακεδόνι γέγονεν ἴσος πολλῶν κατὰ τὴν οἰκουμένην ὁμοίως ἀποτεχθέντων αὐτῷ, οὐθεὶς Πλάτωνι τῷ φιλοσόφῳ. Ὥστε τὸν ἐν πλάτει τῆς γενέσεως χρόνον ὁ Χαλδαῖος ἀκριβῶς οὐ δυνήσεται λέγειν, εἰ [ὁ] κατὰ τὸν αὐτὸν χρόνον γεννηθεὶς εὐτυχήσει. Πολλοὶ γοῦν κατὰ τὸν αὐτὸν χρόνον γεννηθέντες ἐδυστύχησαν, ὥστε ματαία καὶ ἡ κατὰ τὰ διαθέματα ὁμοιότης. Διαφόρως οὖν καὶ πολυτρόπως τὴν ματαιόπονον σκέψιν τῶν Χαλδαίων διελέγξαντες οὐδὲ τοῦτο παραλείψομεν, ὡς εἰς ἄπορον χωρήσουσιν αἱ προρρήσεις αὐτοῖς. Εἰ γὰρ τὸν ἐν τῇ ἀκίδι τοῦ Τοξότου γεννηθέντα, ὡς οἱ μαθηματικοὶ λέγουσιν, ἀνάγκη σφαγήσεσθαι, πῶς αἱ | τοσαῦται τῶν βαρβάρων μυριάδες ἀγωνιζόμεναι πρὸς τοὺς Ἕλληνας ἐν Μαραθῶνι ἢ Σαλαμῖνι ὑφ' ἓν κατεσφάγησαν; οὐ γὰρ δή γε ἐπὶ πασῶν ὁ αὐτὸς ἦν ὡροσκόπος. Καὶ πάλιν εἰ τὸν ἐν τῇ κάλπῃ τοῦ Ὑδροχόου γεννηθέντα ναυαγήσειν, πῶς οἱ ἀπὸ Τροίας ἀναγόμενοι τῶν Ἑλλήνων περὶ τὰ κοῖλα τῆς Εὐβοίας συγκατεποντίσθησαν; ἀπίθανον γὰρ πάντας μακρῷ χρόνῳ διαφέροντας ἀλλήλων ἐν τῇ κάλπῃ τοῦ Ὑδροχόου γεγεννῆσθαι. Οὐ γὰρ ἔστι λέγειν ὅτι δι' ἕνα πολ-

53. 54. Rectius Sextus §. 77 p. 350: ὁ ἀμφορεὺς οὐχ ὡσαύτως ῥυήσεται πλήρης καθεστώς, ὡσαύτως δὲ ἡμίκενος 55. πόλου] πολλά C 56. ἀναστρέψαντες Sextus §. 88 p. 352: διαστρέψαντες C 56. 57. λαμβάνεσθαι Sextus 62. οὐθ' εἷς C: οὐδὲ Sextus 63. Apertius Sextus §. 89: ὥστε εἰ τὸν ἐν πλάτει τῆς γενέσεως χρόνον ὁ Χαλδαῖος ἐπισκέπτεται, οὐ δυνηθήσεται παγίως λέγειν ὅτι ὁ κ. τ. λ. 64. τὸν αὐ-

pro horoscopo habebitur declinatio, ab altera parte erit ubi successio, prouti loca in conspectum cadunt vel editiora, vel depressiora: quapropter etiam ab hac parte non accuratam esse apparebit praedictionem, cum multi per universum orbem terrarum eadem hora nascantur, alius autem aliter stellas observet. Vana autem etiam est quae per clepsydras celebratur comprehensio. Non enim pariter amphora fluet, cum erit plena quam cum erit seminanis, dum ipse polus ex illorum doctrina uno impetu pari celeritate fertur. Sin tergiversati dicent non se accuratum tempus sumere, sed prouti accidit in aliqua latitudine, ferme ab ipsis coarguentur apotelesmatis. Nam eodem tempore qui editi sunt non eandem degerunt vitam, sed alii exempli gratia reges facti sunt, alii in vinculis consenuerunt. Nemo certe Alexandro Macedoni extitit compar, quanquam multi per orbem terrarum una cum illo erant nati, nemo Platoni philosopho; ut cum minus accuratum natalium tempus sumet Chaldaeus, accurate nequeat dicere, num qui eodem tempore natus est prospera usurus sit fortuna. Multi certe per idem tempus nati adversa fortuna sunt conflictati, unde apparet vanam esse etiam similitudinem secundum dispondituras. Confutata igitur diversis rationibus multisque modis inani sedulitate Chaldaeorum ne hoc quidem praetermittemus, praedictiones eorum inexplicabiles difficultates habere. Si enim, ut mathematici dicunt, eum, qui est sub cuspide Sagittarii natus, oportebit iugulari, quomodo tandem tot barbarorum myriades, quae certaverunt cum Graecis ad Marathonem vel ad Salaminem, simul iugulati sunt? Non enim profecto omnibus idem horoscopus illuxit. Et rursus si eum, qui sub situla Aquarii natus est, naufragio uti oportebit, quomodo Graecorum ii, qui Troia redierunt, circa cava Euboeae una in mare demersi sunt? Improbabile enim est omnes magno spatio temporis a se distantes sub situla Aquarii natos esse. Non enim licet dicere propter unum

τὸν Sextus: τοῦτον τὸν C M 65. αὐτὸν τὸν C τούτῳ γεννηθέντες Sextus 67. γοῦν C 70. τόξου C 71. 72. ἀνταγωνιζόμεναι Sextus 72. πρὸ τοὺς pr C 72. ἢ Σαλαμῖνι om Sextus §. 92 p. 353 73. πάντων Sextus ὁ αὐτὸς Sextus: αὐτῶν C 74. εἰ om C M 75. ναυαγήγειν C πῶς οἱ Sextus: πόσοι C ἀνακομιζόμενοι Sextus 77. ἐν τῇ κάλπιδι Sextus: ἐπὶ τῇ κάλπῃ C M

λάκις, ᾧ εἵμαρται κατὰ πέλαγος φθαρῆναι, πάντες οἱ ἐν τῇ νηῒ συναπολοῦνται. Διατί γὰρ ἡ τούτου εἱμαρμένη τὰς πάντων νικᾷ, ἀλλ' οὐχὶ διὰ τὸν ἕνα, ᾧ εἵμαρται ἐπὶ γῆς τελευτᾶν, πάντες περισώζονται;

6. Ἀλλ' ἐπεὶ καὶ περὶ τῆς τῶν ζωδίων ἐνεργείας λόγον ποιοῦνται, οἷς φασὶ προσομοιοῦσθαι τὰ ἀποτικτόμενα, οὐδὲ τοῦτον παραλείψομεν, οἷον τὸν ἐν Λέοντι γεννηθέντα ἀνδρεῖον ἔσεσθαι· ὁ δὲ ἐν Παρθένῳ τετανόθριξ, λευκόχρως, ἄπαις, αἰδήμων. Ταῦτα δὲ καὶ τὰ τούτοις ὅμοια γέλωτός ἐστι μᾶλλον ἄξια καὶ οὐ σπουδῆς. Ἔστι γὰρ κατ' αὐτοὺς μηδένα Αἰθίοπα ἐν Παρθένῳ γεννᾶσθαι· εἰ δ' οὔ, δώσει [εἶναι] τὸν τοιοῦτον λευκόν, τετανό|τριχα καὶ τὰ ἕτερα. Οἶμαι δὲ μᾶλλον τοὺς ἀρχαίους [τὰ] ὀνόματα τῶν κειμένων ζώων ἐπὶ κλητοῖς ἄστροις προστεθεικέναι οἰκειώσεως χάριν, οὐχ ὁμοιοτρόπου φύσεως· τί γὰρ ἔχουσιν ὅμοιον ἄρκτῳ οἱ ἑπτὰ ἀστέρες διεστῶτες ἀπ' ἀλλήλων; ἢ δράκοντος κεφαλῇ οἱ, ὥς φησιν ὁ Ἄρατος, πέντε;

Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν, εἷς δ' ὑπένερθεν
Ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.

7. Οὕτως καὶ ταῦτα οὐκ ἄξια τοσούτου πόνου δείκνυται τοῖς εὖ φρονεῖν προῃρημένοις καὶ μὴ προσέχουσι τῇ τῶν Χαλδαίων ἐμφυσιώσει, οἳ καὶ βασιλεῖς ἐξαφανίζουσι δειλίαν καταρτίζοντες καὶ ἰδιώτας παραθαρρύνουσι μεγάλα τολμᾶν. Εἰ δὲ ἀποτύχοι αὐτὸς κακῷ περιπαρείς, οὐ πᾶσι γίνεται διδάσκαλος ὁ βλαβείς, οὓς φρεναπατᾶν βουλόμενοι τοῖς ἀποτεύγμασιν εἰς ἄπειρον τὸν νοῦν αὐτῶν συνωθοῦντες λέγουσιν οὐκ ἄλλως ἐπὶ τὸ αὐτὸ δύνασθαι τὸν συσχηματισμὸν τῶν αὐτῶν ἀστέρων γίνεσθαι ἢ διὰ τῆς ἀποκαταστάσεως τοῦ μεγάλου ἐνιαυτοῦ, δι' ἑπτακισχιλίων ἐτῶν καὶ ἑπτακοσίων ἑβδομήκοντα καὶ ἑπτά. Πῶς οὖν φθάσει ἀνθρωπίνη παρατήρησις | τοῖς τοσούτοις αἰῶσι συνδραμεῖν ἐπὶ μιᾶς γενέσεως; καὶ ταῦτα οὐχ ἅπαξ ἀλλὰ πολλάκις οἶμαι, παρ' ἐλπίδα πλειόνων ἐληλέγχθαι τὴν Χαλδαϊκὴν

80. συναπόλλυνται Sextus 81. διὰ τὴν ᾧ εἵμαρτο C 86. Post τετανόθριξ Sextus §. 95 p. 353 add χαροπὸς 86. λευκόχρως Sextus: λευκόχρους C M 88. καὶ οὐ] ἢ Sextus 89. εἶναι ex Sexto addidimus. 91. τὰ add M ἐπίκλησιν τοῖς M recte, ut videtur 93. ἄρκτῳ οἱ Sextus §. 98 p. 354: ἄρκτου C 94. 95. κεφαλαὶ ὥς φησιν ὁ Ἄρατος πέντε; C: κεφαλῇ οἱ πέντε; ἐφ' ὧν φησὶν ὁ Ἄρατος Sex-

saepe, cui fatale est in mare demergi, omnes, qui eadem navi vehuntur, una demersum iri. Cur enim huius fatum reliquorum omnium fata vincit et non propter unum, cui fatale est in terra mori, reliqui omnes conservantur?

6. Sed quoniam et de signorum potestate sermonem instituunt, quibus aiunt assimilari quae nascuntur, ne hunc quidem omittemus, veluti, qui sub Leone natus erit fortem fore; qui autem sub Virgine promissis capillis, candida facie, carens liberis, verecundus. Haec autem horumque similia risu potius digna et non studio. Fieri enim ex istorum ratione nequit, ut aliquis Aethiops sub Virgine nascatur; sin contra, dabit talem esse candidum, promissis capillis et reliqua. Opinor autem potius antiquos nomina receptorum animalium pro cognominibus posuisse stellis familiaritatis gratia, non similiter comparatae naturae. Quid enim habent commune cum ursa septem stellae distantes inter se, aut cum draconis capite quinque quas dicit Aratus stellae?

Tempora bina tenent, oculos duo, subtus et unum
Immanis monstri maxillae extrema capessit.

7. Ita haec quoque non digna tanto labore monstrantur iis, qui recte sentire gestiunt et non animum appellunt ad Chaldaeorum gloriationes, qui et reges de medio tollunt ignaviam concinnantes, et homines privatos excitant ad magna facinora. Sin quis ipse in errorem lapsus a vero aberraverit, tantum abest, ut exemplo suo reliquos doceat, ut ipsa repulsa hos fallere studentes in infinitum mentes eorum perturbent dicendo, non aliter earundem stellarum configurationem ad idem pervenire posse quam per reversionem magni anni, per septem milia annorum et septingentos et septuaginta septem. Quomodo igitur poterit humana observatio congruere cum tot saeculis in una genitura? idque non semel, sed saepe . . . . Pluribus confutari Chaldaeorum artem oportuit, quanquam ob

tus M 96. Arat. Phaenom. 56 97. *ἐσχάτη δ' ἐπέχει* C 98. *Πῶς* C 5. *συνωθοῦντα* C *οὐκ ἄλλως* C. Fr. Hermannus: *οὐ καλῶς* C M 6. *ἐπιτοαυτὸ* C *σχηματισμὸν* C 7. 8. *δι' ἐννεακισχιλίων ἐνακοσίων καὶ ἑβδομήκοντα καὶ ἑπτὰ ἐτῶν* Sextus §. 105 p. 355 10. 11. Post vocabulum *πολλάκις* quaedam desiderari arguit Sextus, idque suspicio est ipsis verbis *οἶμαι παρ' ἐλπίδα* a librario esse significa-

τέχνην ἔδει· καίτοι δι᾿ ἕτερα αὐτῆς ἡμῶν μνησθέντων, οὐχὶ ἰδίως δι᾿ αὐτήν. Ἀλλ᾿ ἐπεὶ προῃρήμεθα μηδὲν τῶν παρ᾿ ἔθνεσι δογμάτων καταλιπεῖν διὰ τὴν πολύφωνον τῶν αἱρέσεων πανουργίαν, ἴδωμεν τί λέγουσι καὶ οἱ περὶ μεγεθῶν τετολμηκότες, οἳ κατιδόντες τὴν τῶν πλειόνων ματαιοπονίαν, ἄλλου ἄλλως διαψευσαμένου καὶ εὐδοκιμήσαντος, μεῖζόν τι ἐτόλμησαν εἰπεῖν, ὅπως ὑπὸ τῶν τὰ μικρὰ ψεύσματα μεγάλως δοξασάντων μειζόνως δοξασθῶσιν. Οὗτοι κύκλους καὶ μέτρα τρίγωνά τε καὶ τετράγωνα διπλάσιά τε καὶ τριπλάσια ὑποτίθενται· πολὺς δὲ ὁ περὶ τούτου λόγος, ἀλλ᾿ οὐ πρὸς τὸ προκείμενον ἀναγκαῖος.

8. *Ἱκανὸν οὖν λογίζομαι ἐξειπεῖν τὰ ὑπ᾿ αὐτῶν τερατολογούμενα. Διὸ τοῖς ἐπιτόμοις χρησάμενος ὧν αὐτοὶ λέγουσιν, ἐπὶ τὰ ἕτερα τραπήσομαι. Λέγουσι δὲ ταῦτα· κράτος ἔδωκεν ὁ δημιουργήσας τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ· μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασε, τὴν δὲ ἐντὸς σχίσας ἑξαχῇ ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου καὶ τριπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τὰ ἐναντία μὲν ἀλλήλοις προσέταξεν ἰέναι τοὺς κύκλους, τάχει δὲ τρεῖς μὲν ὁμοίως, τοὺς δὲ τέσ|σαρας ἀλλήλοις τε καὶ τοῖς τρισὶν ἀνομοίως, ἐν λόγῳ δὲ φερομένους. Κράτος μὲν δεδόσθαι τῇ ταὐτοῦ φορᾷ φησίν, οὐ μόνον ἐπειδὴ περιέχει τὴν θατέρου φοράν, τουτέστι τοὺς πλανωμένους, ἀλλ᾿ ὅτι καὶ τοσοῦτον ἔχει κράτος, τουτέστι τοσαύτην δύναμιν, ὥστε καὶ τοὺς ἐπὶ τἀναντία, τοὺς πλανωμένους ἀπὸ δύσεως ἐπ᾿ ἀνατολὴν φερομένους αὐτοὺς τῇ οἰκείᾳ ἰσχύϊ ὁμοίως καὶ ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ἑαυτῷ συμπεριάγειν. Μίαν δὲ καὶ ἄσχιστον εἰᾶσθαι φησὶ ταύτην τὴν φοράν, πρῶτον μὲν ἐπειδὴ πάντων τῶν ἀπλανῶν ἰσόχρονοι αἱ περιφοραὶ καὶ οὐ διῃρημέναι κατὰ πλείους καὶ ἐλάττους χρόνους· ἔπειτα ὅτι μίαν πάντες ἔχουσιν ἐπιφάνειαν τὴν τῆς ἐξωτάτω φορᾶς, οἱ δὲ πλανώμενοι καὶ εἰς χρόνους πλείονας καὶ διαφόρους τῶν κινήσεων καὶ εἰς ἀποστάσεις ἀπὸ γῆς ἀνίσους διῄρηνται· τὴν δὲ θατέρου φησὶν ἑξαχῇ εἰς ἑπτὰ κύκλους ἐσχίσθαι, εἰκότως. Ὁπόσαι γὰρ ἂν ὦσιν ἑκάστου αἱ τομαί, μονάδι πλείω τῶν τομῶν γίνεται τὰ τμήματα, οἷον ἐὰν μιᾷ τομῇ διαιρεθῇ, δύο ἔσται τμήματα,*

tum. Is enim adscripsisse videtur *οἶμαι, παραλείπει* sive *τινὰ ἐλλείπει;* tum Hippolytus perrexerit: *Διὰ πλειόνων κ. τ. λ.* 13. *αὐτήν* M *προκρίμεθα* C 23. *ὡς* C 24. Plat. Tim. p. 36 C 26. *ἑξαχῇ* Plato: *ἐξ αὐτῆς* C 27. *καὶ τριπλασίου* Plato cf. infra p. 66

alias res meminimus eius, non proprie ob ipsam. Sed postquam propositum fuit nihil ex placitis ethnicorum omittere propter multisonam haeresium versutiam, videamus quid dicant etiam ii, qui de magnitudinibus periclitati sunt dicere, qui perspecto plurimorum vano labore, cum alius aliter mentitus et celebritatem nactus esset, maius quid conati sunt eloqui, quo ab iis, qui parva mendacia magnificis laudibus extulissent, maioribus efferrentur. Hi orbes et mensuras triangulosque et quadrangulos duplaque et tripla ponunt. Multus autem de hac re sermo est, sed ut ad propositum nostrum non sit necessarius.

8. Sufficere igitur arbitror exponere quae isti portenta loquuntur. Quamobrem usus epitomis eorum quae ipsi docent ad ea quae reliqua sunt me convertam. Docent autem haec: Principatum dedit opifex mundi eiusdem ipsius similisque conversioni; eam namque solam indivisam reliquit, interiorem vero cum sexies divisisset, septemque orbes inaequales dupli et tripli intervallis effecisset, singula, cum tria sint utriusque, contrariis inter se cursibus orbes peragere iussit: et ex septem interioribus tres quidem pari celeritate, quattuor vero et ad se et ad reliquos tres celeritate quidem impari, iusta tamen ratione converti. Principatum igitur datum esse eiusdem ipsius conversioni ait, non solum quoniam continet alterius conversionem, hoc est stellas erraticas, sed quia etiam tantum habet principatum, hoc est tantam vim, ut vel quae in adversam partem, hoc est erraticae, ab occasu ad orientem vertuntur ipsas propria potentia pariter etiam ab ortu ad occasum secum una circumagat. Unam autem eam et indivisam relictam esse ait hanc conversionem, primum quidem quia omnium fixarum stellarum pari temporis intervallo fiunt conversiones et non discretae secundum amplius vel brevius tempus, deinde quia omnes habent eandem apparentiam, quae est extimae conversionis, erraticae autem et in tempora plura et diversa conversionum et in distantias a terra inaequales divisae sunt. Alterius autem conversionem ait sexfariam in septem orbes dissectam esse:

init: om C 29. *ὁμοίους* C 30. *ἀνομοίοις* C 31. *φερομένων* C 34. *τοῖς ἐπὶ* C M 36. *συμπεριάγει* C M 37. *εἶ ἐᾶσθαι* C M *ταύτην τὴν*] *ταύτην* C M 40. *ἔχωσιν* C 44. *μονάδι πλείω* Roeperus: *μονάδες λέγω* C M

ἂν δυσί, τρία τμήματα· οὕτω δὴ κἂν ἑξαχῇ τι τμηθῇ, ἑπτὰ ἔσται τὰ τμήματα. Τὰς δὲ ἀποστάσεις αὐτῶν κατὰ διπλάσια καὶ τριπλάσια ἐναλλὰξ τετάχθαι φησίν, οὐσῶν ἑκατέρων τριῶν· ὅπερ καὶ ἐπὶ τῆς συστάσεως τῆς ψυχῆς, ἐπὶ τῶν ἑπτὰ ἀριθμῶν ἔδειξε. Τρεῖς μὲν γάρ εἰσιν ἐν αὐτοῖς διπλάσιοι ἀπὸ μονάδος $\overline{β}$, $\overline{δ}$, $\overline{η}$, τρεῖς δὲ . . . . . $\overset{η}{μ}$ καὶ $\overline{ρη}$ σταδίων. Περίμετρος δὲ γῆς σταδίων $\overset{η}{μ}$ καὶ $\overline{φμγ}$· καὶ ἀπόστημα δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἐπὶ τὸν σεληνιακὸν κύκλον | ὁ μὲν Σάμιος Ἀρίσταρχος ἀναγράφει σταδίων $\overset{ρε\overline{η}}{\overset{η}{μ}}$, ὁ δὲ Ἀπολλώνιος μυριάδ. $\overline{φ}$, ὁ δὲ Ἀρχιμήδης μυριάδ. $\overline{φνδ}$ καὶ μονάδ. ͵$\overline{δρλ}$. ἀπὸ δὲ τοῦ σεληνιακοῦ ἐπὶ τὸν τοῦ ἡλίου κύκλον σταδίων μυριάδ. ͵$\overline{εκς}$ καὶ μονάδ. ͵$\overline{βξε}$. ἀπὸ τοῦδε ἐπὶ τὸν τῆς Ἀφροδίτης κύκλον σταδίων μυριάδ. ͵$\overline{βκζ}$ καὶ μονάδας ͵$\overline{βξε}$. ἀπὸ τοῦδε ἐπὶ τὸν τοῦ Ἑρμοῦ κύκλον σταδίων μυριάδ. ͵$\overline{επα}$, μονάδ. ͵$\overline{ζρξε}$. ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ πυρόεντος κύκλον σταδίων μυριάδ. ͵$\overline{δνδ}$, μονάδ. ͵$\overline{αρη}$. ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Διὸς κύκλον σταδίων μυριάδ. ͵$\overline{βκζ}$, μονάδας ͵$\overline{εξε}$. ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Κρόνου κύκλον σταδίων μυριάδ. ͵$\overline{δλζ}$, μονάδ. ͵$\overline{βξε}$. ἀπὸ τούτου δὲ ἐπὶ τὸν ζωδιακὸν καὶ τὴν ἐσχάτην περιφέρειαν σταδίων μυριάδ. ͵$\overline{βη}$, μονάδ. ͵$\overline{με}$.

9. Τὰ μὲν ἀπ᾿ ἀλλήλων διαστήματα τῶν κύκλων καὶ τῶν σφαιρῶν βάθη τε ὑπὸ τοῦ Ἀρχιμήδους ἀποδίδοται. Τοῦ δὲ ζωδιακοῦ τὴν περίμετρον λαμβάνει σταδίων δευτέρων ἀριθμῶν $\overline{δ}$ καὶ μυριάδ. ͵$\overline{δψλα}$· ὥστε συμβαίνειν τὴν ἐκ τοῦ κέντρου τῆς γῆς εὐθεῖαν ἄχρι τῆς ἐπιφανείας τῆς ἐσχάτης τὸ ἕκτον εἶναι τοῦ λεχθέντος ἀριθμοῦ, τὴν δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς, ἐφ᾿ ἧς βεβήκαμεν, ἄχρι τοῦ ζωδιακοῦ, ἄρτι ῥηθέντος ἕκτον τοῦ ἀριθμοῦ, λεῖπον τέτρασι μυριάσι σταδίων, ὅ ἐκ τοῦ κέντρου τῆς γῆς μέχρι τῆς ἐπιφανείας αὐτῆς. ἀπὸ τοῦ Κρόνου δὲ κύκλου ἐπὶ τὴν γῆν φησὶ τὸ διάστημα σταδίων δευτέρων ἀριθμῶν εἶναι μονάδ. δύο καὶ μυριάδ. ͵$\overline{βσξθ}$ καὶ μονάδ. ͵$\overline{βψια}$.| ἀπὸ

47. κατὰ Roeperus: καὶ τὰ C M 50. ἐν] ἐπ᾿ C M 51. $\overline{η}$] $\overline{ϑ}$ C τρεῖς δὲ] Post haec verba apertum est quaedam excidisse 52. $\overset{η}{μ}$ καὶ $\overline{φμγ}$] $\overset{η}{μ}$ $\overset{υ}{\overline{κε}}$ καὶ $\overline{φμγ}$ Roeperus 55. Qui numeri Archimedis auctoritatem falso prae se ferunt, de qua re dubitari non posse intelligentissimus harum rerum arbiter M. A. Sternius, collega noster

probabiliter; quotquot enim sunt cuiusque sectiones, monade plura quam sectiones fiunt segmina, veluti quando una sectione dividetur, duo erunt segmina, quando duabus, tria segmina: sic igitur ubi et sexies quid secabitur, septem erunt segmina. Distantias autem eorum secundum dupla et tripla per vices ordinatas esse ait, cum utraeque sint tres, id quod etiam de compositione animae in septem numeris fundata demonstravit. Tres enim sunt in iis dupla a monade: 2, 4, 8, tres autem [tripla: 3, 9, 27] . . . [Diameter terrae] 80108 stadiorum, perimeter autem terrae 250543 stadiorum. Et distantiam vero a superficie terrae ad lunarem orbem Samius Aristarchus quidem notat stadiorum . . . . . . Apollonius autem 5000000, Archimedes autem 5544130, a lunari autem ad solarem orbem stadiorum 50262065, ab eo autem ad Veneris orbem stadiorum 20272065, ab eo autem ad Mercurii orbem 50817165, ab hoc autem ad Martis orbem stadiorum 40541108, ab hoc autem ad Iovis orbem stadiorum 20275065, ab hoc autem ad Saturni orbem stadiorum 40372065, ab hoc autem ad Zodiacum et extimam peripheriam stadiorum 20082005.

9. Iam distantiae a se invicem orbium et sphaerarum profunditatesque ab Archimede redduntur. Zodiaci autem perimetrum sumit stadiorum 447310000, ut consequatur lineam ex centro terrae rectam usque ad extimam apparentiam sextam esse partem eius numeri quem diximus, eam autem lineam, quae est a superficie terrae in qua versamur usque ad Zodiacum, sextam partem eius quem modo diximus esse nu-

affirmat, ex parte corruptiores sunt quam qui certo restitui possint 56. *μυριάδ. ,εκς*] Infra p. 70, 16 *μυριάδ. ,εκζ* 57. *μυριάδ. ,βκζ*] *μυριάδ ,εκζ* C M; cfr. infra p. 70, 17 59. *,ζρξε*] *ϛρξε* C 60. *,δνδ, μονάδ ,αρη*] *,δφνδ, μονάδ. ,δρνδ* C M; cfr. infra p. 70, 20 sqq. 64. *μυριάδ. ,βη, μονάδ. ,με*] Haec vera esse nequeunt; nam monadum quadraginta milia efficiunt quattuor myriades, ut illud Hippolytus posuisse nequeat. An *μυριάδ. ,βη, μοναδ. ,βε?* 66. *τε*] *δὲ* C 68. 69. *τῆς γῆς* M. A. Sternius: om C M 69. *ἐσχάτης γῆς* C 70. *τὴν*] *τοῦ* C M 71. *ἐφ'* C: *ἀφ'* M *ῥηθὲν* C M 74. 75. *ἀριθμῶν εἶναι*] *ἀριθμᾶσθαι* C

τοῦ δὲ τοῦ Διὸς κύκλου ἐπὶ γῆν σταδίων δευτέρων ἀριθμῶν μονάδ. β̄ καὶ μυριάδ. σοζ′ καὶ μονάδας χμς. ἀπὸ δὲ τοῦ πυρόεντος κύκλου ἐπὶ γῆν δευτέρων ἀριθμῶν μονάδ. μίαν καὶ μυριάδ. ͵γσμα καὶ μονάδ. ͵ηφπα. ἀφ᾽ ἡλίου ἐπὶ γῆν δευτέρων ἀριθμῶν μονάδ. μίαν καὶ μυριάδ. ͵βρξ καὶ μονάδας ͵δυνδ′. ἀπὸ δὲ τοῦ Στίλβοντος ἐπὶ τὴν γῆν μυριάδ. ͵εσξη, μονάδας ͵ησνθ. ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ γῆν μυριάδ. ͵επα, μονάδ. ͵ερξ.

10. *Περὶ σελήνης δὲ ἐλέχθη τὸ πρότερον.* Τὰ μὲν οὖν ἀποστήματα καὶ βάθη τῶν σφαιρῶν οὕτως Ἀρχιμήδης ἀποδίδωσιν, ἑτέρως δὲ ὑπὲρ αὐτῶν Ἱππάρχῳ εἴρηται καὶ ἑτέρως Ἀπολλωνίῳ τῷ μαθηματικῷ. Ἡμῖν δὲ ἐξαρκεῖ τῇ Πλατωνικῇ δόξῃ ἑπομένοις διπλάσια μὲν καὶ τριπλάσια οἴεσθαι τῶν πλανωμένων τὰ ἀπ᾽ ἀλλήλων διαστήματα· σώζεται γὰρ οὕτως ὁ λόγος τοῦ καθ᾽ ἁρμονίαν συγκεῖσθαι τὸ πᾶν ἐν λόγοις συμφώνοις κατὰ ταῦτα τὰ ἀποστήματα. Οἱ δ᾽ ἐκτεθέντες ὑπὸ Ἀρχιμήδους ἀριθμοὶ καὶ ὑπὸ τῶν ἄλλων περὶ τῶν ἀποστημάτων λεγόμενοι λόγοι εἰ μὴ ἐν συμφώνοις εἶεν λόγοις, τουτέστι τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις διπλασίοις καὶ τριπλασίοις, ἔξω δὲ συμφωνιῶν εὑρισκόμενοι, οὐκ ἂν σώζοιεν τὸ καθ᾽ ἁρμονίαν κατεσκευάσθαι τὸ πᾶν· οὐ γὰρ πιθανὸν οὐδὲ δυνατὸν ἄλογά τε καὶ ἔξω συμφωνιῶν καὶ ἐναρμονίων λόγων εἶναι αὐτῶν τὰ ἀποστήματα, πλὴν ἴσως σελήνης μόνης ἐκ τῶν λείψεων καὶ τῆς σκιᾶς τῆς γῆς, περὶ ἧς μόνης καὶ πιστεῦσαι τις ἂν Ἀρχιμήδῃ ἀποστάσεως, τουτέστι τῆς σεληνιακῆς ἀπὸ γῆς· ταύτην δὲ | λαβοῦσι ῥᾴδιον ἔσται κατὰ τὸ Πλατωνικὸν αὐτὸ τὰ κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον, ὡς ἀξιοῖ Πλάτων, καὶ τὰ λοιπὰ ἀποστήματα ἀριθμῷ περιλαβεῖν. Εἰ δὴ κατὰ τὸν Ἀρχιμήδην ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἡ σελήνη ἀφέστηκε σταδίων μυριάδ. φνδ, σταδίους ͵δρλ, ῥᾴδιον τούτους τοὺς ἀριθμοὺς αὔξοντας κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον καὶ τὰ τῶν λοιπῶν εὑρεῖν διαστήματα, ὡς μιᾶς μοίρας λαμβανομένης τοῦ τῶν σταδίων ἀριθμοῦ οὓς ἡ σελήνη τῆς γῆς ἀφέστηκεν. Ὅτι δὲ οἱ λοιποὶ ἀριθμοὶ οἱ ὑπ᾽ Ἀρχιμήδους περὶ τῆς ἀποστάσεως τῶν πλανωμένων λεγόμενοι οὐκ ἐν συμφώνοις λόγοις, ῥᾴδιον γνῶναι, πῶς ἔχουσι πρὸς ἀλλήλους καὶ ἐν τίσι λόγοις εἰσὶ κατανοήσαντας· μὴ εἶναι δὲ ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ ταῦτα τοῦ καθ᾽ ἁρμονίαν συνεστῶτος

76. τοῦ δὲ] τοῦδε C M   77. μονάδες C M   87. δόξα C

meri demptis quattuor myriadibus stadiorum, quod efficitur ex centro terrae usque ad superficiem eius. A Saturni autem orbe ad terram ait distantiam esse stadiorum 222692711, a Iovis autem orbe ad terram 202770646, a Martis autem orbe ad terram 132418581, a sole ad terram 121604454, a Mercurio autem ad terram 52688259, a Venere autem ad terram 50815160.

10. De luna autem dictum est superius. Distantias igitur et profunditates sphaerarum in hunc modum Archimedes reddit, aliter autem de iis Hipparchus dixit et aliter Apollonius mathematicus. Nobis autem sufficit Platonicam doctrinam secutis dupla et tripla erraticarum a se invicem distantias statuere. Conservatur enim ita doctrina, ex qua ex concentu conditum sit universum, ex rationibus concinentibus secundum has distantias. Numeri autem ab Archimede expositi et a reliquis de distantiis proditae observationes si non in concinentibus essent rationibus, hoc est a Platone statutis duplis et triplis, extra concentus autem repertae, non conservarent illam doctrinam, ex qua universum ex concentu conditum sit. Non enim neque credibile neque possibile, esse eorum distantias et irrationales et carere concentu congruisque rationibus, excepta fortasse luna sola propter defectus et umbram terrae, de cuius solius et fidem quispiam habeat Archimedi distantia, hoc est lunae a terra. Hanc igitur secutis in facili erit secundum illud Platonicum ipsum ex duplo et triplo, sicut statuit Plato, et reliquas distantias numero complecti. Si quidem secundum Archimedem a superficie terrae luna distat stadiorum 5544130, facile est hos numeros augentem duplo et triplo et reliquorum reperire distantias, tanquam una parte sumpta eorum numero stadiorum, quot luna distat a terra. Reliquos autem numeros ab Archimede de distantia erraticarum stellarum positos non in congruis rationibus facile est intellectu, ubi perspexeris, quomodo inter se referantur et quibus nitantur in rationibus. Illud autem fieri nequit, ut non sint in

88. *οὗτος* C 91. *αποστεμάτων* pr C 94. *κατ' ἁρμονίαν* C 95. *ἄλογα δὲ* C 96. *ἀποστέματα* C 1. *τὰ*] *τὰς* C M 2. *ἀποστέματα* C *ἀριθμῶν* C M

κόσμου ὄντα μέρη ἀδύνατον. Τοῦ μὲν δὴ πρώτου ἀριθμοῦ ὃν ἀφέστηκεν ἡ σελήνη τῆς γῆς ὄντος μυριάδ. φνδ μονάδων ͵δρλ, ὁ δεύτερος ἀριθμὸς ὃν ἀφέστηκεν ἥλιος τῆς σελήνης ὢν μυριάδ. ͵εκζ, μονάδων ͵βξε, ἐν λόγῳ ἐστὶ πλείονι ἢ ἔλασσον. πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. ͵βκζ, μονάδ. ͵βξε, ἐν λόγῳ ἐστὶ [ἐλάττονι ἢ ἡμίσει. πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. ͵επα μονάδων ͵ζρξε ἐν λόγῳ ἐστὶ] πλείονι ἢ διπλασίῳ. πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. ͵δνδ, μονάδων ͵αρη, ἐν λόγῳ ἔσται ἐλάττονι ἢ ἐπιτετάρτῳ. πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. ͵βκζ μονάδων ͵εξε, ἐν λόγῳ ἐστὶ πλείονι ἢ ἡμίσει. πρὸς δὲ τοῦτον ὁ ἀνωτάτω ἀριθμὸς ὢν μυριάδ. ͵δλζ, μονάδ. ͵βξε, ἐν λόγῳ ἐστὶ ἐλάττονι ἢ διπλασίῳ.

11. Οὗτοι δὴ οἱ λόγοι ὅ τε πλείων ἢ [ἐννεαπλάσιος καὶ] ἐλάττων ἢ ἥμισυς | καὶ πλείων ἢ διπλάσιος καὶ ἐλάττων ἢ ἐπιτέταρτος καὶ πλείων ἢ ἥμισυς καὶ ἐλάττων ἢ διπλάσιος ἔξω πασῶν εἰσὶ συμφωνιῶν, ἐξ ὧν οὐκ ἐναρμόνιόν τι καὶ σύμφωνον σύστημ' ἂν γένοιτο. Ὁ δ' ἅπας κόσμος καὶ τὰ τούτου μέρη κατὰ πάντα ὁμοίως ἐναρμονίως καὶ συμφώνως σύγκειται. Οἱ δὲ ἐναρμόνιοι καὶ σύμφωνοι λόγοι σώζονται, καθάπερ προειρήκαμεν, τοῖς διπλασίοις καὶ τριπλασίοις διαστήμασιν. Εἰ δὴ πιστὸν τὸν Ἀρχιμήδην ἡγησάμεθα ἐν μόνῳ τῷ πρώτῳ ἀποστήματι τῷ ἀπὸ σελήνης μέχρι γῆς, ῥάδιον καὶ τὰ λοιπὰ κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον αὔξοντα εὑρεῖν. Ἔστω δὴ κατὰ τὸν Ἀρχιμήδην τὸ ἀπὸ γῆς μέχρι σελήνης ἀπόστημα σταδίων μυριάδ. φνδ μονάδων ͵δρλ, ἔσται μὲν δὴ τούτου διπλάσιος ἀριθμὸς σταδίων ὧν ἀφέστηκεν ὁ ἥλιος τῆς σελήνης μυριάδ. ͵αρη καὶ ͵ησξ, ἀπὸ δὲ τῆς γῆς ἀφέστηκεν ὁ ἥλιος σταδίων [μυριάδ.] ͵αχξγ καὶ βτϡ. καὶ Ἀφροδίτη δὲ ἀφέστηκεν ἀπὸ μὲν ἡλίου σταδίων μυριάδ. ͵αχξγ καὶ σταδίους ͵βτϡ, ἀπὸ δὲ γῆς μυριάδων ͵γτκς σταδίους ͵δψπ. Ἑρμῆς δὲ Ἀφροδίτης μὲν ἀφέστηκε σταδίων μυριάδων ͵βσιζ σταδίων ͵ςφκ, ἀπὸ δὲ γῆς μυριάδων ͵ε πεντακόσια μδ σταδίους ͵ατ. Ἄρης δὲ Ἑρμοῦ μὲν ἀφέστηκε σταδ. μυριάδ. ͵δϡπθ, σταδίους ͵ζρο, ἀπὸ δὲ γῆς μυριάδ. μυριάδα καὶ φλγ, σταδίους ͵ηνο. Ζεὺς δὲ Ἄρεως μὲν ἀφέστηκε μυριάδ. ͵δυλε, σταδίους ͵γμ, ἀπὸ δὲ γῆς μυριάδ. [μυριάδα] καὶ ͵δϡξθ,

16. πλεῖον C   ἔλασσον] An ἐννεαπλασίῳ?   18. Uncis inclusa

congruentia, et concentu hae, quae sunt in congruentia consistentis mundi partes. Igitur cum primus numerus, quem distat a terra luna sit 5544130, secundus numerus, quem distat sol a luna, qui sit 50272065, maiore constat ratione quam nonupla. Ad hunc autem superior numerus, qui sit 20272065, ratione continetur [minore quam dimidia. Ad hunc autem superior numerus, qui sit 50817165, ratione continetur] maiore quam dupla. Ad hunc autem superior numerus, qui sit 40541108, ratione continebitur minore quam superquarta. Ad hunc autem superior numerus, qui sit 20275065, ratione continetur maiore quam dimidia. Ad hunc autem supremus numerus, qui sit 40372065, ratione continetur minore quam dupla.

11. Hae igitur rationes et maior quam nonupla et minor quam dimidia et maior quam dupla et minor quam superquarta et maior quam dimidia et minor quam dupla extra omnes sunt concentus, ex quibus non congruens quoddam et concinens existat systema. Universus autem mundus eiusque partes per omnia pariter congruenter et concinenter conditus est. Congruentes autem et concinentes rationes conservantur, sicuti praediximus, duplis et triplis distantiis. Ergo si fidem adiunximus Archimedi in sola prima distantia, quae est a luna ad terram, facile est et reliquas secundum duplum et triplum augentem reperire. Esto igitur secundum Archimedem distantia a terra ad lunam stadiorum 5544130, erit igitur huius duplus numerus stadiorum, quae distat sol a luna, 11088260, a terra autem distat sol stadiorum 16632390, et Venus vero distat a sole quidem stadiorum 16632390, a terra autem 33264780 stadia, Mercurius autem a Venere quidem distat stadiorum 22176520, a terra autem 55441300 stadia, Mars autem a Mercurio distat stadiorum 49897170, a terra autem 105338470 stadia, Iuppiter autem a Marte quidem distat 44353040

supplenda esse admonuit Sternius 20. τοῦτο C 21. ἐπιτετάρτῳ] ἐπὶ δ'ἰ (sic) C 22. ,βκζ] ,βκξ C M 23. τοῦτον] τούτῳ C 26. πλείω C Uncis inclusa supplevimus 29. εἰ C 30. σύστημα γένοιτο C M 31. πάντας C M 37. ἀπόστεμα corr C 39. ,αρϙη C 41. ,βτγ C 46. ,δτπθ — βρο C 48. ,γμ] ηµ C M ,δτξθ C

σταδίους ͵αφι. Κρόνος ἀπὸ μὲν Διὸς ἀφέστηκε σταδίων μυριάδ. μυριάδα καὶ ͵δϡξθ, σταδίους ͵αφι, ἀπὸ δὲ γῆς μυριάδ. μυριάδας β καὶ ͵θϡλη, σταδίους ͵γκ. |

12. Τίς οὐ θαυμάσει τὴν τοσαύτην φροντίδα μετὰ τοσούτου πόνου γεγενημένην; οὐκ ἀχρεῖος δέ μοι οὑτοσὶ ὁ Πτολεμαῖος ὁ τούτων μεριμνητὴς δοκεῖ· τοῦτο δὲ μόνον λυπεῖ, ὡς πρόσφατος γεννηθεὶς οὐκ εὔχρηστος γεγένηται γιγάντων παισίν, οἳ τὰ μέτρα ταῦτα ἠγνοηκότες ἐγγὺς νομίζοντες εἶναι ὕψη οὐρανοῦ πύργον μάτην ἐπεχείρησαν ποιεῖν, οἷς εἰ κατ᾽ ἐκεῖνο παρὼν τὰ μέτρα διηγήσατο, οὐκ ἂν μάτην τετολμήκεισαν. Εἰ δέ τις τούτῳ φάσκει ἀπιστεῖν, μετρήσας πειθέσθω· ταύτης γὰρ φανερωτέραν ἀπόδειξιν οὐκ ἔχει πρὸς τοὺς ἀπίστους. Ὢ ματαιοπόνου ψυχῆς φυσιώσεως καὶ πίστεως ἀπίστου, ἵνα πάντως Πτολεμαῖος σοφὸς νομίζηται παρὰ τοῖς τὴν ὁμοίαν σοφίαν ἠσκηκόσι.

13. Τούτοις ἐν μέρει ἐπισχόντες τινὲς ὡς μεγάλα κρίναντες καὶ λόγου ἄξια νομίσαντες αἱρέσεις ἀμέτρους καὶ ἀπείρους συνεστήσαντο. Ὧν εἷς μὲν Κολάρβασος, ὃς διὰ μέτρων καὶ ἀριθμῶν ἐκτίθεσθαι θεοσέβειαν ἐπιχειρεῖ· καὶ ἕτεροι δὲ ὁμοίως οὓς ἐπιδείξομεν, ἐπὰν τὰ περὶ αὐτῶν ἀρξώμεθα λέγειν, οἳ Πυθαγορείῳ ψήφῳ ὡς δυνατῇ προσέχουσι καὶ τὴν ἀσφαλῆ φιλοσοφίαν δι᾽ ἀριθμῶν καὶ στοιχείων σχεδιάζουσι μαντευόμενοι μάταια· ὧν ὁμοίως λόγους ἐρανισάμενοί τινες ἀποπλανῶσιν ἰδιώτας, προγνωστικοὺς ἑαυτοὺς φάσκοντες ἔσθ᾽ ὅτε διὰ τοῦ πολλὰ μαντεύεσθαι ἓν ἐπιτυγχάνοντες καὶ ἐπὶ μὲν τοῖς πολλοῖς ἀποτεύγμασι μὴ αἰδούμενοι, ἐπὶ δὲ τῷ ἑνὶ ἐγκομπάζοντες. Οὐδὲ τούτων τὴν ἄσοφον σοφίαν παρα|πέμψομαι, ἀλλ᾽ ἐκθέμενος τοὺς ἐκ τούτων ἐπιχειροῦντας θεοσέβειαν συνιστᾶν ἐλέγξω ῥίζης ἀσυστάτου καὶ πανουργίας ἀναπλέου ὄντας μαθητάς.

14. Οἱ μὲν οὖν διὰ ψήφων τε καὶ ἀριθμῶν στοιχείων τε καὶ ὀνομάτων μαντεύεσθαι νομίζοντες ταύτην ἀρχὴν ἐπιχειρήσεως τοῦ κατ᾽ αὐτοὺς λόγου ποιοῦνται, φάσκοντες πυθμένα εἶναι ἑκάστου τῶν ἀριθμῶν, ἐπὶ μὲν τῶν χιλιάδων τοσαύτας

50. ͵δϡξθ] ͵δρξδ C: ͵δϡξδ M 51. μυριάδας β καὶ ͵θϡλη] μυριάδα καὶ ͵θτλη C: μυριάδα καὶ ͵θϡλη M 55. πᾶσιν C 57. οἷς ὡς εἰ C 60. 61. ματαιοπόνου καὶ C 61. πάντων C 67. ἐπιρ-

stadia, a terra autem 149691510 stadia, Saturnus a Iove quidem distat stadiorum 149691510, a terra autem 299383020 stadia.

12. Quis non admirabitur tantam sollertiam tanto cum labore peractam? Non inutilis autem mihi hice Ptolemaeus videtur harum rerum scrutator, nisi quod hoc tamen dolet, quod nuper admodum natus usui esse non potuit gigantum filiis, qui harum mensurarum ignari, prope abesse rati altitudinem caeli, turrem incassum periclitati sunt struere, quibus si illo tempore praesens mensuras exposuisset, non illi incassum periclitati forent. Sin vero quispiam se huic fidem non habere profitebitur, ipse mensus fidem habere discat; hac quidem apertiorem demonstrationem non habet incredulis. O frustra laborantem animi sufflationem et infidam fidem, ut quovis pacto Ptolemaeus sapiens existimetur apud eos, qui parem sapientiam professi sunt.

13. Haec sua quisque ratione secuti tanquam magna arbitrati et studio digna haereses immensas et infinitas condiderunt. Ex quibus unus Colarbasus, qui per mensuras et numeros explicare religionem deorum conatur, et alii similiter, quos ostendemus, quando commenta eorum recensere ordiemur, qui Pythagoreum computum tanquam efficacem sequuntur et stabilem philosophiam per numeros et elementa comminiscuntur hariolati vana. Quorum tamen rationes suffurati quidam in errores agunt imperitos, cum se prognosticos appellant, qui quidem, cum multa vaticinantur, unum quoddam assequuntur, et in multis quae non contigerunt haud erubescunt, in uno autem illo gloriantur. Ne horum quidem insipientem sapientiam praetermittam, sed, postquam exposuero, eos qui ex his religionem deorum constituere conantur coarguam infirmae radicis et fraudum plenae esse discipulos.

14. Igitur illi qui per calculos et numeros elementaque et nomina vaticinari opinantur ab hoc principio profecti artem suam condunt, cum dicunt esse fundum singuli cuiusque numeri in chiliadibus quidem tot monades, quot sint chiliades, vel-

ῥεῖ C 71. ὁμοίους C M: an ὅμως? ἐρανίσαμεν· οἵ τινες C 72. πρὸς γνωστικοὺς C 77. καὶ πανουργίας] καινουργίας C: καινουργίᾳ M 77. ἀναπλέου ὄντας] ἀναπλέοντας C: ἀναπτεροῦντας τοὺς M 80. αὐτὴν C

μονάδας, ὅσαι ἂν ὦσι χιλιάδες, οἷον τῶν ἑξακισχιλίων ὁ πυθμὴν μονάδες ἕξ, τῶν ἑπτακισχιλίων μονάδες ἑπτά, τῶν ὀκτακισχιλίων μονάδες ὀκτώ, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως κατὰ τα αὐτά, καὶ ἐπὶ τῶν ἑκατοντάδων, ὅσαι ἂν ὦσιν αἱ ἑκατοντάδες, τοσαῦται μονάδες ὁ πυθμήν ἐστιν αὐτῶν, οἷον τῶν ἑπτακοσίων ἑπτά εἰσιν ἑκατοντάδες· ὁ πυθμὴν αὐτῶν ἑπτὰ μονάδες· τῶν ἑξακοσίων ἓξ ἑκατοντάδες· ὁ πυθμὴν αὐτῶν τρεῖς μονάδες. Τὸ ὅμοιον καὶ ἐπὶ τῶν δεκάδων· τῶν μὲν ὀγδοήκοντα μονάδες ὀκτώ, τῶν δὲ ἑξήκοντα μονάδες ἕξ, τῶν τεσσαράκοντα μονάδες τέσσαρες, τῶν δέκα μονὰς μία. Ἐπὶ δὲ τῶν μονάδων, πυθμὴν αὐταὶ εἰσὶν αἱ μονάδες, οἷον τοῦ ἐννέα ὁ ἐννέα, τοῦ ὀκτὼ ὁ ὀκτώ, τοῦ ἑπτὰ ὁ ἑπτά. Οὕτως οὖν καὶ ἐπὶ τῶν στοιχείων ποιεῖν δεῖ· ἕκαστον γὰρ στοιχεῖον κατά τινα τέτακται ἀριθμόν, οἷον τὸ ν̄ πεντήκοντα μονάδων ἐστίν· τῶν δὲ πεντήκοντα μονάδων πυθμήν ἐστιν ὁ πέντε, καὶ τοῦ ν̄ στοιχείου| πυθμήν ἐστιν ὁ πέντε. Ἔστω ἔκ του ὀνόματος τοὺς τούτου πυθμένας λαβεῖν. Οἷον τοῦ Ἀγαμέμνων ὀνόματος γίνεται τοῦ μὲν ᾱ μονὰς μία, τοῦ δὲ γ̄ μονάδες τρεῖς, τοῦ ἄλλου ᾱ μονὰς μία, τοῦ μ̄ μονάδες δ̄, τοῦ ε̄ μονάδες ε̄, τοῦ μ̄ μονάδες δ̄, τοῦ ν̄ μονάδες πέντε, τοῦ ω̄ μονάδες η̄, τοῦ ν̄ μονάδες ε̄, ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἔσονται ᾱ, γ̄, ᾱ, δ̄, ε̄, δ̄, ε̄, η̄, ε̄· ταῦτα συντεθέντα ποιεῖ μονάδας λ̄ς̄. Πάλιν τούτων πυθμένας λαμβάνουσι, καὶ γίνονται τῶν μὲν λ̄ τρεῖς, τῶν δὲ ἓξ αὐτὰ τὰ ἕξ· συντεθέντα οὖν τὰ τρία καὶ τὰ ἓξ ποιεῖ ἐννέα, τῶν δὲ ἐννέα πυθμὴν ὁ ἐννέα. Κατέληξεν οὖν τὸ Ἀγαμέμνων ὄνομα εἰς τὸν ἐννέα πυθμένα. Ἔστω τὸ αὐτὸ καὶ ἐπὶ ἄλλου ὀνόματος ποιῆσαι τοῦ Ἕκτωρ. Τὸ Ἕκτωρ ὄνομα ἔχει στοιχεῖα ε̄ καὶ κάππα καὶ ταῦ καὶ ω̄ καὶ ρ̄. Τούτων πυθμένες ε̄, β̄, γ̄, η̄, ᾱ· ταῦτα συντεθέντα ποιεῖ μονάδας ῑθ̄. Πάλιν τῶν δέκα πυθμὴν εἷς, τῶν ἐννέα ἐννέα, ἃ συντεθέντα ποιεῖ δέκα· τοῦ δέκα γίνεται πυθμὴν μονάς. Ψηφισθὲν οὖν τὸ Ἕκτωρ ὄνομα ἐποίησε πυθμένα μονάδα. Εὐκολώτερον δέ ἐστι τὸ οὕτως ποιεῖν· τοὺς εὑρεθέντας ἐκ τῶν στοιχείων πυθμένας, ὡς νῦν ἐπὶ τοῦ Ἕκτορος ὀνόματος εὕρομεν μονάδας ῑθ̄, εἰς ἐννέα μέριζε καὶ τὸ περιλειπόμενον πυθμένας λέγε· οἷον τὰ ῑθ̄ ἐὰν εἰς ἐννέα μερίζω,

88. ἑξηκοντάδες C τρεῖς] Leg. ἕξ, nisi exciderunt eadem verba de τριακόσιοι M 95. τὸ ν̄ πεντήκοντα μονάδων ἐστίν] τὸν κατὰ μονάδων η̄ C: ἐὰν τὸ ν̄ κατὰ μονάδων η̄, M τῶν δὲ] τῶν C M 97.

uti sex milium fundus est senarius numerus, septem milium septenarius, octo milium monades octo, et in reliquis pariter, eadem ratione et in hecatontadibus, quot sint hecatontades, tot monades est fundus earum, veluti septingentorum septem sunt hecatontades, fundus earum septem monades, sexcentorum sex hecatontades, fundus earum sex monades. Idem valet et in decadibus, numeri octogenarii monades octo, sexagenarii monades sex, quadragenarii monades quattuor, denarii monas una. In monadibus autem pro fundo sunt ipsae monades, veluti novenarii numeri novem, octonarii octo, septenarii septem. Sic igitur etiam in litterarum elementis tenendum est. Unquaeque enim littera numero alicui respondet, veluti littera ν̄ quinquaginta monadum est; quinquaginta autem monadum fundus est quinarius, et litterae ν̄ fundus est quinarius. Age vero, ex aliquo nomine fundos eius sumamus: veluti nominis, quod est *Ἀγαμέμνων*, est litterae ᾱ monas una, γ̄ autem monades tres, alterius ᾱ monas una, μ̄ monades quattuor, ε̄ monades quinque, μ̄ monades quattuor, ν̄ monades quinque, ω̄ monades octo, ν̄ monades quinque, quae in unum subducta erunt: 1, 3, 1, 4, 5, 4, 5, 8, 5; haec conflata efficiunt monades 36. Rursus horum fundos sumunt et fiunt numeri tricenarii tres, senarii autem ipse senarius, conflata igitur tres et sex efficiunt novem, novenarii autem fundus novenarius. Acquievit igitur Agamemnonis nomen in fundo qui novem est. Licebit idem etiam in alio nomine tentare, quod est *Ἕκτωρ*. Id nomen habet litteras: ε̄ et κ̄ et τ̄ et ω̄ et ρ̄. Harum fundi: 5, 2, 3, 8, 1, quae conflata efficiunt monades 19. Rursus denarii numeri fundus monas est, novenarii novenarius, quae conflata efficiunt decem, denarii numeri fit fundus monas. Computatum igitur nomen Hectoris effecit fundum monadem. Promptius autem est in hunc modum rem aggredi. Fundos ex elementis repertos, uti nunc nominis Hectoris reperimus monades 19, in novem seca et quod relinquitur pro fundis habeto. Veluti cum 19 divido in novem, relinquitur unum, novies enim duo efficiunt 18 et relinquitur 1; si enim subduxero

ἐκ τοῦ C *τοὺς*] *τινὰς* C 98. 99. *τοῦ μὲν*] *τὸ μὲν* C M 3. δ̄, ε̄, η̄, ε̄·] δ̄. κε. C 9. *στοιχεῖα* ε̄ Roeperus: *στοιχεῖα πέντε* C: *στοιχεῖα πέντε*, ε̄ M

περιλείπεται μονάς, ἐννάκις γὰρ δύο ιη, καὶ λοιπὴ μονάς. Ἐὰν γὰρ ὑφέλω τῶν ιθ τὰ δεκαοκτώ, λοιπὴ μονάς· ὥστε τοῦ Ἕκτωρ ὀνόματος πυθμὴν ἔσται μονάς. Πάλιν τοῦ Πάτροκλος ὀνόματος πυθμένες εἰσὶν ἀριθμοὶ οὗτοι, η, α, γ, α, ζ, β, γ, ζ, β· συντεθέντες | ποιοῦσι μονάδας λδ. Τούτων τὸ λοιπὸν μονάδες ἑπτά, τῶν λ τρεῖς, καὶ τῶν δ αὗται αἱ δ. Πυθμὴν οὖν εἰσὶ τοῦ Πάτροκλος ὀνόματος μονάδες ζ. Οἱ μὲν οὖν κατὰ τὸν ἐννεαδικὸν κανόνα ψηφίζοντες [τὸ] ἔνατον λαμβάνουσι τοῦ ἀθροισθέντος ἐκ τῶν πυθμένων ἀριθμοῦ, καὶ τὸ περιλειφθὲν πλῆθος τῶν πυθμένων ὁρίζονται, οἱ δὲ κατὰ τὸν ἑβδοματικὸν τὸ ἕβδομον· οἷον εὑρέθη ἐπὶ τοῦ Πάτροκλος ὀνόματος τὸ ἐπὶ τῶν πυθμένων ἄθροισμα μονάδες λδ· τοῦτο μερισθὲν εἰς ἑβδομάδας ποιεῖ δ, ὅ ἐστι κη· λοιπαὶ μονάδες ἕξ· λέγει ὅτι ὁ πυθμὴν τοῦ Πάτροκλος ὀνόματος εἰσὶν ἓξ κατὰ τὸν ἑβδοματικόν. Εἰ δὲ ἔσται μγ, τὸ ἕβδομον λέγει μβ, ἑπτάκις γὰρ ἓξ μβ, καὶ λοιπὸν ἕν. Μονὰς οὖν γίνεται ὁ πυθμὴν ὁ ἀπὸ τῶν μγ κατὰ τὸν ἑβδοματικόν. Δεῖ δὲ προσέχειν ἐὰν ὁ ληφθεὶς ἀριθμὸς μεριζόμενος ἀπαρτίσῃ, οἷον ἐὰν ἔκ τινος ὀνόματος συντιθεὶς τοὺς πυθμένας εὕρω λόγου χάριν μονάδας λϛ· ὁ δὲ λϛ μεριζόμενος εἰς τὸν ἐννέα δ ἀπαρτίζει ἐννεάδας (ἐννάκις γὰρ δ λϛ, καὶ οὐδὲν περιλείπεται)· τὸν πυθμένα οὖν αὐτὸν τὸν θ δῆλον εἶναι. Κἂν πάλιν τὸν τεσσαράκοντα πέντε ἀριθμὸν μερίζοντες εὕρωμεν ἀπαρτίζοντα ἐννέα· καὶ γὰρ ἐννάκις πέντε με, καὶ λείπεται οὐδέν· ἐπὶ τῶν τοιούτων αὐτὸν τὸν ἐννέα λέγουσι πυθμένα. Καὶ ἐπὶ τοῦ ἑβδοματικοῦ ὁμοίως, ἐὰν λόγου χάριν τὸν κη εἰς τὸν ἑπτὰ μερίζοντες ἀπαρτίσωμεν (ἑπτάκις γὰρ δ κη, καὶ περιλείπεται οὐδέν), τὸν ἑπτὰ λέγουσι πυθμένα. Ὅταν μέντοι ψηφίζῃ τὰ ὀνόματα καὶ εὑρίσκῃ δὶς τὸ αὐτὸ γράμμα, ἅπαξ αὐτὸ | ψηφίζει, οἷον τὸ Πάτροκλος ὄνομα καὶ τὸ π α δὶς ἔχει καὶ τὸ ο δίς, ἅπαξ οὖν τὸ α ψηφίζουσι καὶ ἅπαξ τὸ ο. Κατὰ τοῦτο οὖν πυθμένες ἔσονται η, α, γ, α, ζ, β, γ, β, καὶ συντεθέντες ποιοῦσι μονάδας κζ, καὶ ἔσται πυθμὴν τοῦ ὀνόματος κατὰ μὲν τὸν ἐννεαδικὸν αὐτὸς ὁ ἐννέα, κατὰ δὲ τὸν ἑβδοματικὸν ἕξ. Ὁμοίως Σαρπηδὼν ψηφισθεὶς ποιεῖ μονάδας κατὰ

19. ὑφέλω Roeperus coll. p. 79, 31: ἀφελῶ C M 22. λοιπὸν] ἔλαττον C M 25. τὸ add. M coll. l. 28. 34. λειφθεὶς C M 35. 36. συντεθεὶς C 39. Κἂν] Καὶ C M 42. τοὺς ἑβδοματι-

ex 19—18, restabit 1, ita ut Hectoris nominis fundus sit 1. Rursus nominis quod est *Πάτροκλος* fundi sunt numeri hi: 8, 1, 3, 1, 7, 2, 3, 7, 2; conflati efficiunt monades 34. Horum quod relinquitur monades 7, tricenarii numeri ternarius et quaternarii ipse quaternarius. Fundus igitur Patrocli nominis monades 7. Qui igitur secundum novenariam normam computant, nonam partem sumunt eius numeri, qui ex fundis collectus est, et id quod relictum est pro multitudine fundorum numerant, qui autem secundum septenariam normam, septimam partem: veluti reperta est in nomine Patrocli fundorum summa 34, quae divisa in septimas partes efficit quattuor, quo efficiuntur 28; restant monades sex: ait fundum Patrocli nominis esse senarium numerum secundum septenariam normam. Si autem erit 43, septies sumptum dicit 42, septies enim sex efficit 42 et restat unum. Monas igitur existit fundus numeri 43 secundum septenariam normam. Observandum autem est, cum sumptus numerus divisus nihil reliqui faciet, veluti cum ex quopiam numero componens fundos invenero, ut exemplo utar, monades 36. Numerus autem 36 divisus in novem accurate efficit quattuor enneades, novies enim quattuor efficit 36 nec quidquam reliqui fit. Apertum igitur est ipsum fundum esse 9. Et ubi rursus numerum 45 dividentes reperiemus numerum novenarium nihil reliqui facere (etenim novies quinque efficit 45 nec quidquam restat), in talibus dicunt ipsum novenarium numerum esse fundum. Et in septenario pariter; ubi, ut exemplum ponamus, numerum 28 in numerum septenarium dividentes nihil reliqui facimus (septies enim quattuor efficit 28, nec quidquam relinquitur), septenarium dicunt fundum. Ille igitur cum computat nomina et reperit eandem litteram bis positam, semel eam computat, veluti *Πάτροκλος* nomen et $\overline{\pi}$ $\overline{\alpha}$ litteras bis habet et $\overline{o}$ litteram bis; semel igitur $\overline{\alpha}$ computant, semel $\overline{o}$. Secundum hoc igitur fundi erunt: 8, 1, 3, 1, 7, 2, 3, 2, et conflati efficiunt monades 27, et erit fundus nominis secundum novenariam normam ipse novenarius numerus, secundum septe-

κοὺς C M 45. *εὑρίσκει* C 46. Haec valde turbata sunt. Ex calculo legam: *Οἷον τὸ Πάτροκλος ὄνομα τὸ $\overline{o}$ δὶς ἔχει· ἅπαξ οὖν τὸ $\overline{o}$ ψηφίζουσι. κατὰ τοῦτο κ. τ. λ.* M: an iste *Παπάτροκλος* voluit? 49. *μονάδες* C. 51. *Ὁμοίως*] *ὅ^{μ} ἕξ* C

τὸν ἐννεαδικὸν δύο πυθμένα, Πάτροκλος δὲ ποιεῖ μονάδας ϑ· νικᾷ Πάτροκλος. Ὅταν γὰρ ᾖ ὁ μὲν εἷς περισσός, ὁ δὲ ἕτερος ἄρτιος, ὁ περισσὸς νικᾷ, ἐὰν μείζων ᾖ. Πάλιν δὲ ἐὰν ᾖ ὀκτὼ ἄρτιος καὶ πέντε περισσός, ὁ ὀκτὼ νικᾷ, μείζων γάρ ἐστιν. Εἰ δὲ εἰσὶν ἀριθμοὶ δύο οἷον ἀμφότεροι ἄρτιοι ἢ ἀμφότεροι περισσοί, ὁ ἐλάσσων νικᾷ. Πῶς δὲ ὁ Σαρπηδὼν κατὰ τὸν ἐννεαδικὸν ποιεῖ μονάδας δύο; παραλείπεται γὰρ τὸ ω̄ στοιχεῖον· ὅταν γὰρ ᾖ ἐν ὀνόματι στοιχεῖον ω̄ καὶ η̄, παραλιμπάνουσι τὸ ω̄ ἑνὶ στοιχείῳ χρώμενοι· ἰσοδυναμεῖν γὰρ λέγουσι τὰ ἀμφότερα, δὶς δὲ τὸ αὐτὸ οὐ ψηφίζεται, ὡς ἄνωθεν εἴρηται. Πάλιν Αἴας ποιεῖ μονάδας τέσσαρας, Ἕκτωρ κατὰ τὸν ἐννεαδικὸν ποιεῖ μονάδα μίαν. Καὶ ἔστιν ἡ μὲν τετρὰς ἄρτιος, ἡ μονὰς δὲ περισσή. Ἐπὶ δὲ τῶν τοιούτων τὸν μείζονα ἐλέγομεν νικᾶν, νικᾷ ὁ Αἴας. Πάλιν Ἀλέξανδρος καὶ Μενέλαος. Ἀλέξανδρος κύριον ἔχει ὄνομα [Πάρις]. Πάρις δὲ ποιεῖ μονάδας κατὰ τὸν ἐννεαδικὸν δ̄, Μενέλαος δὲ κατὰ τὸν | ἐννεαδικὸν μονάδας ϑ̄, νικῶσι δὲ αἱ ἐννέα τὰς τέσσαρας· εἴρηται γάρ, ὁπόταν ὁ μὲν περισσὸς ᾖ, ὁ δὲ ἄρτιος, ὁ μείζων νικᾷ, ὅταν δὲ ἀμφότεροι ἄρτιοι ἢ ἀμφότεροι περισσοί, ὁ ἐλάσσων. Πάλιν Ἄμυκος καὶ Πολυδεύκης. Ἄμυκος μὲν ποιεῖ μονάδας δύο κατὰ τὸν ἐννεαδικόν, καὶ Πολυδεύκης δὲ ἑπτά· νικᾷ Πολυδεύκης. Αἴας καὶ Ὀδυσσεὺς ἐπάλαισαν ἐν τῷ ἐπιταφίῳ. Αἴας ποιεῖ κατὰ τὸν ἐννεαδικὸν μονάδας δ̄, Ὀδυσσεὺς ὀκτὼ κατὰ τὸν ἐννεαδικόν· ἆρα οὖν μήτι τὸ Ὀδυσσέως ἐπίθετον καὶ οὐ κύριόν ἐστιν; ἐνίκησε γάρ. Κατὰ μὲν τοὺς ἀριθμοὺς νικᾷ Αἴας, ἡ δ' ἱστορία Ὀδυσσέα παραδίδωσιν. Ἀχιλλεὺς καὶ Ἕκτωρ. Ἀχιλλεὺς κατὰ τὸν ἐννεαδικὸν ποιεῖ τέσσαρας, Ἕκτωρ μίαν· νικᾷ Ἀχιλλεύς. Πάλιν Ἀχιλλεὺς καὶ Ἀστεροπαῖος. Ἀχιλλεὺς ποιεῖ τέσσαρας, Ἀστεροπαῖος τρεῖς· νικᾷ Ἀχιλλεύς. Πάλιν Μενέλαος καὶ Εὔφορβος. Μενέλαος ἔχει μονάδας ἐννέα, Εὔφορβος ὀκτώ· νικᾷ Μενέλαος. Τινὲς δὲ κατὰ τὸν ἑβδοματικὸν μόνοις τοῖς φωνήεσι χρῶνται, ἄλλοι δὲ διαστέλλουσιν ἰδίᾳ μὲν τὰ φωνήεντα, ἰδίᾳ δὲ τὰ ἡμίφωνα, ἰδίᾳ δὲ τὰ ἄφωνα, καὶ τρεῖς τάξεις ποιήσαντες λαμβάνουσι τοὺς πυθμένας ἰδίᾳ μὲν τῶν φωνηέντων, ἰδίᾳ δὲ τῶν ἡμιφώνων, ἰδίᾳ δὲ τῶν ἀφώνων, καὶ συγκρίνουσι

56. ἦσαν C M 57. 58. ἐννεατικὸν C 58. παραλείπονται C
62. Ἕκτωρ] ἕκτον C 66. Πάρις add M 66. 67. κατὰ τὸ ἐννεαδι-

nariam autem senarius. Pariter *Sarpedon* computatus efficit monades secundum novenariam normam binarium numerum pro fundo, Patroclus autem efficit monades 9, vincit Patroclus. Nam cum est alter fundus impar, alter autem par, impar vincit, ubi maior est. Rursus autem cum est octonarius par et quinarius impar, octonarius vincit, maior enim est. Sin vero sunt numeri duo veluti uterque impar vel uterque par, inferior vincit. Qui autem Sarpedon secundum novenariam normam efficit monades duas? Nempe omittitur ϖ littera. Quando enim est in nomine littera ϖ et η̄, omittunt ϖ, una littera usi, pari enim potestate esse dicunt utramque, bis autem idem non computatur, ut superius dictum est. Rursus Aiax efficit monades quattuor, Hector autem secundum novenariam normam facit monadem unam, et est quaternarius numerus par, monas autem impar, in tali autem causa diximus maiorem vincere, vincit Aiax. Rursus Alexander et Menelaus. Alexander proprium habet nomen Paris, Paris autem efficit monades secundum novenariam normam 4, Menelaus autem secundum novenariam monades 9, vincunt autem novem quattuor; dictum enim est, quando alter impar sit, alter autem par, maiorem vincere, quando autem uterque par aut uterque impar, inferiorem. Rursus Amycus et Polydeuces. Amycus quidem facit monades duas secundum novenariam normam et Polydeuces vero septem: vincit Polydeuces. Aiax et Odysseus luctabantur in certamine funebri. Aiax efficit secundum novenariam normam monades quattuor, Odysseus octo secundum novenariam. An vero Odyssei nomen epitheton et non proprium est? Vicit enim. Quanquam secundum numeros vincit Aiax, historia autem Odysseum tradit vicisse. Achilleus et Hector. Achilleus secundum novenariam normam facit quattuor, Hector unam: vincit Achilles. Rursus Achilleus et Asteropaeus. Achilleus facit quattuor, Asteropaeus tres: vincit Achilles. Rursus Menelaus et Euphorbus. Menelaus habet monades novem, Euphorbus octo: vincit Menelaus. Quidam autem septenaria norma usi solis vocalibus utuntur, alii autem seorsum collocant et vocales et semivocales et consonantes et tribus ordinibus constitutis sumunt fun-

κὸν bis C 74. *τὸ ἐννεαδικόν* C Hic error in calculo M 80. Error in calculo M 82. 83. *φωνήσεσι* C 85. *ἰδίᾳ τῶν ἀφ.* C

χωρὶς ἕκαστον. Ἄλλοι δὲ οὐδὲ τούτοις τοῖς νενομισμένοις ἀριθμοῖς χρῶνται, ἀλλ᾽ ἄλλοις, οἷον ὑποδείγματος ἕνεκα τὸ π̄ οὐ θέλουσι πυθμένα ἔχειν μονάδας η̄, ἀλλὰ ε̄, καὶ τὸ ξ̄ στοιχεῖον πυθμένα μονάδας δ̄, καὶ παντοίως στρεφόμενοι οὐδὲν ὑγιὲς εὑρίσκουσιν. Ὅταν μέντοι δεύτερόν τινες ἀγωνίζωνται, ἀφ᾽ ἑκατέρου τῶν ὀνομάτων τὸ πρῶτον στοιχεῖον ἀφαιροῦσιν, ὅταν δὲ | τρίτον, τὰ δύο ἑκατέρωθεν, καὶ τὰ λοιπὰ ψηφίσαντες συγκρίνουσιν.

15. *Οἶμαι δὲ ἐκδήλως ἐκτεθεῖσθαι καὶ τὴν τῶν ἀριθμητικῶν ἐπίνοιαν δι᾽ ἀριθμῶν καὶ ὀνομάτων τὸ ζῆν διακρίνειν νομιζόντων. Τούτους δὲ κατανοῶ σχολὴν ἄγοντας καὶ ψήφῳ γεγυμνασμένους τεθεληκέναι διὰ τῆς παραδοθείσης αὐτοῖς ἐκ παίδων τέχνης [θέλειν] εὐδοκιμοῦντας μάντεις προσαγορεύεσθαι· οἳ ἄνω κάτω τὰ στοιχεῖα καταμετροῦντες εἰς λῆρον ἐχώρησαν. Ἐπὰν γὰρ ἀποτύχωσι, τὸ ἄπορον προβάλλοντες λέγουσι, μήτι τοῦτο ὄνομα γενικὸν οὐκ ἐγένετο ἀλλὰ ἐπίθετον· ὡς καὶ ἐπὶ τοῦ Ὀδυσσέως καὶ Αἴαντος ἐκπεσόντες ἐνεκάλουν. Τίς ἐκ ταύτης τῆς θαυμαστῆς φιλοσοφίας ἀφορμὰς λαβὼν καὶ θελήσας αἱρεσιάρχης καλεῖσθαι οὐ δοξασθήσεται; Ἀλλ᾽ ἐπεὶ καὶ ἑτέρα τις τέχνη βαθυτέρα ἐστὶ παρὰ τοῖς πανσόφοις Ἑλλήνων μεριμνηταῖς, οἷς εὔχονται μαθητεύειν οἱ αἱρετικοὶ διὰ τὸ ταῖς αὐτῶν δόξαις χρῆσθαι πρὸς τὰ ὑπ᾽ αὐτῶν ἐπιχειρούμενα, καθὼς ὑποδειχθήσεται μετ᾽ οὐ πολύ (αὕτη δέ ἐστι μετωποσκοπικὴ μαντεία, μᾶλλον δὲ μανία), οὐδὲ ταύτην σιωπήσομεν. Εἰσὶν οἳ τοῖς ἄστροις ἀναφέρουσι τὰς μορφὰς τυποῦντες ἰδέας καὶ τὰς φύσεις τῶν ἀνθρώπων ἐπὶ τὰς κατὰ ἀστέρων γενέσεις ἀναλογιζόμενοι. οὕτω δὲ λέγουσιν· Οἱ ἐν Κριῷ γεννώμενοι τοῖοι ἔσονται· κεφαλῇ ἐπιμήκει, τριχὶ πυρρᾷ, ὀφρύσι | συνεζευγμέναις, μετώπῳ ὀξεῖ, ὀφθαλμοῖς γλαυκοῖς, ὑπὸ ἄλλοις, μήλοις καθειλκυσμένοις, ἐπίρρινοι, μυκτῆρσιν ἠνεῳγμένοις, χείλεσι λεπτοῖς, γενείῳ ὀξεῖ, στόματι ἐπιμήκει. Οὗτοι, φησί, μεθέξουσι φύσεως τοιαύτης· προνοητικοί, ποικίλοι, δειλοί, φρόνιμοι, προσχαριώδεις, ἥσυχοι, περίεργοι, βουλαῖς ἀποκρύφοις, παντὶ*

89. *μονάδας* add M 98. *τῆς* om pr C 99. *θέλειν* uncis inclusit M *προαγορεύεσθαι* C 2. *προβαλόντες* C M 8. *διὰ τοῦ* C M 10. *μετωπισκοπικὴ* C. 14. *δὲ* om C M *οἱ Κριῷ* C 15. *ἐπιμήκη — τριχῇ* C Cod. 2494, 142 v. *ὑπέρυθροι* M 16.

dos seorsum et vocalium et semivocalium et consonantium et comparant seorsum unumquodque. Alii autem ne his quidem consuetis numeris utuntur, sed aliis, veluti, ut exemplo utar, $\bar{\pi}$ litteram negant fundum habere monades octo, sed quinque, et $\bar{\xi}$ litteram fundum monades quattuor, et omnes in partes quamvis se vertant, nihil sani extundunt. Quanquam ubi secundum aliqui concertant, ab utroque nomine primam litteram demunt, quando autem tertium, duas utriusque nominis, et reliquis computatis comparant.

15. Arbitror autem perspicue declaratam esse et arithmeticorum mentem per numeros et nomina vitam discernere instituentium. Hos autem intelligo otiantes et in numerando exercitatos nisos esse, ut per artem a pueris sibi traditam illustres facti vates appellarentur: qui susque deque litterarum elementa metientes in ineptias abierunt. Quando enim non contigit, difficultatem rei praetendentes dicunt: forsitan hoc nomen patrium non fuerit, sed asciticium, veluti etiam in Ulixis et Aiacis nomine lapsi insimulabant. Quis ex hac mirifica philosophia profectus et haeresiarcha appellari gestiens non celebrabitur? Sed quoniam etiam altera quaedam ars profundior est penes omniscios Graecorum curiosos, quorum discipulos sese esse gloriantur haeretici, propterea quod illorum opiniones usurpant ad ea, quae ab ipsis intentantur, uti demonstrabitur paullo post (haec autem est frontispica vaticinatio, vel dicam vanitudo): ne hanc quidem silentio praetermittemus. Sunt qui ad stellas referant figuras formantes peculiares et naturas hominum, cum rationem referunt ad genituras a stellis aptas. Sic autem aiunt: Qui sub Ariete nati sunt tales erunt: capite obstipo, capillo rufo, palpebris coniugatis, fronte tenui, oculis caesiis, subloquacibus, genis dependentibus, nasuti, naribus adapertis, labellis tenuibus, mento acuto, ore oblongo. Hi, inquit, tali erunt natura: cauti, varii, ignavi, prudentes, complacentes, tranquilli, seduli, clandestinis consiliis, cuivis operi apti,

ὑπὸ ἄλλοις] *ὑποσάλοις* susp. M: *ὑπομέλασι* Roeperus: an *ὑπολάλοις*? 17. *ἐπίρινος* C Aliter in cod. 2494: *μυκτῆρσι καθηλωμένοι* M *χείλη λεπτὰ ἔχοντες* Cod. 2494 19. *δειλοὶ*] *δῆλοι* C: *δειλοὶ τῇ καρδίᾳ* Cod. 2494 20. *προσχαριώδεις*] *χαροποιοὶ* Cod. 2494

πράγματι κατηρτισμένοι, πλεῖον φρονήσει ἢ ἰσχύι κρατοῦντες, τὸ παρὸν καταγελασταί, γεγραμματισμένοι, πιστοί, φιλόνεικοι, ἐν μάχῃ ἐρεθισταί, ἐπιθυμηταί, παιδεραστίᾳ νοσοῦντες, ἀπεστραμμένοι ἀπὸ τῶν ἰδίων οἴκων, ἀπαρέσκοντες ἅπαντα, κατήγοροι, ἐν οἴνῳ μανιώδεις, ἐξουθενηταί, κατ᾽ ἔπος τι ἀποβάλλοντες, εἰς φιλίαν εὔχρηστοι διὰ τὴν ἀγαθωσύνην· πλειστάκις ἐν ἀλλοτρίᾳ γῇ ἀποθνήσκουσιν.

16. Οἱ δὲ ἐν Ταύρῳ τύπῳ ἔσονται τῷδε· κεφαλῇ στρογγύλῃ, τριχὶ παχείᾳ, μετώπῳ πλατεῖ, τετραγώνῳ, ὀφθαλμοῖς καὶ ὀφρύσι μεγάλαις, μέλασιν, ἐν τῷ λευκῷ φλέβες λεπταί, αἱματώδεις, βλεφάροις μακροῖς, παχέσιν, ὠτίοις μεγάλοις, στόμασι στρογγύλοις, ῥώθωνι παχεῖ, μυκτῆρσι στρογγύλοις, χείλεσι παχέσι· τοῖς ὑπεράνω μέρεσιν ἰσχύουσιν, ὀρθὸς γεγενημένος ἀπὸ σκελῶν· οἱ αὐτοὶ δὲ φύσεως· | ἀρέσκοντες, νοοῦντες, εὐφυεῖς, εὐσεβεῖς, δίκαιοι, ἄγροικοι, προσχαρεῖς, κοπιαταί, ἀπὸ ἐτῶν ιβ̄, ἐρεθισταί, νωθροί· τούτων ὁ στόμαχος μικρός ἐστι, πληροῦνται τάχα, πολλὰ βουλευόμενοι, φρόνιμοι, φειδωλοὶ εἰς ἑαυτούς, εἰς ἄλλους δαψιλεῖς, ἀγαθοποιοί, σώματι βραδεῖ· ἐν μέρει εἰσὶ λυπηροί, ἀμελεῖς εἰς φιλίαν, ὠφέλιμοι διὰ τὸν νοῦν, κακοπαθεῖς.

17. Ἐν Διδύμοις τύπος· προσώπῳ κοκκίνῳ, μεγέθει οὐ λίαν μεγάλῳ, μέλεσιν ἴσοις, ὀφθαλμοῖς μέλασιν ὡς ἠλειμμένοις, μήλοις κάτω τεταμένοις, στόματι παχεῖ, ὀφρύσι συντεθειμέναις· συγκροτοῦσι πάντα, ἔχουσιν, ἔσχατα πλούσιοι, σκνιφοί, φειδωλοὶ ἐκ τοῦ ἰδίου, δαψιλεῖς πρὸς τὰ ἀφροδισιακά, ἐπιεικεῖς, μουσικοί, ψεῦσται· οἱ αὐτοὶ δὲ φύσεως· δεδιδαγμένοι, νοοῦντες, περίεργοι, ἰδίᾳ ἀποφάσει, ἐπιθυμητικοί, φειδωλοὶ ἐκ τοῦ ἰδίου, δαψιλεῖς, ἥσυχοι, φρόνιμοι, δόλιοι, πολλὰ βουλεύονται, ψηφισταί, κατήγοροι, ἀκαίριμοι, οὐκ εὐτυχεῖς, ἀπὸ γυναικῶν φιλοῦνται, ἔμποροι, εἰς φιλίαν οὐκ ἐπὶ πολὺ ὠφέλιμοι:

23. αἱρεθισταὶ C παιδερασταὶ, νοοῦντες C M 24. ἀπαρέσκονται C 25. ἔπος] ἔτος C M 26. ἀγαθοσύνην C 29. τετραγώνοις C M 29. 30. ὀφθαλμοὺς μέλανας Cod. 2494, quo probabile fit Hippolyto reddendum esse: ὀφθαλμοῖς μέλασιν, ὀφρύσι μεγάλαις 30. βλέβες C 33. ὑπὲρ ἄνω C 33. 34. νωθροὶ γεγεννημένοι M coll. Manil. Astronomic. IV, 150 34. φύσεων C 36. αἱρεθισταὶ C 38. ἀλλήλους C βραχεῖ C M 42. μέρεσιν C M 43. κάτω τεταμένοις Roeperus: καλῶ γεγεννημένων pr C M: καλῶ τετεννημένων corr C 44. συγκρατοῦσι C M πλούσια C 45. δα-

plus prudentia quam robore pollentes, praesentium rerum irrisores, litterati, fidi, litigiosi, in pugna irritatores, libidinosi, puerorum amoribus insanientes, negligentes familiae suae, ad omnia morosi, incusatores, in vino vesani, omnia pro nihilo habentes, verbo aliquid abiicientes, ad amicitiam utiles propter bonitatem; ut plurimum in aliena terra moriuntur.

16. Qui autem sub Tauro, hac erunt specie: capite rotundo, capillo spisso, fronte lata, quadrata, oculis et superciliis magnis, nigris, in albo venae exiguae, sanguineae, palpebris amplis, crassis, auriculis magnis, oribus rotundis, naso crasso, naribus rotundis, labris crassis; superioribus artubus valent, cum a cruribus infirmi sunt. Iidem autem natura sunt: placentes, intelligentes, habiles, pii, iusti, duri, officiosi, laboriosi a duodecim annis, rixatores, stupidi. Horum stomachus exilis est, implentur celeriter, multa agitantes, sollertes, parci in semet ipsos, in alios largi, benefici, corpore tardo. Ex parte sunt tetrici, incuriosi amicitiae, utiles propter mentem, calamitatibus obnoxii.

17. Sub Geminis species: facie coccina, magnitudine non admodum magna, membris parilibus, oculis nigris ut unctis, genis infra detortis, ore crasso, superciliis contractis, converrunt omnia, habent, summopere divites, sordidi, parci suorum, profusi in res venereas, modici, musici, mendaces. Iidem autem a natura: docti, intelligentes, curiosi, suo iudicio, libidinosi, parci suorum, profusi, quieti, sollertes, astuti, multa agitant, computatores, incusatores, importuni, non felices, a mulieribus expetuntur, mercatores, ad amicitiam non multum utiles.

ψιλεῖς πραγμάτων ἀφροδισιακῶν, ἐπιεικεῖς, μουσικοί, πρὸς τὰ ἀφροδισιακά, ψεῦσται C Scribendum: *δαψιλεῖς πρὸς τὰ ἀφροδισιακά*, unde *πραγμάτων ἀφροδισιακῶν* ortum ob solitam structuram cum genitivo, deinde in margine correctum fuerat, correctionem autem librarius alieno loco inseruit, ubi delenda. In sequentibus eadem expositio repetitur vel librariorum culpa qui haec turbarunt, vel ipsius Origenis *πολυγραφωτάτου* qui bis eadem dictavit M 47. *περίεργα* C 48. *ἀλλοτρίου* addit M 49. *καίριμοι* C

18. Ἐν Καρκίνῳ τύπος· μεγέθει οὐ μεγάλῳ, τριχὶ ὥσπερ κυανέῃ, χρώματι ὑποπύρρῳ, στόματι ὀλίγῳ, κεφαλῇ | στρογγύλῃ, μετώπῳ ὀξεῖ, ὀφθαλμοῖς ὑπογλαύκοις, ἱκανῶς καλοῖς, μέλεσιν ὑποποικίλοις· οἱ αὐτοὶ φύσεως· κακοί, δόλιοι, βουλαῖς ἀπηρτισμένοι, ἄπληστοι, φειδωλοί, ἀχάριστοι, ἀνελεύθεροι, ἀνωφελεῖς, ἀμνήμονες, οὔτε ἀποδιδόασιν ἀλλότριον οὔτε ἀπαιτοῦσιν ἴδιον, εἰς φιλίαν ὠφέλιμοι.

19. Ἐν Λέοντι τύπος· κεφαλῇ στρογγύλῃ, τριχὶ ὑποπύρρῳ, μετώπῳ μεγάλῳ ῥυσῷ, ὠτίοις παχέσι, τραχηλιῶται, ἐπὶ μέρει ὑποφάλακροι, πυρροί, ὀφθαλμοῖς γλαυκοῖς, μεγάλαις γνάθοις, στόματι παχεῖ, τοῖς ἐπάνω μέρεσι παχεῖς, στήθει μεγάλῳ, τοῖς ὑποκάτω μέλεσι λεπτοῖς· οἱ αὐτοὶ φύσεως· ἰδίας ἀποφάσεως, ἀσυγκέραστοι, ἀρέσκοντες ἑαυτοῖς, ὀργίλοι, θυμώδεις, καταφρονηταί, αὐθάδεις, μηδὲν βουλευόμενοι, ἄναλοι, κακόσχολοι, συνήθεις, εἰς πράγματα ἀφροδισιακὰ ἐκκεχυμένοι, μοιχοί, ἀναιδεῖς, πίστει ἀναληθεῖς, αἰτηταί, τολμηροί, σκνιφοί, ἅρπαγες, ἀξιόλογοι, εἰς κοινωνίαν ὠφέλιμοι, εἰς φιλίαν ἀνωφελεῖς.

20. Ἐν Παρθένῳ τύπος· ὁράσει καλῇ, ὀφθαλμοῖς οὐ μεγάλοις, ἐπαφροδίτοις, μέλασιν, ὀφρύσι συντεθειμέναις, ἱλαροῖς, κολυμβῶσιν. Εἰσὶ δὲ λεπτοὶ σώματι, ὑπὸ δὲ τοῦ ὄψει καλοῦ, τριχὶ καλῶς συντεθειμένῃ, μετώπῳ μεγάλῳ, ῥώθωνι προάλει. Οἱ αὐτοὶ φύσεως· εὐμαθεῖς, μέτριοι, ἐννοηταί, παιγνιώδεις, λόγιοι, βραδυλαλοῦντες, πολλὰ βουλευόμενοι, πρὸς χάριν εὐπαραίτητοι, | ἡδέως πάντα παρατηροῦντες, καὶ μαθηταὶ εὐφυεῖς, ἃ ἔμαθον κρατοῦσι, μέτριοι, ἐξουθενηταί, παιδεράσται, συνήθεις, ψυχῇ μεγάλῃ, καταφρονηταί, πραγμάτων ἀμελεῖς, διδαχῇ προσέχοντες, καλλίονες ἐν ἄλλοις ἢ τοῖς ἰδίοις, πρὸς φιλίαν ὠφέλιμοι.

21. Ἐν Ζυγῷ τύπος· τριχὶ λεπτῇ προαλεῖ, ὑποπύρρῳ, ὑπομήκει· μετώπῳ ὀξεῖ, ῥυσῷ, ὀφρύσι καλαῖς, συντεθειμέναις, ὀφθαλμοῖς καλοῖς, κόραις μέλασιν, ὠτίοις μακροῖς, λεπτοῖς, κεφαλῇ ἐπικεκλιμένῃ, στόματι μακρῷ. Οἱ αὐτοὶ φύσεως· νοοῦντες, θεοὺς τιμῶντες, ἀλλήλοις καταλαλοῦντες, ἔμποροι, κοπια-

52. κυνὶ ἀχρώματι C: κυνὶ, χρώματι M 54. ὑπὸ ποικίλοις C 56. ἀποδίδωσιν C 58. κεφαλὴ στρογγύλη C ὑπόπυρρα C: γλαυκοὶ εἰσὶ καὶ πυρρότριχοι Cod. 2494 61. τὰ ἄνω μείζονα τῶν κάτω ἔχοντες Cod 2494 64. βουλόμενοι C ἄναλοι] ἄλαλοι? κακέσχολοι C 64. 65. ἀσυνήθεις? 67. φιλίαν] ὠφέλειαν C 69.

18. Sub Cancro species: magnitudine non magna, capillo tanquam caeruleo, colore subrufo, ore angusto, capite rotundo, fronte acuta, oculis subcaesiis, satis pulcris, membris paullulum variis. Iidem a natura: pravi, astuti, in fraudibus volutati, inexpleti, tenaces, ingratifici, illiberales, inutiles, immemores, neque reddunt alienum, neque reposcunt suum, ad amicitiam utiles.

19. Sub Leone species: capite rotundo, capillo subrufo, fronte magna crispa, auriculis crassis, cervicosi, ex parte subcalvi, rufi, oculis caesiis, magnis maxillis, ore crasso, superioribus partibus crassi, pectore magno, inferioribus membris tenuibus. Iidem a natura: sui consilii, inconcinni, placentes sibi ipsis, iracundi, animosi, contemptores, confidentes, nihil secreti agitantes, paucorum verborum, male feriati, insociabiles, in res venereas effusi, adulteri, impudici, ad fidem infideles, rogatores, audaculi, sordidi, rapaces, in aliquo numero habendi, in communionem utiles, ad amicitiam inutiles.

20. Sub Virgine species: adspectu pulcro, oculis non magnis, pronis in venerem, nigris, superciliis conductis, hilaribus, natantibus. Sunt autem tenues corpore . . . . . capillo pulcre composito, ampla fronte, naso prominente. Iidem natura: dociles, modici, cogitabundi, iocosi, prudentes, tardiloqui, multa volventes secum, ad gratiam exorabiles, studiose omnia observantes et dociles, quae didicerunt tenent, modici, omnia pro nihilo habentes, amatores puerorum, sociabiles, animo magno, contemptores, negotiorum non gerentes, doctrinae avidi, amabiliores in alienis quam in suis, ad amicitiam utiles.

21. Sub Libra species: capillo tenui prominente, subrufo, sublongo, fronte acuta, crispa, superciliis pulcris, conductis, oculis pulcris, pupillis nigris, auriculis longis, teneris, capite reclinato, ore magno. Iidem natura: intelligentes, deorum colentes, inter se conviciantes, mercatores, laboribus contriti,

ὀφρύσι συντεθειμέναις] *ὀρθοῖς, συντεθειμένοις* C M 70. *εἰσὶ τῇ ἡλικίᾳ σύμμετροι, καὶ τὸ πᾶν σῶμα τέλειον καὶ ὄρθριον (ὄρθιον?) ἔχουσι* Cod. 2494 M 71. *καλῶ* C 73. 74. *εὐπαραίτητοι* Roeperus: *ὡς οἱ παρατηρηταὶ* C M 77. *ἄλλοις*] *ἀλλοτρίοις* M 81. *εὐόφθαλμοι* Cod. 2494 *μελαίναις?* 82. *στόματι — νοοῦντες* haec in margine M

ταί, πορισμὸν μὴ κατέχοντες, ψεῦσται, μὴ φιλοῦντες ἐν πράγμασι νοήσει, ἀληθεῖς, ἐλευθερόγλωσσοι, ἀγαθοποιοί, ἀμαθεῖς, ψεῦσται, συνήθεις, ἀμελεῖς· [τούτοις οὐκ ἐμποιεῖ ἀδίκως ποιῆσαι μέρος.] Εἰσὶ καταφρονηταί, καταγελασταί, ὀξεῖς, ἔνδοξοι, ἀκουσταί, καὶ τούτοις οὐδὲν προχωρεῖ, πρὸς φιλίαν ὠφέλιμοι.

22. Ἐν Σκορπίῳ τύπος· προσώπῳ παρθενικῷ, εὐμόρφῳ, ἁλυκῷ, τριχὶ ὑπομέλανι, ὀφθαλμοῖς εὐμόρφοις, μετώπῳ οὐ πλατεῖ καὶ ῥώθωνι ὀξεῖ, ὠτίοις συντεθειμένοις μικροῖς, μετώπῳ ῥυσῷ, ὀφρύσι στεναῖς, μήλοις καθειλκυσμένοις· οἱ αὐτοὶ φύσεως· δόλιοι, κατεστραμμένοι, ψεῦσται, ἴδια βουλεύματα μηδενὶ ἀνατιθέμενοι, διπλῇ ψυχῇ, κακοποιοί, ἐξουθενηταί, μοιχείας ἔνοχοι, εὐφυεῖς, εὐμαθεῖς, εἰς φιλίαν ἄχρηστοι.|

23. Ἐν Τοξότῃ τύπος· μήκει μεγάλῳ, μετώπῳ τετραγώνῳ, ὀφρύσι μεσταῖς, συγκρατουμέναις, τριχῶν τεθειμένη προαλεῖ, ὑπόπυρροι. Οἱ αὐτοὶ φύσεως· προσχαρεῖς ὡς οἱ πεπαιδευμένοι, ἁπλοῖ, ἀγαθοποιοί, παιδεράσται, συνήθεις, κοπιαταί, φιληταί, φιλούμενοι, ἐν οἴνῳ ἱλαροί, καθάριοι, ὀργίλοι, ἀμελεῖς, κακοί, εἰς φιλίαν ἄχρηστοι, καταφρονηταί, ψυχαῖς μεγάλαις, ὑβριστικοί, ὑπόδουλοι, εἰς κοινωνίαν εὔχρηστοι.

24. Ἐν Αἰγοκέρῳ τύπος· σώματι ὑποπύρρῳ, τριχὶ ὑποπολιῷ προαλεῖ, στόματι στρογγύλῳ, ὀφθαλμοῖς ὡς ἀετοῦ, ὀφρύσι συντεθειμέναις, μετώπῳ ἠνοιγμένῳ, ὑποφάλακροι, τὰ ὑποκάτω μέρη τοῦ σώματος ἰσχυρότερα. Οἱ αὐτοὶ φύσεως· φιλόσοφοι, καταφρονηταὶ καὶ τὸ παρὸν καταγελασταί, ὀργίλοι, συγχωρηταί, καλοί, ἀγαθοποιοί, πράγματος μουσικοῦ φιληταί, ἐν οἴνῳ ὀργίλοι, γελοῖοι, συνήθεις, λάλοι, παιδεράσται, ἱλαροί, προσφιλεῖς, φιληταί, ἐρεθίζοντες, εἰς κοινωνίαν εὔχρηστοι.

25. Ἐν Ὑδροχόῳ τύπος· μεγέθει τετράγωνος, στόματι ὀλίγῳ, ὀφθαλμοῖς ὀξέσι, λεπτοῖς, γοργοῖς, ἐπιτάκτης, ἀχάριστος, ὀξύς, εὐχερῶς εὑρίσκων, πρὸς φιλίαν εὔχρηστος καὶ πρὸς κοινωνίαν. Ἔτι ἐξ ὑγρῶν πραγμάτων πορίζουσι τοὺς πορισμοὺς ἀπόλλουσιν. Οἱ αὐτοὶ φύσεως· σιγηροί, αἰσχυντηροί, συνήθεις, μοιχοί, σκνιφοί, πράγμασι ποιούμενοι, θορυβιασταί,

85. νοήσει] πονῆσαι? M 85. 86. διαλαλοῦντες ψευδῆ πιστευθήσονται Cod 2494 86. 87. τούτοις — μέρος uncis inclusit M 87. καταγέλαστοι C 88. ὠτακουσταί? M 90. ὑπομελαγχρίζοντες Cod. 2494 92. καθελκυσμένοις C 96. εἰσὶ τετράγωνοι Cod 2494 97. μεσταῖς] An μέσαις? R. Scottus τριχῶν τεθειμένη] τριχὶ συντεθει-

opum conquisitarum non tenaces, mendaces, in negotiis non libenter volutati, veraces, liberi oris, benefici, a litteris alieni, mendaces, sociabiles, suorum negligentes . . . . Sunt contemptores, derisores, acres, illustres, auscultatores, nec quidquam his procedit, ad amicitiam utiles.

22. Sub Scorpio species: facie virginali, speciosa, salsa, capillo subnigro, oculis speciosis, fronte non ampla et naso acuto, auriculis conductis exiguis, fronte crispa, superciliis angustis, genis deductis. Iidem natura: astuti, intenti, mendaces, sua consilia cum nemine communicantes, duplici anima, malefici, pro nihilo omnia habentes, adulterio constricti, natura habiles, dociles, ad amicitiam inutiles.

23. Sub Sagittario species: magnitudine magna, fronte quadrata, superciliis modicis . . . ., capillo composito prominenti, subrufi. Iidem natura: gratiosi utpote litteris exculti, simplices, benefici, puerorum amatores, sociabiles, labore contriti, amatores, amati, in vino hilares, mundi, iracundi, incuriosi, pravi, ad amicitiam inutiles, contemptores, animis magnis, iniuriosi, subservi, ad communionem utiles.

24. Sub Capricorno species: corpore subrufo, capillo subcano prominenti, ore rotundo, oculis tanquam aquilinis, superciliis compositis, fronte aperta, subcalvi, inferioribus partibus corporis infirmioribus. Iidem natura: philosophi, contemptores rerumque praesentium irrisores, iracundi, concessores, probi, benefici, rerum musicarum amantes, in vino iracundi, ludicri, sociabiles, garruli, puerorum amatores, iucundi, concinni, amatores, irritantes, ad communionem utiles.

25. Sub Aquario species: magnitudine quadratus, ore exiguo, oculis acribus tenuibus torvis, imperiosus, insuavis, acer, facile reperiens, ad amicitiam utilis et ad communionem . . . . Iidem natura: taciturni, verecundi, sociabiles, adulteri, sordidi, ...

μένη M 4. 5. *ὕπο πολιᾶ προάλεις* C: *ὑποπολιᾶ προάλεις* M 7. *ἰσχυρότεροι* M 12. *στόματι*] *σώματι* C M 15. *ὑγρῶν*] *ἀπόρων* R. Scottus 16. *ἀπόλλουσιν*] *καὶ ἀπολλύουσιν* M *αἰσχυντηλοί?* M 17. *πράγμασι ποιούμενοι, θορυβιασταί,*] *πραγματικοί, εὐμενεῖς, οὐ βιασταί* R. Scottus: *πράγμασι πολιούμενοι, θορυβασταί* M

καθάριοι, εὐφυεῖς, καλοί, ὀφρύσι μεγάλαις· πολλάκις ἐν λεπτοῖς πράγμασι γεννῶνται καὶ δίφρων πραγματείαν γυμνά|ζουσι. τινὶ ἂν καλῶς ποιήσωσιν, οὐδεὶς αὐτοῖς χάριτας ἀποδιδοῖ.

26. *Ἐν Ἰχθύσι τύπος· μήκει μέσῳ, ὡς ἰχθύες μετώπῳ ὀξεῖ, τριχὶ δασείᾳ· πολλάκις πολιοὶ ταχέως γίνονται. Οἱ αὐτοὶ φύσεως· ψυχῇ μεγάλῃ, ἁπλοῖ, ὀργίλοι, φειδωλοί, λάλοι, πρώτῃ ἡλικίᾳ ἔσονται ὑπνωτικοί, δι᾽ ἑαυτῶν πραγματείαν πρᾶξαι θέλουσιν, ἔνδοξοι, τολμηροί, ζηλωτικοί, κατήγοροι, τόπον ἀλλάσσοντες, φιληταί, ὀρχησταί, εἰς φιλίαν ὠφέλιμοι.*

27. *Ἐπεὶ καὶ τούτων τὴν θαυμαστὴν σοφίαν ἐξεθέμεθα τήν τε πολυμέριμνον αὐτῶν δι᾽ ἐπινοίας μαντικὴν οὐκ ἀπεκρύψαμεν, οὐδὲ ἐν οἷς σφαλλόμενοι ματαιάζουσι σιωπήσομεν. Ἄστρων γὰρ ὀνόμασιν εἴδη καὶ φύσεις ἀνθρώπων παραβάλλοντες πῶς ἠσθένησαν! τὰ μὲν γὰρ ἄστρα ἴσμεν τοὺς ἀπ᾽ ἀρχῆς ὀνομάσαντας ἰδίαν κατ᾽ ἔννοιαν ὀνόμασι κεκληκέναι πρὸς τὸ εὔσημα καὶ εὐεπίγνωστα τυγχάνειν. Τίς γὰρ τούτων ὁμοιότης πρὸς τὴν τῶν ζῳδίων εἰκόνα, ἢ τίς ὁμοία φύσις πράξεώς τε καὶ ἐνεργείας, ἵνα τις τὸν ἐν Λέοντι φάσκῃ θυμικόν, τὸν δὲ ἐν Παρθένῳ μέτριον ἢ ἐν Καρκίνῳ κακόν, τοὺς δὲ ἐν . . . .*

28. . . . . . *λαβὼν καὶ γράψαι τὸν πυνθανόμενον ἀξιοῖ τί ἂν πυθέσθαι τῶν δαιμόνων θέλῃ [ὕδατι] μόνον. Εἶτα συμπτύξας τὸν χάρτην τῷ παιδὶ δοὺς ἀποπέμπει καυθησόμενον, ἵν᾽ οἴχ[ηται φέρ]ων ὁ καπνὸς τοῖς δαίμοσι τὰ γράμματα· τοῦ δὲ τὸ κελευσθὲν πράξον|τος πρῶτα μὲν ἀφαιρεῖ τοῦ χάρτου μοίρας ἴσας· πλείονας δέ τινας σκήπτεται ἐγγράφειν ἑβραϊκοῖς γράμμασι δαίμονας, εἶτα μάγων Αἰγυπτίων θύσας τὸ καλούμενον κῦφι θυμίαμα ταῦτα μὲν ἐπαιωρήσας κατὰ τοῦ θυμιάματος φέρει· ὃ δ᾽ ἔτυχε γράψας ὁ πυνθανόμενος θεὶς κατὰ τῶν ἀνθράκων ἔκαυ[σεν], εἶτα θεοφορεῖσθαι δοκῶν, εἰσπεσὼν τῷ μυχῷ μέγα καὶ ἀπηχὲς κέκραγε καὶ πᾶσιν ἀσύνετον· . . . [π]ολὺ δὲ πάντας τοὺς παρόντας . . . . . καὶ τὸν φρῦν*

19. *γεννῶνται*] *γίνονται* R. Scottus *δίφρων*] *διάφορον* R. Scottus 24. *τῇ πρώτῃ?* 28. *ἐπιπνοίας* Roeperus 29. *σιωπήσομαι* C M 30. *παραβαλόντες* M 31. 32. *νομίσαντας* C M 32. *ἰδίαν κατ᾽ ἔννοιαν*] *ἰδεῖν κατανοεῖν* C M, qui uncinis inclusit: *ἰδέαν κατανοεῖν* Roeperus coll. Sext. Emp. adv. math. 5, 97 37. Haec in marg. fol. 13 r. M 38. *ὕδατι* Roeperus: *αὐτὸν* M: C h. l. evani-

mundi, pulcri, superciliis magnis
sicui bene fecerint, nemo iis gratias reddit.

26. Sub Piscibus species: statura media, tanquam pisces fronte acuta, capillo denso; saepe canescunt celeriter. Iidem natura: animo magno, simplices, iracundi, parci, garruli, prima aetate erunt somnolenti, per sese res gerere volunt, gloriae avidi, audaces, aemulatores, accusatores, loci mutantes, amatores, saltatores, ad amicitiam utiles.

27. Postquam et horum admirabilem sapientiam exposuimus curiosamque per mirificam sollertiam vaticinandi artem latere non sivimus, ne ea quidem, in quibus lapsi nugantur, silebimus. Siderum enim nominibus figuras et naturas hominum comparantes quam nihil valent! Sidera enim novimus eos, qui a principio nominaverunt, ex sua mente nominibus appellavisse, ut facilia significatu et cognitu essent. Quae enim horum similitudo ad imaginem animalium, aut quae similis natura agendi atque operandi, ut quis eum, qui est sub Leone, dicat iracundum, qui autem sub Virgine, modicum, aut sub Cancro malum, eos autem, qui sub

28. scribere iubet sciscitantem quid ex daemonibus sciscitari velit aqua solum. Deinde complicatam chartam puero tradens mittit igni cremandam, ut auferat fumus ad daemones litteras. Is autem dum imperatum exsequitur, magus primum decerpit chartae pares partes, plures autem quosdam simulat se inscribere Hebraïcis litteris daemones, deinde suffimento magorum Aegyptiorum, quod vocatur cyphi, sacrificato, haec sublata suffimento admovet. Quod autem scripsit qui sciscitatur positum in carbonibus cremavit. Deinde spiritu concitari divino visus, irruens in angulum domus, magnum et dissonum vociferatur et omnibus incognitum

dus 39. *συμπτύξας*] *συμψήσας* C M 40. *οἴχηται φέρων* Roeperus et Scottus: *οἰχ . . . . ων* C M, qui susp. *ὀχῇ ἀναβαίνων* 41. *πράξοντος* Roeperus: *πράξαντος* C M 43. *εἶτα*] *εἰς τὰ* C *Αἰγυπτίων ᾗ* C 46. *ἔκαυ[σεν]* Uncis inclusa supplevit M: *ὁ παῖς* et deinde l. 48 *κελεύει* pro *πολὺ* Roeperus

7. Haec sunt multorum admodum commentorum capita, quae dicit tradidisse Mariamnae Iacobum domini fratrem. Ne igitur diffament neque Mariamnam posthac impii illi, neque Iacobum, neque salvatorem ipsum, veniamus ad mysteria (unde illis hic mythus), si placet, et barbarica et graeca, et videamus, ut abscondita et arcana omnium simul congerentes mysteria ethnicorum, diffamantes Christum, decipiant illos, qui haec ignorant orgia ethnicorum. Quum enim argumentum illis sit homo Adamas et dicant scriptum esse de eo: *Generationem illius quis enarrabit?* discite, quomodo singulatim ab ethnicis inexploratam et aequivocam hominis generationem mutuati affingant Christo. *Terra autem*, aiunt Graeci, *hominem edidit prima pulchrum ferens decus*, non stirpium sensu carentium neque animalium ratione vacuorum, sed cicuris animantis et dei amantis volens mater fieri. *Arduum autem*, ait, *reperire, utrum Boeotis Alalcomeneus super lacum Cephisidem surrexerit primus hominum, an Curetes fuerint Idaei, divinum genus,*

εἴτε Βοιωτοῖσιν Ἀλαλκομενεὺς λίμνας ὕπερ Καφισίδος
πρῶτος ἀνθρώπων ἀνέσχεν,
εἴτε Κουρῆτες ἔσαν γένος Ἰδαῖοι θεῶν,
ἢ Φρύγιοι Κορύβαντες,
οὓς Ἅλιος πρώτους ἐπεῖδεν δενδροφυεῖς ἀναβλαστόντας,
εἴτ' Ἀρκαδία προσεληναῖον Πελασγόν,
ἢ Ῥαρίας Δίαυλον οἰκιστῆρ' Ἐλευσίς,
Ἀντιστρ. ἢ καλλίπαιδα Λᾶμνος ἀρρήτων ἐτέκνωσε Κάβειρον ὀργίων,
εἴτε Πελλάνα Φλεγραῖον Ἀλκυονῆα Γιγάντων πρεσβύτατον
. . . .
Επῳδ. . . . . φαντὶ δὲ πρωτόγονον Γαράμαντα
Λίβυες αὐχμηρῶν πεδίων ἀναδύντα γλυκείας Διὸς ἀπάρξασθαι βαλάνου.
Νεῖλος δὲ . . . .
σαρκούμεν' ὑγρᾷ θερμότατι ζωὰ σώματ' ἀναδιδοῖ.

Ceterum argumentum poetae docte illustrat Prellerus in commentatione: *Die vorstellungen der alten, besonders der Griechen, von dem ursprunge und den ältesten schicksalen des menschlichen geschlechts.* Philol. VIII, 1 sqq. 94. 95. *Ἀλκομενεύς* C 96. *ἦσαν Ἰδαῖοι*] *ἢ σανίδαι οἱ* C

ἢ Φρύγιοι Κορύβαντες, οὓς πρώτους ἥλιος ἔπιδε δενδροφυεῖς ἀναβλαστάνοντας, εἴτε προσεληναῖον Ἀρκαδία Πελασγόν, ἢ Ῥαρίας οἰκήτορα Δίαυλον Ἐλευσίν, ἢ Λῆμνος καλλίπαιδα Κάβιρον ἀρρήτων ἐτέκνωσεν ὀργιασμῶν, εἴτε Φελλήνη Φλεγραῖον Ἀλκυονέα, πρεσβύτατον Γιγάντων. Λίβυες δὲ Ἰάρβαντα φασὶ πρωτόγονον αὐχμηρῶν ἀναδύντα πεδίων γλυκείας ἀπάρξασθαι Διὸς βαλάνου. Αἰγυπτίων δὲ Νεῖλος ἰλὺν ἐπιλιπαίνων μέχρι σήμερον ζωογονῶν, φησίν, ὑγρᾷ σαρκούμενα θερμότητι ζωὰ σώματα ἀναδίδωσιν. Ἀσσύριοι δὲ Ὠαννὴν ἰχθυοφάγον γενέσθαι παρ' αὐτοῖς, Χαλδαῖοι δὲ τὸν Ἀδάμ. Καὶ τοῦτον εἶναι φάσκουσι τὸν ἄνθρωπον, ὃν ἀνέδωκεν ἡ γῆ μόνον, κεῖσθαι δὲ αὐτὸν ἄπνουν, ἀκίνητον, ἀσάλευτον, ὡς ἀνδριάντα, εἰκόνα ὑπάρχοντα ἐκείνου τοῦ ἄνω, τοῦ ὑμνουμένου Ἀδάμαντος ἀνθρώπου, γενόμενον ὑπὸ δυνάμεων τῶν πολλῶν, περὶ ὧν ὁ κατὰ μέρος λόγος ἐστὶ πολύς. Ἵν' οὖν τελέως ᾖ κεκρατημένος ὁ μέγας ἄνθρωπος ἄνωθεν, ἀφ' οὗ, καθὼς λέγουσι, πᾶσα πατριὰ ὀνομαζομένη ἐπὶ γῆς καὶ ἐν τοῖς οὐρανοῖς συνέστηκεν, ἐδόθη αὐτῷ καὶ ψυχή, ἵνα διὰ τῆς ψυχῆς πάσχῃ καὶ κολάζηται καταδουλούμενον τὸ πλάσμα τοῦ μεγάλου καὶ καλλίστου καὶ τελείου ἀνθρώπου· καὶ γὰρ οὕτως αὐτὸν καλοῦσι. Ζητοῦσιν οὖν αὖ πάλιν τίς ἐστιν ἡ ψυχὴ καὶ πόθεν καὶ ποταπὴ τὴν φύσιν, ἵν' ἐλθοῦσα εἰς τὸν ἄνθρωπον καὶ κινήσασα καταδουλώσῃ καὶ κο|λάσῃ τὸ πλάσμα τοῦ τελείου ἀνθρώπου· ζητοῦσι δὲ οὐκ ἀπὸ τῶν γραφῶν, ἀλλὰ καὶ τοῦτο ἀπὸ τῶν μυστικῶν. Εἶναι δὲ φασὶ τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε οὐδὲ πάθους ἑνός, ἵνα τις αὐτὴν ἢ τύπῳ εἴπῃ ἢ οὐσίᾳ καταλήψεται. Τὰς δὲ ἐξαλλαγὰς ταύτας τὰς ποικίλας ἐν τῷ ἐπιγραφομένῳ κατ' Αἰγυπτίους εὐαγγελίῳ κειμένας ἔχουσιν. Ἀποροῦσιν οὖν, καθάπερ οἱ ἄλλοι πάντες τῶν ἐθνῶν ἄνθρωποι, πότερόν ποτε ἐκ τοῦ προόντος ἐστίν, [ἢ] ἐκ τοῦ αὐτογενοῦς, ἢ ἐκ τοῦ ἐκκεχυμένου χάους. Καὶ πρῶτον ἐπὶ τὰς Ἀσσυρίων καταφεύγουσι τελετὰς τὴν τριχῆ διαίρεσιν τοῦ ἀν-

97. πρῶτος C ἔφιδε pr C 98. πρὸς σεληναῖον Ἀρκάδα διὰ Πελασγὸν C 99. ἢ Ῥαρίας G. Hermannus: ἠραρυίας C δίαυλον Ἐλ. ἡ Λῆμνος C 2. ὀργιασμῷ C: ὀργίων Hermannus 3. Λί-

Phrygiive Corybantes, quos primos sol adspexerit arborum instar succrescentes, an proselenaeum Arcadia Pelasgum, an Rariae incolam Diaulum Eleusin, an Lemnus Cabirum procreaverit parentem pulchrorum arcanorum orgiorum, an Pallene Phlegraeum Alcyoneum, antiquissimum Gigantum. Libyes autem Iarbantem ferunt primigenium ex limosis exsurgentem campis vesci coepisse a dulci Iovis quercu. Aegyptiorum autem Nilus limum infoetans ad hunc diem, inquit, *animantes gignens, humido carnata vapore viva corpora edit.* Assyrii autem Oannen piscivorum ortum esse apud se, Chaldaei autem Adamum. Et hunc dicunt fuisse hominem, quem terra ediderit solum; iacere autem eum inanimum, immotum, inconcussum ut statuam, imaginem illius, qui supra est, celebrati Adamantis hominis, factum a potestatibus multis, de quibus singulis longa extat fabula. Ut igitur penitus in potestatem redigatur magnus homo qui supra est, *a quo*, sicuti dicunt, *omnis paternitas nominata in terra et in caelis* constituta est, data est ei etiam anima, ut per animam patiatur et puniatur in servitutem redactum plasma magni et pulcherrimi et perfecti hominis; etenim ita eum appellant. Quaerunt igitur rursus quae sit anima et unde et cuias origine, ut, ubi venerit in hominem et moverit, in servitutem redigat et puniat plasma perfecti hominis. Quaerunt autem non a scripturis, sed etiam hoc a mysticis. Esse autem dicunt animam difficilem inventu admodum et comprehensu arduam. Non enim manet in eodem habitu eademque figura usque neque affectione una, ut quis eam aut signo monstret aut re et facto assequatur. Mutationes autem has varias in evangelio secundum Aegyptios scripto comprehensas habent. Ambigunt igitur sicuti reliqui omnes homines ethnicorum, utrum tandem ex Proonte sit, an ex Autogene, aut ex

βες δὲ Τάρβαντα C 4. 5. *πεδίω* C 6. *ἰλὺν*] *ὕλην* C 7. *ὑργᾶς ἀρκούμενα* C *ζωὰ σώματα*] *ζῷα καὶ σῶμα* C 8. *'Ιαννὴν* C M; cf. Berosi Chaldaeorum Historiae quae supersunt ed. Richter. p. 48. 49 11. *ἀνδριάντος* C 15. *ὁ ἄνωθεν?* 15. 16. Cf. Ephes. 3, 15: *ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται* 20. *αὖ*] *αὐτον* C M, qui susp. *αὐτοί* 21. 22. *νικήσασα* Roeperus; sed cfr. supra l. 11 *ἀκίνητον* 30. *ἢ* om C 31. *αὐτογενοῦς* Bunsenius, *Hippolytus and his age* 1854 T. I p. 346: *αὐτοῦ γένους* C M

θρώπου κατανοοῦντες· πρῶτοι γὰρ Ἀσσύριοι τὴν ψυχὴν τριμερῆ νομίζουσιν εἶναι καὶ μίαν. Ψυχῆς γάρ, φασί, πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται· ἔστι γὰρ ψυχὴ πάντων τῶν γινομένων αἰτία· πάντα ὅσα τρέφεται, φησί, καὶ αὔξει, ψυχῆς δεῖται. Οὐδὲν γὰρ οὔτε τροφῆς, φησίν, οὔτε αὐξήσεως οἷόν τ' ἐστιν ἐπιτυχεῖν ψυχῆς μὴ παρούσης. Καὶ γὰρ οἱ λίθοι, φησίν, εἰσὶν ἔμψυχοι· ἔχουσι γὰρ τὸ αὐξητικόν· αὔξησις δὲ οὐκ ἄν ποτε γένοιτο χωρὶς τροφῆς· κατὰ προσθήκην γὰρ αὔξει τὰ αὐξανόμενα· ἡ δὲ προσθήκη τροφὴ τοῦ τρεφομένου. Πᾶσα οὖν φύσις ἐπουρανίων, φησί, καὶ ἐπιγείων καὶ καταχθονίων ψυχῆς ὀρέγεται. Καλοῦσι δὲ Ἀσσύριοι τὸ τοιοῦτον Ἄδωνιν ἢ Ἐνδυμίωνα· καὶ ὅταν μὲν Ἄδωνις καλῆται, Ἀφροδίτη, φησίν, ἐρᾷ καὶ ἐπιθυμεῖ τῆς ψυχῆς τοῦ τοιούτου ὀνόματος. Ἀφροδίτη δὲ ἡ γένεσις ἐστὶ κατ' αὐτούς. Ὅταν δὲ ἡ Περσεφόνη καὶ ἡ Κόρη | ἐρᾷ τοῦ Ἀδώνιδος, θνητή, φησί, τις τῆς Ἀφροδίτης κεχωρισμένη [τῶν γενέσεως] ἐστὶν ἡ ψυχή. Ἐὰν δὲ ἡ Σελήνη Ἐνδυμίωνος εἰς ἐπιθυμίαν ἔλθῃ καὶ ἔρωτα μορφῆς, ἡ τῶν ὑψηλοτέρων, φησί, φύσις προσδεῖται καὶ ψυχῆς. Ἐὰν δέ, φησίν, ἡ μήτηρ τῶν θεῶν ἀποκόψῃ τὸν Ἄττιν καὶ αὐτὴ τοῦτον ἔχουσα ἐρώμενον, ἡ τῶν ὑπερκοσμίων, φησί, καὶ αἰωνίων ἄνω μακαρία φύσις τὴν ἀρρενικὴν δύναμιν τῆς ψυχῆς ἀνακαλεῖται πρὸς αὑτήν. Ἔστι γάρ, φησίν, ἀρσενόθηλυς ὁ ἄνθρωπος. Κατὰ τοῦτον οὖν αὐτοῖς τὸν λόγον πάνυ πονηρὸν καὶ κεκωλυμένον κατὰ τὴν διδασκαλίαν ἡ γυναικὸς πρὸς ἄνδρα δεδειγμένη καθέστηκεν ὁμιλία. Ἀπεκόπη γάρ, φησίν, ὁ Ἄττις, τουτέστιν ἀπὸ τῶν χοϊκῶν τῆς κτίσεως κάτωθεν μερῶν, καὶ ἐπὶ τὴν αἰωνίαν ἄνω μετελήλυθεν οὐσίαν, ὅπου, φησίν, οὐκ ἔστιν οὔτε θῆλυ οὔτε ἄρσεν, ἀλλὰ καινὴ κτίσις, καινὸς ἄνθρωπος, ὅς ἐστιν ἀρσενόθηλυς. Ποῦ δὲ ἄνω λέγουσι, κατὰ τὸν οἰκεῖον ἐλθὼν δείξω τόπον. Μαρτυρεῖν δέ φασιν αὐτῶν τῷ λόγῳ οὐχ ἁπλῶς μόνην τὴν Ῥέαν, ἀλλὰ γὰρ ὡς ἔπος εἰπεῖν ὅλην τὴν κτίσιν· καὶ τοῦτο εἶναι τὸ λεγόμενον ὑπὸ τοῦ λόγου διασαφοῦσι. Τὰ

34. Ψυχὴ C M. Tu cfr. l. 42—44 et p. 117, 54—56 ed. Oxon.; *Οὗτος, φησίν, ἐστὶν ὁ πολυώνυμος μυριόμματος ἀκατάληπτος, οὗ πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται.* 34. *φασὶ*] *πᾶσι* C 37. *οἷόν ἐστιν* C 44. *ἐνδημίωνα* C Post *Ἐνδυμίωνα* excidisse videtur *ἢ Ἄττιν*, cfr. infra lin. 50 sqq. *καλεῖται* C *Ἀφροδίτης* C 46. *καὶ*] *ἢ*? 48. Fort. leg. *κεχωρισμένη* [*ἤγουν γενέσεως*] *ἐστὶν* — Vocabula duo de glossa marginali videntur il-

effuso Chao. Et primum ad Assyriorum confugiunt mysteria, tripartitam divisionem hominis considerantes. Primi enim Assyrii animam tripartitam censent et unam. Animae enim omnis natura, alia autem aliter cupiens est. Est enim anima omnium quae fiunt causa; omnia quaecunque nutriuntur, inquit, atque augescunt, anima opus habent. Nihil enim neque nutrimentum, inquit, neque augmentum accipere potest, si absit anima. Etenim et lapides, inquit, sunt animati, habent enim vim augescendi, auctus autem non unquam evenerit sine nutrimento. Per accessionem enim augescunt quae augescunt, accessio autem nutrimentum est eorum quae nutriuntur. Omnis igitur natura caelestium, inquit, et terrenorum et inferorum cupiens est animae. Vocant autem Assyrii tale Adonin aut Endymionem aut Attin, et sicubi Adonis vocatur, Venus, inquit, amat et concupiscit animam talis nominis. Venus autem generatio est secundum eos. Sicubi autem Proserpina sive Cora amat Adonin, moritura quaedam, inquit, a Venere seiuncta (i. e. a generatione) est anima. Sin vero Luna in Endymionis cupidinem incidit et amorem formae, sublimiorum, inquit, natura et ipsa concupiscit animam. Sin vero, inquit, mater deorum exsecat Attin, et ipsa hunc habens amasium, supermundanorum et aeternorum supra beata natura masculam potestatem animae revocat ad se. Est enim, inquit, masfemina homo. Ex hac igitur illis ratione valde turpe et prohibitum ex doctrina mulieris cum viro demonstrata est consuetudo. Exsectus est enim, inquit, Attis, hoc est a choicis mundi infra partibus et ad aeternam supra pervenit naturam, ubi, inquit, neque muliebre extat neque virile, sed nova creatura, novus homo, qui est masfemina. Ubi autem *supra* dicant, suo loco ostendam. Attestari autem ajunt ipsorum narrationem non unam modo Rheam, sed paene universam creaturam, et hoc esse quod dicatur a Logo declarant: *Invisibilia enim ipsius*

lata, ad vocem *Ἀφροδίτης* pertinentia M 50. *φύσις*] *κτίσις* C M *καὶ αὐτὴ ψυχῆς* susp. M 51. *Ἆπιν* C 54. *ἀρενόθηλυς* pr C: *ἀρρενόθηλυς* corr C M 55. *οὖν* add corr C *μεμολυσμένον* C. F. Hermannus 59. *οὐδὲ . . . οὐδὲ* C M 60. *ὅ* C M 60. 61. Cf. Gal. 3, 28; 6, 15 M et Clem. Rom. Ep. II, 12 *Ὅταν ἔσται τὰ δύο ἓν καὶ τὸ ἔξω ὡς τὸ ἔσω καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, οὔτε ἄρσεν οὔτε θῆλυ* Bunsenius l. l.

γὰρ ἀόρατα αὐτοῦ ἀπὸ τῆς κτίσεως | τοῦ κόσμου τοῖς ποιήμασιν αὐτοῦ νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, πρὸς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώμασιν εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. Τί δέ ἐστιν ἡ φυσικὴ κατ' αὐτοὺς χρῆσις, ὕστερον ἐροῦμεν. Ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι (ἀσχημοσύνη δέ ἐστιν ἡ πρώτη καὶ μακαρία κατ' αὐτοὺς ἀσχημάτιστος οὐσία, ἡ πάντων σχημάτων τοῖς σχηματιζομένοις αἰτία) καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. Ἐν γὰρ τούτοις τοῖς λόγοις, οἷς εἴρηκεν ὁ Παῦλος, ὅλον φασὶ συνέχεσθαι τὸ κρύφιον αὐτῶν καὶ ἄρρητον τῆς μακαρίας μυστήριον ἡδονῆς. Ἡ γὰρ ἐπαγγελία τοῦ λουτροῦ οὐκ ἄλλη τίς ἐστι κατ' αὐτούς, ἢ τὸ εἰσαγαγεῖν εἰς τὴν ἀμάραντον ἡδονὴν τὸν λουόμενον κατ' αὐτοὺς ζῶντι ὕδατι καὶ χριόμενον ἀλάλῳ χρίσματι. Οὐ μόνον δ' αὐτῶν ἐπιμαρτυρεῖν φασὶ τῷ λόγῳ τὰ Ἀσσυρίων μυστήρια ἀλλὰ καὶ Φρυγῶν περὶ τὴν τῶν γεγονότων καὶ γινομένων καὶ ἐσομένων ἔτι μακαρίαν κρυβομένην ὁμοῦ καὶ φανερουμένην φύσιν, ἥνπερ φησὶ | τὴν ἐντὸς ἀνθρώπου βασίλειαν οὐρανῶν ζητουμένην, περὶ ἧς διαρρήδην ἐν τῷ κατὰ Θωμᾶν ἐπιγραφομένῳ εὐαγγελίῳ παραδιδόασι λέγοντες οὕτως· ἐμὲ ὁ ζητῶν εὑρήσει ἐν παιδίοις ἀπὸ

65—76. Cf. Rom. 1, 20—26: τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ

a creatura mundi ipsius factis intellecta conspiciuntur, sempiterna quoque ejus virtus et divinitas, ut sint inexcusabiles, quia cum cognovissent deum, non sicut deum glorificaverunt aut gratias egerunt, sed evanuit insipiens cor eorum. Dicentes enim se esse sapientes, stulti facti sunt et mutaverunt gloriam incorruptibilis dei in similitudines imaginis corruptibilis hominis et volucrum et quadrupedum et serpentium. Propter quod etiam tradidit illos deus in passiones ignominiae. Nam feminae eorum immutaverunt naturalem usum in eum usum qui est contra naturam. Quid autem sit naturalis secundum eos usus, postea dicemus. *Similiter autem et masculi relicto naturali usu feminae exarserunt in desideriis suis in vicem, masculi in masculos* ἀσχημοσύνην *operantes* (ἀσχημοσύνη autem est prima et beata secundum eos ἀσχημάτιστος natura, quae est omnium schematum schematizatis causa,) *et mercedem quam oportuit erroris sui in semet ipsis recipientes.* In his enim verbis, quae fecit Paulus, universum dicunt inesse secretum suum et arcanum beatae mysterium voluptatis. Promissio enim lavacri non alia quaedam est secundum illos, quam introducere in perennem voluptatem eum, qui lavatur secundum eos viva aqua et ungitur ineffabili unguento. Non solum autem fidem facere dicunt suae narrationi Assyriorum mysteria, sed etiam Phrygum circa eorum, quae fuerunt, quaeque fiunt, quaeque futura sunt posthac, beatam opertam simul et apertam naturam, quam quidem ait intus in homine quaesitum regnum caelorum, de quo perspicue in evangelio, quod secundum Thomam inscriptum est, tradunt, dicentes ita: *Me qui quaerit inveniet in infantibus a septem annis, ibi enim in*

παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν· διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. 77—80. et 82—84. Cf. Rom. 1, 27. 85. συνέχεσθε corr C 89. ἀλάλῳ M coll. p. 122, 69 ed. Oxon. καὶ χριόμενοι ἐκεῖ ἀλάλῳ χρίσματι: ἄλλῳ C 89. δ' add M ἐπιμαρτύρει pr C 90. ἀλλὰ om C M 92. φησὶν ἐντὸς C 93. Cf. Luc. 17, 21 ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν

ἐτῶν ἑπτά· ἐκεῖ γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ αἰῶνι κρυβόμενος φανεροῦμαι. Τοῦτο δὲ οὐκ ἔστι Χριστοῦ, ἀλλὰ Ἱπποκράτους λέγοντος· ἑπτὰ ἐτῶν παῖς πατρὸς ἥμισυ· ὅθεν οὗτοι τὴν ἀρχέγονον φύσιν τῶν ὅλων ἐν ἀρχεγόνῳ τιθέμενοι σπέρματι, τὸ Ἱπποκράτειον ἀκηκοότες, ὅτι ἔστιν ἥμισυ πατρὸς παιδίον ἑπτὰ ἐτῶν, ἐν τοῖς τέσσαρσι [καὶ δέκα] φασὶν ἔτεσι, κατὰ τὸν Θωμᾶν, εἶναι φανερούμενον. Οὗτος ἐστὶν ὁ ἀπόρρητος αὐτοῖς λόγος καὶ μυστικός. Λέγουσιν οὖν, ὅτι Αἰγύπτιοι, πάντων ἀνθρώπων μετὰ τοὺς Φρύγας ἀρχαιότεροι καθεστῶτες καὶ πᾶσι τοῖς ἄλλοις ἀνθρώποις ὁμολογουμένως τελετὰς καὶ ὄργια θεῶν πάντων ὁμοῦ μεταδόντες πρῶτοι καὶ κατηγγελκότες ἰδέας καὶ ἐνεργείας, ἱερὰ καὶ σεβάσμια καὶ ἀνεξαγόρευτα τοῖς μὴ τετελεσμένοις τὰ Ἴσιδος ἔχουσι μυστήρια· τὰ δ᾽ εἰσὶν οὐκ ἄλλο τι ἢ ἡρπασμένον καὶ ζητούμενον ὑπὸ τῆς ἑπταστόλου καὶ μελανείμονος αἰδοῖον Ὀσίριδος. Ὄσιριν δὲ λέγουσιν ὕδωρ. Ἡ δὲ φύσις ἑπτάστολος, περὶ αὐτὴν ἔχουσα καὶ ἐστολισμένη ἑπτὰ στολὰς αἰ|θερίους (τοὺς πλανήτας γὰρ ἀστέρας οὕτω προσαγορεύουσιν ἀλληγοροῦντες καὶ αἰθερίους καλοῦντες) κατ᾽ αὐτοὺς ἡ μεταβλητὴ γένεσις καὶ ὑπὸ τοῦ ἀρρήτου καὶ ἀνεξεικονίστου καὶ ἀνεννοήτου καὶ ἀμόρφου μεταμορφουμένη κτίσις ἀναδείκνυται· καὶ τοῦτο ἐστὶ τὸ εἰρημένον, φησίν, ἐν τῇ γραφῇ· ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται. Αὗται γὰρ αἱ πτώσεις, φησίν, αἱ τῶν ἄστρων μεταβολαὶ ὑπὸ τοῦ πάντα κινοῦντος κινούμεναι. Λέγουσιν οὖν περὶ τῆς τοῦ σπέρματος οὐσίας, ἥτις ἐστὶ πάντων τῶν γινομένων αἰτία, ὅτι τούτων ἐστὶν οὐδέν, γεννᾷ δὲ καὶ ποιεῖ πάντα τὰ γινόμενα, λέγοντες οὕτως· γίνομαι ὃ θέλω καὶ εἰμὶ ὃ εἰμί, διὰ τοῦτο φημὶ ἀκίνητον εἶναι τὸ πάντα κινοῦν. Μένει γὰρ ὅ ἐστι ποιοῦν τὰ πάντα καὶ οὐδὲν τῶν γινομένων γίνεται. Τοῦτον εἶναι φησὶν ἀγαθὸν μόνον, καὶ περὶ τούτου λελέχθαι τὸ ὑπὸ τοῦ σωτῆρος λεγόμενον· Τί με λέγεις ἀγαθόν; εἷς ἐστὶν ἀγαθός, ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρα-

96. *τεσσαρισκαιδεκάτῳ* C 95—97. Haec neque apud Fabricium neque apud Thilonem inveniuntur. 98. Cf. Littré, *Trad. des Oeuvres d'Hippocrate* t. 1. p. 396 M 2. *καὶ δέκα* om C 3. *φησὶν* C *εἶναι*] *εἰ μὲν* C 4. *λέγουσι γοῦν* C M 5. *μετὰ τοὺς Φρύγας*] Cfr. Herodot. 2, 2 5—8. Cfr. Herodot. 2, 5; Pseudo-Lucian. de dea Syr. §. 2. 5. 6. *καθεστότες* corr C 6. *ὁμολογουμένων* C 7. *μεταδόντες πρῶτοι*] *μετὰ τὸν*

quartodecimo aevo occultus in lucem edar. Hoc autem non est Christi, sed Hippocratis dicentis: *septem annorum puer dimidium patris.* Unde hi primigeniam naturam omnium in primigenio ponentes semine, comperto Hippocrateo illo, septem annorum puerum esse dimidium patris, in quattuordecim aiunt annis secundum Thomam esse in lucem editum. Haec est arcana illis et mystica doctrina. Dicunt igitur Aegyptios, omnium hominum post Phryges antiquissimos, quos cum omnibus reliquis hominibus constet initia et sacra deorum omnium simul communicasse primos et monstrasse species et actiones, sancta et veneranda et ineffabilia non initiatis Isidis habere mysteria. Ea autem non sunt aliud quid quam raptum et quaesitum a septies vestita et atro habitu induta membrum Osiridis. Osirin autem dicunt aquam. Natura autem septies vestita, circa se habens et induta septem vestes aethereas (erraticas enim stellas sic appellant, per allegoriam aethereas vocantes) secundum illos commutabilis generatio et ab ineffabili et ineffigiato et incomprehensibili et informabili transformata creatura ostenditur. Et hoc illud est dictum, inquit, in scriptura: *Septies cadet iustus et surget.* Hi enim casus, inquit, astrorum conversiones ab omnia movente motae. Dicunt igitur de seminis essentia, quae est omnium existentium causa, eam horum esse nihil, generare autem et facere omnia existentia, dicentes sic: *Fio quod volo et sum quod sum, propter hoc dico omnia movens esse immotum. Manet enim quod est, faciens omnia, et nihil existentium fit.* Hunc dicit esse bonum solum, et de hoc dictum esse illud verbum salvatoris: *Quid me dicis bonum? Unus est bonus, pater meus, qui in*

πρῶτον C M 7. 8. *καὶ κατηγγελκότες*] *κατηγγελκότες* C M 8. *ἰδέας*] *καὶ ἰδέας* M 11. *μελανήμονος* C *αἰδοῖον*] *αἰσχύνη* C M, quod casto librario debetur vocem obscenam vitanti, ut in Cod. Thuaneo Martialis eiusmodi in locum vocabulorum substitui solet *monstrum.* 13. *αἰθερίους* Roeperus: *αἰθρίους* C M 14. *αἰθερίους* Roeperus: *αἰθρίους* C M *κατ' αὐτοὺς*] *καθὼς* C M 15. *καὶ ὑπὸ*] *ὑπὸ* C M 16. *ἀνεξεικονίστου*] *ἀνεξιχνιάστου* pr C 18. Cf. Luc. 17, 4 *καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμαρτήσῃ εἰς σὲ καὶ [ἐὰν] ἑπτάκις ἐπιστρέψῃ πρός σε* (sc. *ὁ ἀδελφός σου*) 21. *σπέρματος*] *πνεύματος* C M 27—29. *Τί με — οὐρανοῖς*] Matth. 19, 17; Marc. 10, 18; Luc. 18, 10; cf. Iustin. Mart. dial. c. Tryph. Iud. 101 p. 328 a.

νοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους καὶ βρέχει ἐπὶ ὁσίους καὶ ἁμαρτωλούς. Τίνες δέ εἰσιν οἱ ὅσιοι οἷς βρέχει καὶ οἱ ἁμαρτωλοὶ οἷς ὁ αὐτὸς βρέχει, καὶ τοῦτο μετὰ τῶν ἄλλων ὕστερον ἐροῦμεν. Καὶ τοῦτ' εἶναι τὸ μέγα καὶ κρύφιον τῶν ὅλων καὶ ἄγνωστον μυστήριον παρὰ τοῖς Αἰγυπτίοις κεκαλυμμένον καὶ ἀνακεκαλυμμένον. Ὄσιρις γάρ, φησίν, ἐστὶν ἐν ναῷ πρὸ τῆς Ἴσιδος, οὗ ἕστηκε γυμνὸν τὸ κεκρυμμένον, κάτωθεν ἄνω βλέπον καὶ πάντας αὐτοῦ τοὺς καρποὺς τῶν γινομένων στεφανούμενον· ἑστάναι δὲ οὐ μόνον ἐν | τοῖς ἁγιωτάτοις, πρῶτον ἀγαλμάτων, ναοῖς λέγουσι τὸ τοιοῦτον, ἀλλὰ γὰρ καὶ εἰς τὴν ἁπάντων ἐπίγνωσιν, οἱονεὶ φῶς [οὐχ] ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν ἐπικείμενον, κήρυγμα κηρυσσόμενον ἐπὶ τῶν δωμάτων, ἐν πάσαις ὁδοῖς καὶ πάσαις ἀγυιαῖς καὶ παρ' αὐταῖς ταῖς οἰκίαις ὅρον τινὰ καὶ τέρμα τῆς οἰκίας προτεταγμένον, καὶ τοῦτο εἶναι τὸ ἀγαθὸν ὑπὸ πάντων λεγόμενον· ἀγαθηφόρον γὰρ αὐτὸ καλοῦσιν, ὃ λέγουσιν οὐκ εἰδότες, καὶ τοῦτο Ἕλληνες μυστικὸν ἀπὸ Αἰγυπτίων παραλαβόντες φυλάσσουσι μέχρι σήμερον. Τοὺς γοῦν Ἑρμᾶς, φησί, παρ' αὐτοῖς τοιούτῳ τετιμημένους σχήματι θεωροῦμεν. Κυλλήνιον δὲ διαφερόντως τιμῶντες Λόγιον φασίν. Ὁ γὰρ Ἑρμῆς ἐστι λόγος, ὃς ἑρμηνεὺς ὢν καὶ δημιουργὸς τῶν γεγονότων ὁμοῦ καὶ γινομένων καὶ ἐσομένων παρ' αὐτοῖς τιμώμενος ἕστηκε τοιούτῳ τινὶ κεχαρακτηρισμένος σχήματι, ὅπερ ἐστὶν αἰδοῖον ἀνθρώπου ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ὁρμὴν ἔχον. Καὶ ὅτι οὗτος, τουτέστιν ὁ τοιοῦτος Ἑρμῆς, ψυχαγωγός, φησίν, ἐστὶ καὶ ψυχοπομπὸς καὶ ψυχῶν αἴτιος, οὐδὲ τοὺς ποιητὰς τῶν ἐθνῶν λανθάνει λέγοντας οὕτως·

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων,

οὐ τῶν Πηνελόπης, φησίν, ὦ κακοδαίμονες, μνηστήρων, ἀλλὰ τῶν ἐξυπνισμένων καὶ ἀνεμνησμένων,

ἐξ οἵης τιμῆς [τε] καὶ [ὅσσου] μήκεος ὄλβου, |

29. 30. ὃς — ἁμαρτωλούς] Matth. 5, 45 ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 29. ἀνατελεῖ C 33. καὶ ἄγνωστον] ἄγνωστον C 34. 35. Ὄσιρις] Οὐδεὶς C M: Οὐδὸς R. Scottus; cfr. Plutarch. de Isid. et Osirid. c. 51 p. 371 F: Πανταχοῦ δὲ καὶ ἀνθρωπόμορφον Ὀσίριδος ἄγαλμα δεικνύουσιν, ἐξορθιάζον τῷ αἰδοίῳ, διὰ τὸ γόνιμον καὶ τὸ τρόφιμον. 35. Ἴσιδος]

caelis est, qui oriri iubet solem suum super iustos et iniustos et pluit super sanctos et peccatores. Qui autem sint sancti, quibus pluit, et peccatores, quibus idem pluit, et hoc cum reliquis posthac dicemus. Et hoc esse magnum et absconditum universorum et ignotum mysterium apud Aegyptios velatum et revelatum. Osiris enim, inquit, est in templo ante Isidem, cuius stat nudum pudendum sursum spectans et omnes suos fructus existentium coronatum. Stare autem non solum in sanctissimis primum signorum templis dicunt hoc tale, verum etiam in omnium notitiam, tanquam lumen non sub modio sed super candelabrum positum, praeconium praedicatum in tectis, in omnibus viis et omnibus plateis et ad ipsas aedes, finem quendam et terminum aedium praepositum, et hoc esse bonum ab omnibus dictum. Boniferum enim id vocant, quod dicunt ignorantes, et hoc Graeci mysticum ab Aegyptiis ascitum servant ad hunc diem. Quippe Hermas, inquit, apud eos tali cultos habitu conspicimus. Cyllenium autem eximie colentes Logium dicunt. Hermes est enim Logus, qui interpres et demiurgus eorum, quae facta sunt quaeque fiunt quaeque futura sunt, apud eos cultus stat tali quodam effigiatus habitu, qui quidem est pudendum hominis ab inferioribus ad superiora impetum habens. Et esse hunc, hoc est talem illum Mercurium, animarum ductorem, inquit, et comitem et auctorem, ne poëtas quidem ethnicorum fugit dicentes sic:

Mercurius autem animas Cyllenius evocabat
Virorum procorum,

non Penelopae, inquit, o miseri, procorum, sed expergefactorum et admonitorum,

Ex quali honore et quanta copia beatitatis,

εἰσόδου C M   οὖ] οὐχ C   38. πρῶτον] πρὸ τῶν C M   40. οὐχ om C; cf. Luc. 11, 33; Matth. 5, 15; Marc. 4, 21; Luc. 8, 16. 41. Cf. Matth. 10, 27; Luc. 12, 3.   46. Ἑρμεῖς C M   47. αὐτοὺς C 47. 48. Κυλλήνιοι C M   48—50. λόγον (φησὶ γάρ· Ἑρμῆς ἐστι λόγος ἑρμηνεὺς — γινομένων καὶ ἐσομένων)· C M   51. αἰδοῖον] αἰσχύνη C 52. ἔχων C   56. 57. Hom. Od. 24, 1.   58. φησίν, ὦ] φησὶν οἱ C: φασὶν οἱ M   60. ἐξ οἵης τιμῆς καὶ μὴ καὶ ὡς ὄλβου C; cfr. Empedocl. v. 355 Sturz, v. 390. Stein.

τουτέστιν ἀπὸ τοῦ μακαρίου ἄνωθεν ἀνθρώπου ἢ ἀρχανθρώπου ἢ Ἀδάμαντος, ὡς ἐκείνοις δοκεῖ, κατηνέχθησαν ὧδε εἰς πλάσμα τὸ πήλινον, ἵνα δουλεύσωσι τῷ ταύτης τῆς κτίσεως δημιουργῷ Ἰαλδαβαώθ, θεῷ πυρίνῳ, ἀριθμὸν τετάρτῳ· οὕτως γὰρ τὸν δημιουργὸν καὶ πατέρα τοῦ ἰδικοῦ κόσμου καλοῦσιν·

Ἔχε δὲ ῥάβδον μετὰ χερσὶ
καλήν, χρυσείην, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει.

Οὗτος, φησίν, ἐστὶν ὁ τῆς ζωῆς καὶ τοῦ θανάτου μόνος ἔχων ἐξουσίαν. Περὶ τούτου, φησί, γέγραπται· Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. Ὁ δὲ ποιητής, φησί, κοσμῆσαι βουλόμενος τὸ ἀπερινόητον τῆς μακαρίας φύσεως τοῦ λόγου, οὐ σιδηρᾶν, ἀλλὰ χρυσῆν περιέθηκε τὴν ῥάβδον αὐτῷ. Θέλγει δὲ τὰ ὄμματα τῶν νεκρῶν, φησί, τοὺς δ᾽ αὖτε καί ὑπνώοντας ἐγείρει, τοὺς ἐξυπνισμένους καὶ γεγονότας μνηστῆρας. Περὶ τούτων, φησίν, ἡ γραφὴ λέγει· Ἔγειραι ὁ καθεύδων καὶ ἐξεγέρθητι, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Οὗτός ἐστιν ὁ Χριστός, ὁ ἐν πᾶσι, φησί, τοῖς γενητοῖς υἱὸς ἀνθρώπου κεχαρακτηρισμένος ἀπὸ τοῦ ἀχαρακτηρίστου λόγου. Τοῦτο, φησίν, ἐστὶ τὸ μέγα καὶ ἄρρητον Ἐλευσινίων μυστήριον ὕε κύε· καὶ ὅτι, φησίν, αὐτῷ πάντα ὑποτέτακται, καὶ τοῦτ᾽ ἐστὶ τὸ εἰρημένον· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· ὡς τὸ τὴν ῥάβδον ἄγει κινήσας ὁ Ἑρμῆς, αἱ δὲ τρίζουσαι ἕπονται αἱ ψυχαὶ συνεχῶς οὕτως, ὡς διὰ τῆς εἰκόνος ὁ ποιητὴς ἐπιδέδειχε λέγων· |

ὡς δ᾽ ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ᾽ ἀλλήλῃσιν ἔχονται.

Πέτρης, φησί, τοῦ Ἀδάμαντος λέγει. Οὗτος, φησίν, ἐστὶν ὁ Ἀδάμας ὁ λίθος ὁ ἀκρογωνιαῖος εἰς κεφαλὴν γεγενημένος γωνίας, (ἐν κεφαλῇ γὰρ εἶναι τὸν χαρακτηριστικὸν ἐγκέφαλον τὴν οὐσίαν, ἐξ οὗ πᾶσα πατριὰ χαρακτηρίζεται) ὅν, φησίν, ἐντάσσω ἀδάμαντα εἰς τὰ θεμέλια Σιών· ἀλληγορῶν, φησί, τὸ πλάσμα τοῦ ἀνθρώπου λέγει. Ὁ δὲ ἐντασ-

62. *κατηνέχθησαν* Roeperus: *κατενεχθεισῶν* C M 64. *Ἰαλδαβαώθ*] *ἠσαλδαίῳ* C M *ἀριθμῷ* C M 66. *ἔχει* C; cf. Hom. Od. 24, 2. 68. *οὓς* C 70. 71. Psalm. 2, 9. 74. *φησὶ*] *ὡς*

hoc est a beato desuper homine aut primore homine aut Adamante, ut illis videtur, detrusi sint huc in figmentum luteum, ut serviant huius creaturae demiurgo, Ialdabaoth, deo igneo, numero quarto: ita enim demiurgum et patrem specialis mundi vocant;

Tenebat autem virgam in manibus
Pulchram, auream, qua hominum oculos mulcet
Quorum vult, alios autem et dormientes excitat.

Hic, inquit, est vitae et mortis solus habens potestatem. De hoc, inquit, scriptum est: *Reges illos in virga ferrea.* Poëta autem, inquit, ornare volens incomprehensibile beatae naturae Logi, non ferream, sed auream tribuit virgam ei. Mulcet autem oculos mortuorum, inquit, alios autem et dormientes excitat, somno expergefactos et factos procos (memores). De his, ait, scriptura dicit: *Surge, qui dormis, et exsurge, et illuminabit tibi Christus.* Hic est Christus, in omnibus generatis filius hominis effigiatus ab ineffigiato Logo. Hoc, inquit, est magnum et arcanum Eleusiniorum mysterium *Hye Cye.* Et ei omnia esse subiecta, et hoc est dictum illud: *In omnem terram exiit sonus eorum,* ut illud: *virgam movens ducit Mercurius, illae autem stridentes sequuntur* animae continuo ita, ut per imaginem poëta ostendit dicens:

Ut autem cum vespertiliones in angulo specus divinae
Stridentes volant ubi quis decidit
Ex serie de rupe, et invicem continentur.

De rupe, inquit, de Adamante dicit. Hic, inquit, est Adamas, *lapis summus angularis factus in caput anguli* (insertus in caput genitalis), — in capite enim esse formativum cerebrum essentiam, ex quo omnis paternitas formatur — *quem insero,* inquit, *adamantem in fundamenta Sion;* per figuram, inquit, figmentum hominis dicit. Insertus autem adamas cohibetur den-

φησι C 76. 77. Ephes. 5, 14 *Ἔγειρε* (*Ἔγειραι* ς) *ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός* 79. *λόγος* C 80. *ὕε κε*] Cf. Plut. de Isid. et Os. c. 34 p. 364 82. Rom. 10, 18 83. *ἄγει* om C M Cfr. Hom. Od. 24, 5 *τῇ ῥ' ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο.* 86. Hom. Od. 24, 6 sqq. 87. *τρίζουσι* C *ἐπεὶ καί τις* C 88. *ἀλλήλοισιν* C 90. Cf. Jes. 28, 16 et Psalm. 118, 22. 93. Cf. Jes. 28, 16

σόμενος ἀδάμας ἐστὶν . . . . ὀδόντες, ὡς Ὅμηρος λέγει ἕρκος ὀδόντων, τουτέστι τεῖχος καὶ χαράκωμα, ἐν ᾧ ἐστὶν ὁ ἔσω ἄνθρωπος, ἐκεῖσε ἀποπεπτωκὼς ἀπὸ τοῦ ἀρχανθρώπου ἄνωθεν Ἀδάμαντος, ὁ τμηθεὶς ἄνευ χειρῶν τεμνουσῶν καὶ κατενηνεγμένος εἰς τὸ πλάσμα τῆς λήθης, τὸ χοϊκόν, τὸ ὀστράκινον· καὶ φησὶν ὅτι τετριγυῖαι αὐτῷ ἠκολούθουν αἱ ψυχαί, τῷ λόγῳ,

ὡς αὗται τετριγυῖαι ἅμ' ἤσαν, ἦρχε δ' ἄρα σφιν,
(τουτέστιν ἡγεῖτο,)
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα,

τουτέστι, φησίν, εἰς τὰ πάσης κακίας ἀπηλλαγμένα αἰώνια χωρία. Ποῦ γάρ, φησίν, ἦλθον;

Πὰρ δ' ἴσαν ὠκεανοῦ τε ῥοὰς καὶ λευκάδα πέτρην,
ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων.

Οὗτος, φησίν, ἐστὶν ὠκεανὸς γένεσίς τε θεῶν, γένεσίς τ'| ἀνθρώπων, ἐκ παλιρροίας στρεφόμενος αἰεί, ποτὲ ἄνω ποτὲ κάτω. Ἀλλ' ὅταν, φησί, κάτω ῥέῃ ὁ ὠκεανός, γένεσις ἐστὶν ἀνθρώπων, ὅταν δὲ ἄνω ἐπὶ τὸ τεῖχος καὶ τὸ χαράκωμα καὶ τὴν Λευκάδα πέτρην, γένεσίς ἐστι θεῶν. Τοῦτό ἐστι, φησί, τὸ γεγραμμένον· ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, ἐὰν ἀπὸ τῆς Αἰγύπτου φυγεῖν σπεύδητε καὶ γένησθε πέραν τῆς Ἐρυθρᾶς θαλάσσης εἰς τὴν ἔρημον, τουτέστιν ἀπὸ τῆς κάτω μίξεως ἐπὶ τὴν ἄνω Ἱερουσαλήμ, ἥτις ἐστὶ μήτηρ ζώντων, ἐὰν δὲ πάλιν ἐπιστραφῆτε ἐπὶ τὴν Αἴγυπτον, τουτέστιν ἐπὶ τὴν κάτω μῖξιν, ὡς ἄνθρωποι ἀποθνήσκετε· θνητὴ γάρ, φησί, πᾶσα ἡ κάτω γένεσις, ἀθάνατος δὲ ἡ ἄνω γεννωμένη· γεννᾶται γὰρ ἐξ ὕδατος μόνου καὶ πνεύματος, πνευματικός, οὐ σαρκικός· ὁ δὲ κάτω σαρκικός· τουτέστι, φησί, τὸ γεγραμμένον· Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα ἐστίν. Αὕτη ἐστὶν ἡ κατ' αὐτοὺς πνευματικὴ γένεσις. Οὗτος, φησίν, ἐστὶν ὁ μέγας Ἰορδάνης, ὃν κάτω ῥέοντα καὶ κωλύοντα ἐξελθεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου (ἤγουν ἐκ τῆς κάτω μίξεως· Αἴγυπτος γάρ ἐστι τὸ σῶμα κατ' αὐτοὺς) ἀνέστειλεν Ἰησοῦς καὶ ἐποίησεν ἄνω ῥέειν.

95. Inter ἐστίν et ὀδόντες quaedam excidisse videntur. 95. 96. Hom. Il. 4, 350 et alibi 97. ἐκεῖθεν C M 98. Cf. Daniel. 2, 45 3. ὡς αἱ et ᾔϊσαν Homer. Od. 24, 9 sqq. 8. παρὰ δ' ἔσαν C

tibus, ut Homerus dicit: *sepes dentium,* hoc est murus et munimentum, in quo est interior homo, qui illuc decidit a primore homine supra Adamante, *sectus sine manibus secantibus* et delatus in figmentum oblivionis, choicum, figlinum. Et dicit stridentes animas ipsum sequi, hoc est Logum:

Sic illae stridentes simul ibant, ducebat autem illas
Mercurius mitis (ἀκάκητα) per obscuros tramites,

hoc est, inquit, in loca aeterna ab omni malitia (κακίας) libera. Quo enim, inquit, venerunt?

Praetermeabant autem praeter oceani fluctus et Leucadem petram
Et praeter solis portas et gentem somniorum.

Hic inquit, est oceanus *generatio deorum generatioque hominum,* ex reciproca fluctuatione circumactus semper, mox sursum, mox deorsum. Sed ubi, inquit, deorsum fluit oceanus, generatio est hominum, ubi autem sursum in murum et munimentum et Leucadem petram, generatio est deorum. Hoc, inquit, est scriptum illud: *Ego dixi, dii estis et filii altissimi omnes, ubi ex Aegypto fugere festinabitis et perveneritis trans mare rubrum in desertum,* hoc est ab inferiore mixtione in eam quae sursum est Hierusalem, quae est mater vivorum; *ubi autem rursus revertitis in Aegyptum*, hoc est in inferiorem mixtionem, *ut homines morimini.* Mortalis enim, inquit, omnis inferior generatio, immortalis autem quae sursum generatur; generatur enim ex aqua sola et spiritu spiritualis, non carnalis. Infra autem nascitur carnalis; hoc est, inquit, scriptum illud: *Quod natum est ex carne caro est, et quod natum est ex spiritu spiritus est.* Haec est secundum illos spiritualis generatio. Hic, inquit, est magnus Iordanes, quem deorsum fluentem et impedientem ab exitu filios Israël ex terra Aegyptia (hoc est ex inferiore mixtione; Aegyptus enim est corpus secundum eos) reflexit Iesus et fecit sursum fluere.

9. ἢ παρ' C 10. γένεσίς τε] γένεσις C M Versus videtur conflatus esse ex Hom. Il. 14, 201 Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν et v. 246 Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται. 14. ἐστι] τε C M 15. 16. ἐγὼ — πάντες] Psalm. 82, 6 18. 19. Cf. Galat. 4, 26: ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ [πάντων] ἡμῶν 20. 21. ὡς ἄνθρωποι ἀποθνήσκετε] Psalm. 82, 7 24—26. Ev. Jo. 3, 6. 27—30. Cf. Jos. 3, 7—17. 28. κωλύοντας C

8. Τούτοις καὶ τοῖς τοιούτοις ἑπόμενοι οἱ θαυμασιώτατοι γνωστικοί, ἐφευρεταὶ καινῆς τέχνης γραμματικῆς, τὸν ἑαυτῶν προφήτην Ὅμηρον ταῦτα προφαίνοντα ἀρρήτως δοξάζουσι καὶ τοὺς ἀμυήτους τὰς ἁγίας γραφὰς εἰς τοιαύτας ἐννοίας συνάγοντες ἐνυβρίζουσι. Λέγουσι δέ· ὁ λέγων τὰ πάντα ἐξ ἑνὸς συνεστάναι, πλανᾶται· ὁ | λέγων ἐκ τριῶν, ἀληθεύει καὶ περὶ τῶν ὅλων τὴν ἀπόδειξιν δώσει. Μία γάρ ἐστι, φησίν, ἡ μακαρία φύσις τοῦ μακαρίου ἀνθρώπου τοῦ ἄνω, τοῦ Ἀδάμαντος· μία δὲ ἡ θνητὴ κάτω· μία δὲ ἡ ἀβασίλευτος γενεὰ ἡ ἄνω γενομένη, ὅπου, φησίν, ἐστὶ Μαριὰμ ἡ ζητουμένη καὶ Ἰοθὼρ ὁ μέγας σοφὸς καὶ Σεπφώρα ἡ βλέπουσα καὶ Μωσῆς, οὗ γένεσις οὐκ ἔστιν ἐν Αἰγύπτῳ· γεγόνασι γὰρ αὐτῷ παῖδες ἐν Μαδιάμ, καὶ τοῦτο, φησίν, οὐδὲ τοὺς ποιητὰς λέληθε·

τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.

Δεῖ γάρ, φησί, λαλεῖσθαι τὰ μεγέθη, λαλεῖσθαι δὲ οὕτως ὑπὸ πάντων πανταχῇ, ἵνα ἀκούοντες μὴ ἀκούωσι καὶ βλέποντες μὴ βλέπωσιν. Εἰ μὴ γὰρ ἐλαλεῖτο, φησί, τὰ μεγέθη, ὁ κόσμος συνεστάναι οὐκ ἠδύνατο. Οὗτοί εἰσιν οἱ τρεῖς ὑπέρογκοι λόγοι· καυλακαῦ, σαυλασαῦ, ζεησάρ. Καυλακαῦ τοῦ ἄνω, τοῦ Ἀδάμαντος, σαυλασαῦ τοῦ κάτω θνητοῦ, ζεησὰρ τοῦ ἐπὶ τὰ ἄνω ῥεύσαντος Ἰορδάνου. Οὗτος ἐστί, φησίν, ὁ ἐν πᾶσιν ἀρσενόθηλυς ἄνθρωπος, ὃν οἱ ἀγνοοῦντες Γηρυόνην καλοῦσι τρισώματον, ὡς ἐκ γῆς ῥέοντα Γηρυόνην, κοινῇ δὲ Ἕλληνες ἐπουράνιον μηνὸς κέρας, ὅτι καταμέμιχε καὶ κεκέρακε πάντα πᾶσι. Πάντα γάρ, φησί, δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ὃ δὲ γέγονεν ἐν αὐτῷ ζωή ἐστιν. Αὕτη, φησίν, ἐστὶν ἡ ζωὴ ἡ ἄρρητος γενεὰ τῶν τελείων ἀνθρώπων, ἣ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνώσθη. Τὸ δὲ οὐδέν, ὃ χωρὶς αὐτοῦ γέγονεν, ὁ κόσμος ἰδικός ἐστιν· γέγονεν γὰρ χωρὶς αὐτοῦ ὑπὸ τρίτου καὶ τετάρτου. Τοῦτο, φησίν, ἐστὶ τὸ ποτήριον τὸ κόνδυ, ἐν ᾧ βα-

32. καινῆς] κενῆς C M 40. Ἰοθὼρ ὁ μέγας σοφὸς] Cf. 2. Mos. 18, 14—23 et Cod. pseudepigraph. V. T. ed. J. A. Fabricius ed. alter. Hamburg. 1722 Tom. I p. 855 sqq. 41. Σεπφώρα ἡ βλέπουσα] Cf. 2 Mos. 4, 24. 25 41. 42. Cf. 2 Mos. 2, 21—23. 44. Hom. Il. 15, 189. 46. 47. Matth. 13, 13 ὅτι βλέποντες οὐ βλέπουσιν καὶ ἀκούοντες οὐκ ἀκούουσιν οὐδὲ συνίουσιν; cf. Marc. 4, 12. Luc. 8, 10 ἵνα βλέποντες μὴ βλέπωσιν καὶ ἀκούοντες μὴ συνιῶσιν. 49. καυλακαῦ,

8. Haec et talia secuti mirifici gnostici, inventores novae grammaticae artis, vatem suum Homerum haec prodere per arcana profitentur et sacrarum scripturarum expertes in talia commenta abducentes ludificantur. Dicunt autem: qui dicit omnia ex uno constare, devius errat, qui dicit ex tribus, recte dicit et universorum rationem aperiet. Una enim est, inquit, beata natura beati hominis, qui supra est, Adamantis, una autem mortalis, quae infra est, unum autem irrex genus, quod sursus evectum est, ubi est, inquit, Mariam, quae vestigatur, et Iothor, magnus sapiens, et Sepphora, quae cernit, et Moses, cujus genus non est in Aegypto, nati enim sunt ei filii in Madiam. Et hoc, inquit, ne poetas quidem fugit:

Trifariam autem omnia divisa sunt, unusquisque autem
nactus est honorem.

Oportet enim dici magnitudines, dici autem sic ab omnibus ubique, ut audientes ne audiant et videntes non videant. Nam si non dicerentur, inquit, magnitudines, mundus constare non poterat. Hae sunt tres illae magnificentissimae voces: *Caulacau, Saulasau, Zeesar: Caulacau* illius qui supra est Adamantis, *Saulasau* ejus qui infra est mortalis, *Zeesar* Iordanis qui sursum fluxit. Hic est, inquit, ille in omnibus (praesens) mas et femina simul homo, quem qui ignorant Geryonam appellant tricorporem, tanquam ex terra fluentem Terrifluum, communiter autem Graeci *caeleste cornu Menis,* quoniam commiscuit et conflavit omnia omnibus. *Omnia enim,* inquit, *per ipsum facta sunt et sine ipso factum est nihil. Quod factum est in ipso, vita est.* Haec, inquit, est vita ineffabilis generatio perfectorum hominum, quae prioribus generationibus non erat cognita. *Nihil* autem, quod sine eo factum est, mundus specialis est, extitit enim sine eo a tertio et quarto. Hoc est, inquit, poculum

σαυλασαῦ, ζεησάρ] Jes. 28, 10: כִּי צַו לָצַו צַו לָצַו קַו לָקַו קַו לָקַו זְעֵיר שָׁם זְעֵיר שָׁם׃ 50. *τοῦ ἄνω, τοῦ*] *τοῦ ἀνωτάτω* C M 53. *γηριόνην* C 54. *ἀπουράνιον* C M; cf. infra c. 9 p. 118 ed. Oxon. 55. *παντάπασι* C 55—57. Ev. Jo. 1, 3. 4 *Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ὃ γέγονεν, ἐν αὐτῷ ζωή ἐστιν.* 59. *οὐδέν*] *οὐδέν ἐστιν* C M 60. *ἰδικός ἐστιν·*] *ἰδικός·* C M *γέγονεν*] *γέγονε, ἓν* C: *γέγονε μὲν* M 61. *τὸ κόνδυ — οἰωνίζεται*] 1 Mos. 44, 2. 5. *καὶ τὸ κόνδυ μου τὸ ἀργυροῦν ἐμβάλετε εἰς τὸν μάρσιππον τοῦ νεω-*

σιλεὺς πίνων οἰωνίζεται. | Τοῦτο, φησί, κεκρυμμένον εὑρέθη ἐν τοῖς καλοῖς τοῦ Βενιαμὶν σπέρμασι. Λέγουσι δὲ αὐτὸ καὶ Ἕλληνες, φησίν, οὕτως μαινομένῳ στόματι·

Φέρ᾽ ὕδωρ, φέρ᾽ οἶνον, ὦ παῖ·
μέθυσόν με καὶ κάρωσον.
Τὸ ποτήριον λέγει μου,
ποδαπόν με δεῖ γενέσθαι.

Τοῦτο, φησίν, ἤρκει μόνον νοηθὲν ἀνθρώποις τὸ τοῦ Ἀνακρέοντος ποτήριον ἀλάλως λαλοῦν μυστήριον ἄρρητον. Ἄλαλον γάρ, φησί, τὸ Ἀνακρέοντος ποτήριον, ὅπερ αὐτῷ φησὶν Ἀνακρέων λαλεῖν ἀλάλῳ φθέγματι, ποδαπὸν αὐτὸν δεῖ γενέσθαι, τουτέστι πνευματικόν, οὐ σαρκικόν, ἐὰν ἀκούσῃ τὸ κεκρυμμένον μυστήριον ἐν σιωπῇ· καὶ τοῦτο ἐστὶ τὸ ὕδωρ τὸ ἐν τοῖς καλοῖς ἐκείνοις γάμοις, ὃ στρέψας ὁ Ἰησοῦς ἐποίησεν οἶνον. Αὕτη, φησίν, ἐστὶν ἡ μεγάλη καὶ ἀληθινὴ ἀρχὴ τῶν σημείων, ἣν ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν βασιλείαν τῶν οὐρανῶν. Αὕτη, φησίν, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν κατακειμένη ὡς θησαυρός, ὡς ζύμη εἰς ἀλεύρου τρία σάτα κεκρυμμένη. Τουτέστι, φησί, τὸ μέγα καὶ ἄρρητον Σαμοθρᾴκων μυστήριον, ὃ μόνοις ἔξεστιν εἰδέναι τοῖς τελείοις, φησίν, ἡμῖν. Διαρρήδην γὰρ οἱ Σαμόθρᾳκες τὸν Ἀδὰμ ἐκεῖνον παραδιδόασιν ἐν τοῖς μυστηρίοις τοῖς ἐπιτελουμένοις παρ᾽ αὐτοῖς ἀρχάνθρωπον. Ἕστηκε δέ ἀγάλματα δύο ἐν τῷ Σαμοθρᾴκων ἀνακτόρῳ ἀνθρώπων γυμνῶν, ἄνω τεταμένας ἐχόντων τὰς χεῖρας ἀμφοτέρας | εἰς οὐρανὸν καὶ τὰς αἰσχύνας ἄνω ἐστραμμένας, καθάπερ ἐν Κυλλήνῃ τὸ τοῦ Ἑρμοῦ. Εἰκόνες δέ εἰσι τὰ προειρημένα ἀγάλματα τοῦ ἀρχανθρώπου καὶ τοῦ ἀναγεννωμένου πνευματικοῦ, κατὰ πάνθ᾽ ὁμοουσίου ἐκείνῳ τῷ ἀνθρώπῳ. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον ὑπὸ τοῦ σωτῆρος· Ἐὰν μὴ πίνητέ μου τὸ αἷμα καὶ φάγητέ μου τὴν σάρκα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν

τέρου — Ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ. 65. sqq. Bergk rettulit inter Anacreontea nr. 63 p. 835. Cum v. 1 et 2 cfr. Anacr. 50, 10: *βάλ᾽ ὕδωρ, δὸς οἶνον, ὦ παῖ, ‖ τὴν ψυχήν μου κάρωσον.* 65. *φέρε* bis C 71. *Ἀνακρέοντος*] *Ἀνακρέοντος φησὶ* C M 72. *λαλεῖ* C M 74. sqq. Cf. Ev. Jo. 2, 1—11. 75—78. Ev. Jo. 2, 11 *Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ* 78—80. Cf. Luc. 17, 21 *ἡ*

condy, in quo rex bibens auspicatur. Hoc, inquit, absconditum repertum est in pulchris Beniamin sperminibus. Significant autem id etiam Graeci, inquit, sic furenti ore:

Fer aquam, fer vinum, o puer,
Inebriato me et mulceto.
Poculum dicit meum,
Cuiatem me fieri oporteat.

Hoc, inquit, sufficiebat solum cognitum hominibus Anacreontis poculum mutum loquens mysterium ineffabile. Mutum enim, inquit, Anacreontis poculum, quod Anacreon sibi ait loqui muta loquela, cuiatem oporteat eum fieri, hoc est spiritualem, non carnalem, si audierit reconditum mysterium per silentium. Et hoc est aqua in pulchris illis nuptiis, quam convertens Iesus fecit vinum. Hoc, inquit, est magnum et germanum initium signorum, quod fecit Iesus in Cana Galilaeae et manifestavit regnum caelorum. Hoc, inquit, est regnum caelorum in nobismet ipsis reconditum tanquam thesaurus, ut fermentum in farinae satis tribus absconditum. Hoc, inquit, est magnum et ineffabile Samothracum mysterium, quod solis licet cognovisse perfectis, inquit, nobis. Diserte enim Samothraces Adamum illum tradunt in mysteriis, quae apud eos celebrantur, primorem hominem. Stant autem statuae duae in Samothracum templo hominum nudorum surrectam habentium utramque manum in caelum et pudenda sursum tensa, sicuti in Cyllene monte Mercurii. Imagines autem sunt supra commemoratae statuae primoris hominis et renati spiritualis per omnia eiusdem naturae cum illo homine. Hoc est, inquit, quod dictum est a salvatore: *Nisi bibitis meum sanguinem et manducatis*

βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν. Matth. 13, 44 *ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ·* Matth. 13, 33 *Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία* 79. *εἰς*] *ὡς* C M 83. *Ἀδὰμ* Cf. Bergk Poett. Lyr. p. 1041 85. 86. *τεταμένας*] *τεμένας* C 91—95. Cf. Ev. Jo. 6, 53 *ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.* Matth. 20, 22 *δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν;* Marc. 10, 38 *δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω κ. τ. λ.* Ev. Jo. 8, 21 et 13, 33 *ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.* 91. *φάγετε* C

τῶν οὐρανῶν, ἀλλὰ κἂν πίητε, φησί, τὸ ποτήριον ὃ ἐγὼ πίνω, ὅπου ἐγὼ ὑπάγω, ἐκεῖ ὑμεῖς εἰσελθεῖν οὐ δύνασθε. Ἤιδει γάρ, φησίν, ἐξ ὁποίας φύσεως ἕκαστος τῶν μαθητῶν αὐτοῦ ἐστὶ καὶ ὅτι ἕκαστον αὐτῶν εἰς τὴν ἰδίαν φύσιν ἐλθεῖν ἀνάγκη. Ἀπὸ γὰρ τῶν δώδεκα, φησί, φυλῶν μαθητὰς ἐξελέξατο δώδεκα καὶ δι' αὐτῶν ἐλάλησε πάσῃ φυλῇ· διὰ τοῦτο, φησί, τὰ τῶν δώδεκα μαθητῶν κηρύγματα οὔτε πάντες ἀκηκόασιν οὔτε, ἐὰν ἀκούσωσι, παραδέξασθαι δύνανται. Ἔστι γὰρ αὐτοῖς παρὰ φύσιν τὰ μὴ κατὰ φύσιν.

Τοῦτον, φησί, Θρᾷκες οἱ περὶ τὸν Αἷμον οἰκοῦντες Κορύβαντα καλοῦσι καὶ Θρᾳξὶν οἱ Φρύγες παραπλησίως, ὅτι ἀπὸ τῆς κορυφῆς ἄνωθεν καὶ ἀπὸ τοῦ ἀχαρακτηρίστου ἐγκεφάλου τὴν ἀρχὴν τῆς καταβάσεως λαμβάνων καὶ πάσας τὰς τῶν ὑποκειμένων διερχόμενος ἀρχὰς πῶς καὶ τίνα τρόπον κατέρχεται οὐ νοοῦμεν. Τοῦτ' ἐστί, φησί, τὸ εἰρημένον· φωνὴν μὲν αὐτοῦ ἠκούσαμεν, εἶδος δὲ αὐτοῦ οὐχ ἑωράκαμεν. Ἀποτεταμένου γάρ, φησίν, αὐτοῦ καὶ κεχαρακτηρισμένου ἀκούεται φωνή, τὸ δὲ εἶδος τὸ κατελθὸν ἄνωθεν ἀπὸ τοῦ ἀχαρακτηρίστου ὁποῖον ἐστὶν εἶδεν οὐδείς. Ἔστι δὲ ἐν τῷ πλάσματι τῷ χοϊκῷ, γινώσκει δὲ αὐτὸ οὐδείς. Οὗτος, φησίν, ἐστὶν ὁ τὸν κατακλυσμὸν | οἰκῶν θεὸς κατὰ τὸ ψαλτήριον καὶ φθεγγόμενος [καὶ] κεκραγὼς ἀπὸ ὑδάτων πολλῶν. Ὕδατα, φησίν, ἐστὶ πολλὰ ἡ πολυσχιδὴς τῶν θνητῶν γένεσις ἀνθρώπων, ἀφ' ἧς βοᾷ καὶ κέκραγε πρὸς τὸν ἀχαρακτήριστον ἄνθρωπον, ῥῦσαι λέγων ἀπὸ λεόντων τὴν μονογενῆ μου. Πρὸς τοῦτον, φησίν, ἐστὶν εἰρημένον· Παῖς μου εἶ σὺ Ἰσραήλ, μὴ φοβοῦ, ἐὰν διὰ ποταμῶν διέλθῃς, οὐ μή σε συγκλύσωσιν, ἐὰν διὰ πυρὸς διέλθῃς, οὐ μή σε συγκαύσει. Ποταμούς, φησί, λέγει τὴν ὑγρὰν τῆς γενέσεως οὐσίαν, πῦρ δὲ τὴν ἐπὶ τὴν γένεσιν ὁρμὴν καὶ ἐπιθυμίαν· Σὺ ἐμὸς εἶ, μὴ φοβοῦ. Καὶ πάλιν, φησίν, εἰ ἐπιλήσεται

8. 9. Cf. Ev. Jo. 3, 8 *τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται ἢ ποῦ ὑπάγει.* Cap. 5, 37 *οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε κ. τ. λ.* 10. *Ἀποτεταγμένου* C M *χαρακτηρισμένου* C 13—15. Cf. Psalm. 28, 10 *Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ κ. τ. λ.* vs. 3 *Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησεν, κύριος ἐπὶ ὑδάτων πολλῶν* 14. *κατοικῶν?* 15. *καὶ* om C 16. *πολυσχεδὴς* C 18. Cf. Psalm. 34,

meam carnem, nequaquam intrabitis in regnum caelorum, sed etiamsi biberitis, inquit, *calicem, quem ego bibo: quo ego vado, illuc vos intrare non potestis.* Norat enim, inquit, ex quali natura quisque discipulorum suorum esset, et quemque eorum in propriam naturam venire oportere. Nam ex duodecim tribubus discipulos sibi elegit duodecim et per eos locutus est omni tribui. Propter hoc, inquit, duodecim discipulorum praeconia neque omnes audiverunt, neque ubi audierint percipere possunt. Sunt enim iis contra naturam, quae non sunt secundum naturam. Hunc, inquit, Thraces, qui circa Haemum habitant, *Corybantem* appellant et cum Thracibus Phryges pariter, quoniam a capite supra et ab ineffigiato cerebro initium descensionis sumens et omnes subiectorum permeans potestates, quomodo et qua ratione permeet ignoramus. Hoc est, inquit, dictum illud: *Vocem quidem eius audivimus, speciem autem eius non vidimus.* Descripti enim eius, inquit, et effigiati auditur vox, speciem autem desuper delapsam ab ineffigiato qualis sit novit nemo. Est autem in figmento choico, cognoscit autem eam nemo. Hic, inquit, est *diluvium habitans deus* secundum psalterium *et loquens atque vociferans ab aquis magnis.* Aquae, inquit, magnae sunt multiplex mortalium generatio hominum, ex qua clamat et vociferatur ad ineffigiatum hominem: *Servato*, dicens, *a leonibus unigenitam meam.* Ad hunc, inquit, est dictum: *Filius meus es tu Israel, noli metuere; ubi per flumina transieris, non te corripient, ubi per ignem transieris, non te comburet.* Flumina, inquit, dicit humidam generationis naturam, ignem autem ad generationem impetum et ardorem. *Tu meus es, noli metuere.* Et rursus, inquit: *Si*

17 *Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.* Psalm. 21, 21. 22. *Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος κ. τ. λ.* 19—24. Cf. Jes. 41, 8. *Σὺ δὲ Ἰσραὴλ παῖς μου* (Jes. 49, 3 *Δοῦλός μου εἶ σὺ Ἰσραήλ*)· Jes. 43, 1. 2. *Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσά σε τὸ ὄνομά σου, ἐμὸς εἶ σύ. Καὶ ἐὰν διαβαίνῃς δι᾽ ὕδατος, μετὰ σοῦ εἰμί, καὶ ποταμοὶ οὐ συγκλύσουσίν σε· καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε.* 24. 25. Jes. 49, 15. *Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς;*

μήτηρ τῶν τέκνων αὐτῆς μὴ ἐλεῆσαι μηδὲ ἐπιδοῦναι μαστόν, κἀγὼ ἐπιλήσομαι ὑμῶν, ὁ Ἀδάμας, φησί, λέγει πρὸς τοὺς ἰδίους ἀνθρώπους· ἀλλὰ εἰ καὶ ἐπιλήσεται ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι ὑμῶν. Ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκα ὑμᾶς. Περὶ δὲ τῆς ἀνόδου αὐτοῦ, τουτέστι τῆς ἀναγεννήσεως, ἵνα γένηται πνευματικός, οὐ σαρκικός, λέγει, φησίν, ἡ γραφή· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης, τουτέστι, θαῦμα θαυμάτων. Τίς γάρ, φησίν, ἐστὶν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὁ ἐν πολέμῳ δυνατός. Πόλεμον δὲ λέγει τὸν ἐν σώματι, ὅτι ἐκ μαχίμων στοιχείων πέπλασται τὸ πλάσμα, καθὼς γέγραπται, φησί, Μνήσθητι πόλεμον τὸν γινόμενον ἐν σώματι. Ταύτην, φησί, τὴν εἴσοδον καὶ ταύτην τὴν πύλην εἶδεν εἰς | Μεσοποταμίαν πορευόμενος ὁ Ἰακώβ, ὅπερ ἐστὶν ἀπὸ τοῦ παιδὸς ἔφηβος ἤδη γινόμενος καὶ ἀνήρ, τουτέστιν ἐγνωρίσθη τῷ εἰς Μεσοποταμίαν πορευομένῳ· (Μεσοποταμία δέ, φησίν, ἐστὶν ἡ τοῦ μεγάλου ὠκεανοῦ ῥοή, ἀπὸ τῶν μέσων ῥέουσα τοῦ τελείου ἀνθρώπου,) καὶ ἐθαύμασε τὴν οὐράνιον πύλην εἰπών· ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. Διὰ τοῦτο, φησί, λέγει ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ πύλη ἡ ἀληθινή. Ἔστι δὲ ὁ ταῦτα λέγων ὁ ἀπὸ τοῦ ἀχαρακτηρίστου, φησίν, ἄνωθεν κεχαρακτηρισμένος τέλειος ἄνθρωπος. Οὐ δύναται οὖν, φησί, σωθῆναι ὁ τέλειος ἄνθρωπος, ἐὰν μὴ ἀναγεννηθῇ διὰ ταύτης εἰσελθὼν τῆς πύλης. Τὸν αὐτὸν δὲ τοῦτον, φησί, Φρύγες καὶ Πάπαν καλοῦσιν, ὅτι πάντα ἔπαυσεν ἀτάκτως καὶ πλημμελῶς πρὸ τῆς ἑαυτοῦ φανερώσεως κεκινημένα. Τὸ γὰρ ὄνομα, φησί, τοῦ πάπα πάντων ὁμοῦ ἐστὶ τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων λεγόντων· παῦε παῦε τὴν ἀσυμφωνίαν τοῦ κόσμου καὶ ποίησον εἰρήνην τοῖς μακράν, τουτέστι τοῖς ὑλικοῖς καὶ χοϊκοῖς, καὶ εἰρήνην τοῖς ἐγγύς, τουτέστι τοῖς πνευ-

27—29. Jes. 49, 15. *Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπεν κύριος. Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη κ. τ. λ.* 31—33. Psalm. 23, 7. 9 33. 34. *Τίς — ἐστὶν οὗτος ὁ βασιλεὺς τῆς δόξης;*] Psalm. 23, 8 34—36. Psalm. 21, 7

obliviscetur mater liberorum, quin misereatur et praebeat mammas, et ego obliviscar vestrum, Adamas, inquit, dicit ad proprios homines; *verum etiamsi haec obliviscetur mulier, at ego non obliviscar vestrum. In manibus meis vos expressos habeo.* De ascensione autem eius, hoc est de regeneratione, ut fiat spiritualis non carnalis, dicit, inquit, scriptura: *Altate portas, qui estis domini vestrum, et surgite portae aeternae, et intrabit rex gloriae*, hoc est miraculum miraculorum. *Quis est enim*, inquit, *hic rex gloriae? Vermis et non homo, opprobrium hominis et nullificamen populi*; *ipse est rex gloriae, in bello pollens.* Bellum autem dicit quod est in corpore, quoniam ex hostilibus elementis fictum est figmentum, sicut scriptum est, inquit: *Recordare bellum existens in corpore.* Hunc, inquit, introitum et hanc portam vidit in *Mesopotamiam* proficiscens Iacob, quod quidem est ex puero pubes iam evadens et vir, hoc est intellecta sunt a proficiscente in Mesopotamiam; (Mesopotamia autem est, inquit, magni oceani fluctus a medio fluens perfecto homine) et miratus est caelestem portam fatus: *Quam horribilis hic locus. Non est hoc nisi aedis dei et haec porta caeli.* Propter hoc, inquit, dicit Iesus: *Ego sum porta vera.* Est autem haec dicens ab ineffigiato supra, inquit, effigiatus perfectus homo. Non potest igitur, inquit, servari perfectus homo, nisi renascetur per hanc ingressus portam. Eundem autem hunc, inquit, Phryges et *Papam* appellant, quoniam omnia sedavit incondita et temere ante ipsius apparitionem mota. Nomen enim *papa,* inquit, omnium simul est et caelestium et terrestrium et infernorum, dicentium: seda, seda incongruentiam mundi et facito *pacem longe dissitis*, hoc est materialibus et choicis, et *pacem iis qui prope sunt*, hoc

Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐχὶ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ   36. 37. Psalm 23, 10 *αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.* vs. 8 *κύριος δυνατὸς ἐν πολέμῳ.*   39. Cf. Iob. 40, 27 *μνησθεὶς πολέμου τοῦ γιγνομένου ἐν τῷ σώματι αὐτοῦ κ. τ. λ.*   40. 41. Cf. 1 Mos. 28, 5 sqq.   46. 47. 1 Mos. 28, 17   48. Cf. Ev. Jo. 10, 9. *Ἐγώ εἰμι ἡ θύρα.* Matth. 7, 13. *Εἰσέλθατε διὰ τῆς στενῆς πύλης* (Clem. Rom. Hom. 3, 52 *Διὰ τοῦτο αὐτὸς ἀληθὴς ὢν προφήτης ἔλεγεν· ἐγώ εἰμι ἡ πύλη τῆς ζωῆς· ὁ δι' ἐμοῦ εἰσερχόμενος εἰσέρχεται εἰς τὴν ζωήν*).   52. *τοῦτον φασὶ Φρύγες* C   56. *παέ παέ* corr C   57. 58. Cf. Ephes. 2, 17 *καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ εἰρήνην τοῖς ἐγγύς.*

ματικοῖς καὶ νοεροῖς τελείοις ἀνθρώποις. Λέγουσι δὲ οἱ Φρύγες τοῦτον αὐτὸν καὶ νέκυν, οἱονεὶ ἐν μνήματι καὶ τάφῳ ἐγκατορωρυγμένον ἐν τῷ σώματι. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον· Τάφοι ἐστὲ κεκονιαμένοι, γέμοντες, φησίν, ἔσωθεν ὀστέων νεκρῶν, ὅτι οὐκ ἔστιν ἐν ὑμῖν ἄνθρωπος ὁ ζῶν· καὶ πάλιν, φησίν, ἐξαλοῦνται ἐκ τῶν μνημείων οἱ νεκροί, τουτέστιν ἐκ τῶν σωμάτων τῶν χοϊκῶν ἀναγεννηθέντες πνευμα|τικοί, οὐ σαρκικοί. Αὕτη, φησίν, ἐστὶν ἡ ἀνάστασις ἡ διὰ τῆς πύλης γινομένη τῶν οὐρανῶν, δι' ἧς οἱ μὴ εἰσελθόντες, φησί, πάντες μένουσι νεκροί. Οἱ δὲ αὐτοί, φησί, Φρύγες τὸν αὐτὸν τοῦτον πάλιν ἐκ μεταβολῆς λέγουσι θεόν. Γίνεται γάρ, φησί, θεός, ὅταν ἐκ νεκρῶν ἀναστὰς διὰ τῆς τοιαύτης πύλης εἰσελεύσεται εἰς τὸν οὐρανόν. Ταύτην, φησί, τὴν πύλην Παῦλος οἶδεν ὁ ἀπόστολος, παρανοίξας ἐν μυστηρίῳ καὶ εἰπών· ἡρπάσθαι ὑπὸ ἀγγέλου, καὶ γεγονέναι ἕως δευτέρου καὶ τρίτου οὐρανοῦ εἰς τὸν παράδεισον αὐτόν,˜ καὶ ἑωρακέναι ἃ ἑώρακε, καὶ ἀκηκοέναι ῥήματα ἄρρητα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν. Ταῦτά ἐστι, φησί, τὰ ἄρρητα ὑπὸ πάντων λεγόμενα μυστήρια, ἃ [καὶ λαλοῦμεν] οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος, πνευματικοῖς πνευματικὰ συγκρίνοντες, ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ, μωρία γὰρ αὐτῷ ἐστί, καὶ ταῦτά φησιν ἐστὶ τὰ τοῦ πνεύματος ἄρρητα μυστήρια, ἃ ἡμεῖς ἴσμεν μόνοι. Περὶ τούτων, φησίν, εἴρηκεν ὁ σωτήρ· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μή τινα ἑλκύσῃ ὁ πατήρ μου ὁ οὐράνιος. Πάνυ γάρ, φησί, δύσκολόν ἐστι παραδέξασθαι καὶ λαβεῖν τὸ μέγα τοῦτο καὶ ἄρρητον μυστήριον. Καὶ πάλιν, φησίν, εἴρηκεν ὁ σωτήρ· οὐ πᾶς ὁ λέγων μοι κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Ὃ δεῖ ποιήσαντας, οὐχὶ ἀκούσαντας μόνον, εἰς τὴν βασιλείαν εἰσελθεῖν τῶν οὐρανῶν. Καὶ πάλιν, φησίν, εἴρηκεν· οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

60. 61. ἐγκατωρυγμένον C M 62. 63. Cf. Matth. 23, 27. ὁμοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. 64. Cf. Matth. 27, 52. 53. καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων

est spiritualibus et rationalibus perfectis hominibus. Appellant autem Phryges hunc eundem et *mortuum*, quasi in monumento et sepulcro infossum in corpore. Hoc, inquit, est dictum illud: *Sepulcra estis dealbata plena*, inquit, *intus ossibus mortuorum*, quoniam non inest in vobis homo vivus; et rursus, inquit, *Exilient ex monumentis mortui*, hoc est ex corporibus choicis renati spirituales, non carnales. Haec, inquit, est resurrectio, quae per portam fit caelorum, per quam non ingressi, inquit, omnes manent mortui. Iidem autem Phryges, inquit, eundem hunc rursus ex conversione appellant *deum*. Fit enim, inquit, deus, quum ex mortuis resuscitatus per talem portam intrabit in caelum. Hanc, inquit, portam Paulus novit apostolus, revelans in mysterio et dicens, *se raptum esse ab angelo, et venisse usque ad secundum et tertium caelum in paradisum ipsum et vidisse, quae viderit et audivisse arcana verba, quae non liceat homini loqui.* Haec sunt, inquit, quae arcana ab omnibus vocantur mysteria, *quae et loquimur non in doctis humanae sapientiae verbis, sed in doctrina spiritus, spiritualibus spiritualia comparantes. Animalis autem homo non percipit ea quae sunt spiritus dei; stultitia est enim illi,* et haec, inquit, sunt spiritus arcana mysteria, quae nos novimus soli. De his, inquit, dixit salvator: *Nemo potest venire ad me, nisi quem traxerit pater meus caelestis.* Admodum enim, inquit, difficile est percipere et prehendere magnum hoc et arcanum mysterium. Et rursus, inquit, dixit salvator: *Non omnis qui dicit mihi domine, domine, intrabit in regnum caelorum, sed qui facit voluntatem patris mei qui in caelis est:* quam oportet facientes, non audientes solum in regnum intrare caelorum. Et rursus, inquit, dixit: *Publicani et meretrices praecedunt vos in regnum caelorum.* Publicani (*τελῶναι*)

ἁγίων ἠγέρθησαν καὶ ἐξελθόντες ἐκ τῶν μνημείων κ. τ. λ. Matth. 11, 5. Luc. 7, 22. *νεκροὶ ἐγείρονται.* 72—76. Cf. 2 Cor. 12, 2—4. *οἶδα ἄνθρωπον ἐν Χριστῷ — — ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ· καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον — ὅτι ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.* 77. *καὶ λαλοῦμεν* om C M; cf. 1 Cor. 2, 13. 14. 83. 84. Ev. Jo. 6, 44. *οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν.* 87—89. Matth. 7, 21. 91. 92. Matth. 21, 31.

Τελῶναι γάρ, φησίν, εἰσὶν οἱ τὰ τέλη τῶν ὅλων λαμβάνοντες, ἡμεῖς| δέ, φησίν, ἐσμὲν οἱ τελῶναι, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε. Τέλη γάρ, φησίν, εἰσὶ τὰ ἀπὸ τοῦ ἀχαρακτηρίστου εἰς τὸν κόσμον κατεσπαρμένα σπέρματα, δι' ὧν ὁ πᾶς συντελεῖται κόσμος· διὰ γὰρ αὐτῶν καὶ ἤρξατο γενέσθαι. Καὶ τοῦτό ἐστι, φησί, τὸ εἰρημένον· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ τὰ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη, τὰ δὲ ἐπὶ τὰ πετρώδη· καὶ ἐξανέτειλε, φησί, καὶ διὰ τὸ μὴ ἔχειν βάθος ἐξηράνθη καὶ ἀπέθανε· τὰ δὲ ἔπεσε, φησίν, ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἀγαθήν, καὶ ἐποίει καρπόν, ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. Ὁ ἔχων, φησίν, ὦτα ἀκούειν ἀκουέτω. Τουτέστι, φησίν, οὐδεὶς τούτων τῶν μυστηρίων ἀκροατὴς γέγονεν εἰ μὴ μόνοι οἱ γνωστικοὶ τέλειοι. Αὕτη, φησίν, ἐστὶν ἡ γῆ ἡ καλὴ καὶ ἀγαθή, ἣν λέγει Μωϋσῆς· Εἰσάξω ὑμᾶς εἰς γῆν καλὴν καὶ ἀγαθήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. Τοῦτο, φησίν, ἐστὶ τὸ μέλι καὶ τὸ γάλα, οὗ γευσαμένους τοὺς τελείους ἀβασιλεύτους γενέσθαι καὶ μετασχεῖν τοῦ πληρώματος. Τοῦτο, φησίν, ἐστὶ τὸ πλήρωμα, δι' οὗ πάντα γινόμενα γεννητὰ ἀπὸ τοῦ ἀγεννήτου γέγονέ τε καὶ πεπλήρωται. Ὁ δὲ αὐτὸς οὗτος ὑπὸ τῶν Φρυγῶν καὶ ἄκαρπος καλεῖται. Ἔστι γὰρ ἄκαρπος, ὅταν ᾖ σαρκικὸς καὶ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἐργάζηται. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον· πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Καρποὶ γὰρ οὗτοι, φησίν, εἰσὶ μόνον οἱ λογικοί, οἱ ζῶντες ἄνθρωποι, οἱ διὰ τῆς πύλης εἰσερχόμενοι τῆς τρίτης. Λέγουσι γοῦν· εἰ νεκρὰ ἐφάγετε καὶ ζῶντα ἐποιήσατε, τί, ἂν ζῶντα φάγητε, ποιήσετε; Ζῶντα δὲ λέγουσι καὶ λόγους καὶ νόας καὶ ἀνθρώπους, τοὺς μαργαρίτας ἐκείνου τοῦ ἀχαρακτη|ρίστου ἐρριμμένους εἰς τὸ πλάσμα κάτω. Τουτέστιν ὃ λέγει, φησί· μὴ βάλητε τὸ ἅγιον τοῖς κυσὶ μηδὲ τοὺς μαργαρίτας τοῖς χοίροις, χοίρων καὶ κυνῶν ἔργον λέγοντες εἶναι τὴν γυναικὸς πρὸς ἄνδρα ὁμιλίαν. Τὸν αὐτὸν δὲ τοῦτον, φησίν, οἱ Φρύγες κα-

94. 95. 1 Cor. 10, 11 98—6. Cf. Matth. 13, 3—9. Marc. 4, 3—9. Luc. 8, 5—8. 7. *μόνοι οἱ*] *μόνοι* C M 8—10. Cf. 5 Mos. 31, 20 *Εἰσάξω γὰρ αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσα τοῖς*

enim, inquit, sunt qui omnium rerum vectigalia recipiunt, nos autem, inquit sumus publicani, *in quos fines* (*τὰ τέλη*) *saeculorum devenerunt.* *Τέλη* enim, inquit, sunt ab ineffigiato in mundum disseminata semina, per quae universus perficitur mundus; per ea enim et orsus est fieri. Et hoc, inquit, est dictum illud: *Exiit seminans ad seminandum, et alia ceciderunt secus viam et conculcata sunt, alia vero super petrosa, et exorta sunt*, inquit, *et quoniam non habebant altitudinem terrae, aruerunt et demortua sunt; alia autem ceciderunt*, inquit, *in terram pulchram et bonam et faciebant fructum, aliud centesimum, aliud sexagesimum, aliud tricesimum. Qui habet aures audiendi audiat.* Hoc est, inquit, nemo horum mysteriorum auditor factus est, nisi soli perfecti gnostici. Haec, inquit, est terra pulchra et bona, quam dicit Moses: *Inducam vos in terram pulchram et bonam, in terram affluentem lacte et melle.* Hoc, inquit, est mel et lac, quo gustato perfectos irreges fieri et impertiri plenitudine. Haec, inquit, est plenitudo, per quam omnia existentia nata ab innato et facta sunt et impleta. Idem autem hic a Phrygibus etiam *sterilis* vocatur. Est enim sterilis, quando est carnalis et cupidinem carnis efficit. Hoc, inquit, est dictum illud: *Omnis arbor, quae non facit fructum bonum, exciditur et in ignem mittitur.* Fructus enim hi, inquit, sunt soli rationales, vivi homines, qui per portam ingrediuntur tertiam. Dicunt quippe: *Si mortua comedistis et viva fecistis, quid, si viva comederitis, facietis?* Viva autem dicunt et rationes et mentes et homines, margaritas illius ineffigiati deiectas in figmentum infra. Hoc est quod dicit, inquit: *Ne proiiciatis sanctum canibus, neque margaritas porcis*, porcorum et canum opus dicentes esse mulieris cum viro consuetudinem. Eundem autem hunc, inquit, Phryges appellant *caprarium*, non,

πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι κ. τ. λ. 2 Mos. 3, 8 *καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ τῆς γῆς Αἰγυπτίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης, καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι κ. τ. λ.* 13. *γένη τὰ* C: *γενητὰ* M 14. *ὑπὸ*] *ἀπὸ* C M 17. 18. Matth. 3, 10. Luc. 3, 9. 19. *λογικοί, οἵ*] *λογικοὶ* C M 21. 22. *ποιήσητε* C M 24. *κάτω*] *κάρπου* C 24—26. Matth. 7, 6 *Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων κ. τ. λ.*

λοῦσιν αἰπόλον, οὐχ ὅτι, φησίν, ἔβοσκεν αἶγας καὶ τράγους, ὡς οἱ ψυχικοὶ ὀνομάζουσιν, ἀλλ' ὅτι, φησίν, ἐστὶν αἰπόλος, τουτέστιν ὁ ἀεὶ πολῶν καὶ στρέφων καὶ περιελαύνων τὸν κόσμον ὅλον στροφῇ. Πολεῖν γάρ ἐστι τὸ στρέφειν καὶ μεταβάλλειν τὰ πράγματα· ἔνθεν, φησί, καὶ τὰ δύο κέντρα τοῦ οὐρανοῦ ἅπαντες προσαγορεύουσι πόλους. Καὶ ὁ ποιητὴς δέ φησι·

πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος,

οὐ πιπράσκεται, φησίν, ἀλλὰ στρέφεται αὐτοῦ οἱονεὶ καὶ περιέρχεται. Ἔτι καὶ πόλεις, ἐν αἷς οἰκοῦμεν, ὅτι στρεφόμεθα καὶ περιπολοῦμεν ἐν αὐταῖς, καὶ καλοῦνται πόλεις. Οὕτως, φησίν, οἱ Φρύγες αἰπόλον τοῦτον καλοῦσι τὸν πάντοτε πάντα πανταχῇ στρέφοντα καὶ μεταβάλλοντα πρὸς τὰ οἰκεῖα. Καλοῦσι δὲ αὐτόν, φησί, καὶ πολύκαρπον οἱ Φρύγες, ὅτι πλείονα, φησί, τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα, τουτέστι τὰ ἀναγεννώμενα ἀθάνατα καὶ ἀεὶ διαμένοντα ἐστὶ πολλά, κἂν ὀλίγα ᾖ τὰ γεννώμενα· τὰ δὲ σαρκικά, φησίν, φθαρτὰ πάντα, κἂν ᾖ πολλὰ πάνυ γεννώμενα. Διὰ τοῦτο, φησίν, ἔκλαιε Ῥαχὴλ τὰ τέκνα καὶ οὐκ ἤθελε, φησί, παρακαλεῖσθαι κλαίουσα ἐπ' αὐτοῖς· ᾔδει γάρ, φησίν, | ὅτι οὐκ εἰσί. Θρηνεῖ δὲ καὶ Ἱερεμίας τὴν κάτω Ἱερουσαλήμ, οὐ τὴν ἐν Φοινίκῃ πόλιν, ἀλλὰ τὴν κάτω γένεσιν τὴν φθαρτήν· ἔγνω γάρ, φησί, καὶ Ἱερεμίας τὸν τέλειον ἄνθρωπον, τὸν ἀναγεννώμενον ἐξ ὕδατος καὶ πνεύματος, οὐ σαρκικόν. Αὐτὸς γοῦν ὁ Ἱερεμίας ἔλεγεν· Ἄνθρωπός ἐστι καὶ τίς γνώσεται αὐτόν; Οὕτως, φησίν, ἐστὶ πάνυ βαθεῖα καὶ δυσκατάληπτος ἡ τοῦ τελείου ἀνθρώπου γνῶσις. Ἀρχὴ γάρ, φησίν, τελειώσεως γνῶσις ἀνθρώπου· θεοῦ δὲ γνῶσις ἀπηρτισμένη τελείωσις. Λέγουσι δὲ αὐτόν, φησί, Φρύγες καὶ χλοερὸν στάχυν τεθερισμένον, καὶ μετὰ τοὺς Φρύγας Ἀθηναῖοι μυοῦντες Ἐλευσίνια, καὶ ἐπιδεικνύντες τοῖς ἐποπτεύουσι τὸ μέγα καὶ θαυμαστὸν καὶ τελειότατον ἐποπτικὸν ἐκεῖ μυστήριον ἐν σιωπῇ, τεθερισμένον στάχυν. Ὁ δὲ στάχυς οὗτός ἐστι καὶ παρὰ Ἀθηναίοις ὁ παρὰ τοῦ ἀχαρακτηρίστου φωστὴρ τέλειος μέ-

29. ἀλλ' ὅτι] ἀλλὰ τί C 30. πωλῶν corr C et alibi. 32. ἔνθε C M 34. 35. Hom. Od. 4, 384. 37. Ἔτι] Λέγει C: Ἀμέλει M 38. περιπολοῦμεν] πολοῦμεν C M: πολούμεθα Roeperus 40. πάντα πανταχῇ] πανταχῇ C M 42. 43. Jes. 54, 1 et Gal. 4, 27

inquit, quod pascebat capras et capros, ut psychici appellant, sed quia est, inquit, *αἰπόλος*, hoc est *ὁ ἀεὶ πολῶν* et vertens et circumagens universum mundum conversione. *Πολεῖν* enim significat id quod vertere et commutare res; unde, inquit, et ambo centra caeli universi appellant polos. Et poëta dicit:

Πωλεῖται quidem huc senex marinus verax
Immortalis Proteus Aegyptius,

non venumdatur, inquit, sed versatur ibi tamquam et circumit. Iam urbes, in quibus habitamus, quia versamur et circumimus in iis, et *πόλεις* vocantur. Ita, inquit, Phryges *caprarium* (*αἰπόλον*) eum appellant, qui semper omnia in omnes partes vertit et commutat ad domestica. Vocant autem eum, inquit, et *feracem* Phryges, quia *plures*, inquit, *liberi viduae potius quam eius, quae habet maritum*, hoc est renati immortales et semper permanentes sunt multi, etiamsi pauci sint nati; carnales autem, inquit, caduci omnes, etiamsi sint multi admodum nati. Propterea, inquit, *plorabat Rachel filios suos et nolebat*, inquit, *consolari deplorans eos*, *norat enim*, inquit, *non esse*. Luget autem etiam Hieremias quae infra est Hierusalem, non Phoeniciae urbem, sed quae infra est generationem caducam. Cognoverat enim, inquit, etiam Hieremias perfectum hominem, renatum ex aqua et spiritu, non carnalem. Ipse profecto Hieremias dicebat: *Homo est et quis cognoscet eum?* Ita, inquit, est admodum profunda et difficilis comprehensu perfecti hominis cognitio. Initium enim, inquit, perfectionis cognitio hominis, dei autem cognitio absoluta perfectio. Dicunt autem eum, inquit, Phryges etiam *viridem aristam demessam* et post Phryges Athenienses, initiantes Eleusinia et demonstrantes epoptis magnum et mirabile et perfectissimum epopticum ibi mysterium per silentium, demessam aristam. Arista autem haec est etiam apud Athenienses ab ineffigiato [delapsus filius] perfectus ma-

ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. 46—48. Cf. Matth. 2, 18 *Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἠθέλησεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν.* Jerem. 31, 15 *Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη — Ῥαχὴλ ἀποκλαιομένης ἐπὶ τῶν υἱῶν αὐτῆς, καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν.* 46. *ἔκλαιε* margo C M: *ἔλαβε* C 52. 53. Jerem. 17, 9 *Βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστιν· καὶ τίς γνώσεται αὐτόν;* 54—56. *Ἀρχὴ — τελείωσις*] Cf. supra p. 132, 69 sq.

γας, καθάπερ αὐτὸς ὁ ἱεροφάντης, οὐκ ἀποκεκομμένος μέν, ὡς ὁ Ἄττις, εὐνουχισμένος δὲ διὰ κωνείου καὶ πᾶσαν παρῃτημένος τὴν σαρκικὴν γένεσιν, νυκτὸς ἐν Ἐλευσῖνι ὑπὸ πολλῷ πυρὶ τελῶν τὰ μεγάλα καὶ ἄρρητα μυστήρια βοᾷ καὶ κέκραγε λέγων· ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ Βριμόν, τουτέστιν ἰσχυρὰ ἰσχυρόν. Πότνια δέ ἐστι, φησίν, ἡ γένεσις ἡ πνευματική, ἡ ἐπουράνιος, ἡ ἄνω· ἰσχυρὸς δέ ἐστιν ὁ οὕτω γεννώμενος. Ἔστι γὰρ λεγόμενον τὸ μυστήριον Ἐλευσὶν καὶ ἀνακτόρειον· Ἐλευσίν, ὅτι ἤλθομεν, φησίν, οἱ πνευματικοὶ ἄνωθεν ἀπὸ τοῦ Ἀδάμαντος ῥυέντες κάτω· ἐλεύσεσθαι γάρ, φησίν, ἐστὶν ἐλθεῖν, τὸ δὲ ἀνακτόρειον τὸ ἀνελθεῖν ἄνω. Τοῦτο, φησίν, ἐστίν, ὃ λέγουσιν οἱ κατωργιασμένοι τῶν Ἐλευσινίων τὰ | μυστήρια. Θέσμιον δέ ἐστι τὰ μικρὰ μεμυημένους αὖθις τὰ μεγάλα μυεῖσθαι. Μόροι γὰρ μείζονες μείζονας μοίρας λαγχάνουσι. Μικρὰ δέ, φησίν, ἐστὶ τὰ μυστήρια τὰ τῆς Περσεφόνης κάτω, περὶ ὧν μυστηρίων καὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἐκεῖ, οὔσης πλατείας καὶ εὐρυχώρου καὶ φερούσης τοὺς ἀπολλυμένους ἐπὶ τὴν Περσεφόνην, ... καὶ ὁ ποιητὴς δέ φησιν·

Αὐτὰρ ὑπ᾽ αὐτήν ἐστιν ἀταρπιτὸς ὀκριόεσσα,
κοίλη, πηλώδης· ἣ δ᾽ ἡγήσασθαι ἀρίστη
ἄλσος ἐς ἱμερόεν πολυτιμήτου Ἀφροδίτης.

Ταῦτ᾽ ἐστί, φησί, τὰ μικρὰ μυστήρια τὰ τῆς σαρκικῆς γενέσεως, ἃ μυηθέντες οἱ ἄνθρωποι μικρὰ παύσασθαι ὀφείλουσι καὶ μυεῖσθαι τὰ μεγάλα τὰ ἐπουράνια. Οἱ γὰρ τοὺς ἐκεῖ, φησί, λαχόντες μόρους μείζονας μοίρας λαμβάνουσιν. Αὕτη γάρ, φησίν, ἐστὶν ἡ πύλη τοῦ οὐρανοῦ καὶ οὗτος ὁ οἶκος θεοῦ, ὅπου ὁ ἀγαθὸς θεὸς κατοικεῖ μόνος, εἰς ὃν οὐκ εἰσελεύσεται, φησίν, ἀκάθαρτος οὐδείς, οὐ ψυχικός, οὐ σαρκικός, ἀλλὰ τηρεῖται πνευματικοῖς μόνοις, ὅπου δεῖ γενομένους βαλεῖν τὰ ἐνδύματα καὶ

62. Videntur quaedam excidisse, quibuscum *φωστῆρος* commemoratio cohaereret 63. *Ἄττης* corr C 63. 64. *παρῃτημένος*] *ἀπηρτισμένος* C M 64. *σαρκικὴν*] *σαρκίνην* C M 66. *Βριμόν*, quod Hesychius interpretatur *ἰσχυρόν* M: *βριμή* C Versus fuerit hic: *Ἱρὸν δὴ Βριμὼ Βριμὸν τέκε πότνια κοῦρον* 69. *λεγόμενον τὸ*] *τὸ λεγόμενον* C M 74. *Θέμιον* C: *Θεμιτὸν* Jac. Bernaysius *(ep. critic. ad Bunsenium* in *Analect. Ante-Nicaen. ed. Bunsen.* Vol. III p. 330 sq.) 75. 76. *Μόροι — λαγχάνουσι*] Heraclit. fr. 54 apud Schleiermacher. *(Fr. Schleiermacher's sämmtliche Werke. Dritte Abtheilung. Zur Philoso-*

gnus, siculi ipse hierophanta, non excisus ille quidem, ut Attis, sed eunuchus factus per cicutam et aspernatus omnem carnalem generationem, noctu Eleusine inter multos ignes peragens magna et arcana mysteria clamat et vociferatur dicens: *Sacrum peperit alma puellum Brimo Brimum,* hoc est valida validum. Alma autem est, inquit, generatio spiritualis, caelestis, sublimis, validus autem est qui sic generatus est. Vocatur enim mysterium *Eleusin* et *Anactorium. Eleusin,* quia venimus, inquit, spirituales desuper ab Adamante delapsi infra; *ἐλεύσεσθαι* enim, inquit, est id quod *ἐλθεῖν, Anactoreum* autem id quod *ἀνελθεῖν ἄνω.* Hoc est, inquit, quod dicunt qui initiati sunt Eleusiniorum mysteriis. Statutum autem est, qui parvis initiati sunt ut rursus magnis initientur. Mortes enim maiores maiores sortes nanciscuntur. Parva autem, inquit, sunt mysteria Proserpinae infra, de quibus mysteriis et semita ducente illuc, quae est lata et spatiosa eademque fert intereuntes ad Proserpinam [salvator dixit], et poëta vero ait:

Sed sub ipsam est semita aspera,
Cava, lutosa; ea autem ducere optima
Lucum in venustum summe honoratae Veneris.

Haec, inquit, sunt parva mysteria carnalis generationis, quibus initiati homines parvis requiescere debent et initiari magnis, caelestibus. Nam sortiti, inquit, qui sunt ibi sortes, maiores partes nanciscuntur. Haec enim, inquit, est porta caeli et haec domus dei, ubi bonus deus inhabitat solus, in quam non intrabit, inquit, impurus ullus, non animalis, non carnalis, sed reservatur spiritualibus solis, quo qui pervenerint abiicere de-

phie. Vol. II. p. 124); cf. Jac. Bernaysius l. l. 79. Post *Περσεφόνην* videtur excidisse: *ὁ σωτὴρ εἴρηκεν,* cum superiora aperte referantur ad locum Matth. 7, 13 *ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς,* quae sequuntur autem opponi illis debebant. 80—82. Versus antea ignotos A. Meinekius *(Diar. antiq. Marburg.* a. 1852. IV, p. 375 sq.) Parmenidi ascribit, Goettlingius *(Progr. acad. Jen. a. 1853 p. 5)* Pampho Atheniensi. Roeperus suspicatur idem exemplum Graeci poetae obversatum esse Apuleio *Metamorph.* VI, 18. Hild. 80. *ἀτραπητὸς* C *ὀκρυόεσσα* C M 81. *ἢ δ'*] *ἧτ'* C: *ἥτ'* M 85. 86. *λαχόντες μόρους* [*μείζονας ἔνθα*] *μείζονας μοίρας λαμβ.* Jac. Bernaysius l. l. 86. 87. Cf. supra p. 156, 45. sq. 87. *ὁ οἶκος*] *οἶκος* C M 90. *βαλεῖν*] *λαβεῖν* C M

πάντας γενέσθαι νυμφίους ἀπηρσενωμένους διὰ τοῦ παρθενικοῦ πνεύματος. Αὕτη γάρ ἐστιν ἡ παρθένος ἡ ἐν γαστρὶ ἔχουσα καὶ συλλαμβάνουσα καὶ τίκτουσα υἱόν, οὐ ψυχικόν, οὐ σωματικόν, ἀλλὰ μακάριον αἰῶνα αἰώνων. Περὶ τούτων, φησί, διαρρήδην εἴρηκεν ὁ σωτὴρ ὅτι στενὴ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εἰσερχόμενοι εἰς αὐτήν, πλατεῖα δὲ καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς.

9. Ἔτι δὲ οἱ Φρύγες λέγουσι τὸν πατέρα τῶν ὅλων | εἶναι ἀμύγδαλον, οὐχὶ δένδρον, φησίν, ἀλλὰ εἶναι ἀμύγδαλον ἐκεῖνον τὸν προόντα, ὃς ἔχων ἐν ἑαυτῷ τὸν τέλειον καρπὸν οἱονεὶ διασφύζοντα καὶ κινούμενον ἐν βάθει, διήμυξε τοὺς κόλπους αὐτοῦ, καὶ ἐγέννησε τὸν ἀόρατον καὶ ἀκατονόμαστον καὶ ἄρρητον παῖδα ἑαυτοῦ, περὶ οὗ λαλοῦμεν. Ἀμύξαι γάρ ἐστιν οἱονεὶ ῥῆξαι καὶ διατεμεῖν, καθάπερ, φησίν, ἐπὶ τῶν φλεγμαινόντων σωμάτων καὶ ἐχόντων ἐν ἑαυτοῖς τινὰ συστροφὴν ἀμυχὰς οἱ ἰατροὶ λέγουσιν ἀνατεμόντες· οὕτως, φησί, Φρύγες τὸν ἀμύγδαλον καλοῦσιν, ἀφ' οὗ προῆλθε καὶ ἐγεννήθη ὁ ἀόρατος, δι' οὗ τὰ πάντα ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. Συρικτὰν δέ φασιν εἶναι Φρύγες τὸ ἐκεῖθεν γεγεννημένον, ὅτι πνεῦμα ἐναρμόνιόν ἐστι τὸ γεγεννημένον. Πνεῦμα γάρ, φησίν, ἐστὶν ὁ θεός· διό, φησίν, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνοῦσιν, οὔτε ἐν Ἱερουσαλὴμ οἱ ἀληθινοὶ προσκυνηταί, ἀλλὰ ἐν πνεύματι. Πνευματικὴ γάρ, φησίν, ἐστὶ τῶν τελείων ἡ προσκύνησις, οὐ σαρκική. Τὸ δὲ πνεῦμα, φησίν, ἐκεῖ ὅπου καὶ ὁ πατήρ, ὀνομάζεται καὶ ὁ υἱός, ἐκ τούτου τοῦ πατρὸς [ἐκεῖ] γεννώμενος. Οὗτος, φησίν, ἐστὶν ὁ πολυώνυμος μυριόμματος ἀκατάληπτος, οὗ πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται. Τοῦτο, φησίν, ἐστὶ τὸ

92—94. Cf. Jes. 7, 14. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν. 94. αἰῶνα αἰώνιον? 95—99. Cf. Matth. 7, 13, 14. Εἰσέλθατε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα — δι' αὐτῆς· τί στενὴ [ἡ πύλη] καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. 4. οἱονεὶ διασφύζοντα] οἷον ἰδίᾳ σφύζοντα C M διήμυξε Roeperus: διέμυξε C M 5. 6. καὶ ἄρρητον] ἄρρητον C M 9. ἀμυχὰς] ἃς ἀμυχὰς C M 12. φησὶν C 13. sqq. Cf. Ev. Jo. 4, 21 sqq. πίστευέ μοι ὅτι ἔρ-

bent vestes et omnes evadere sponsi demasculati per virginalem spiritum. Haec enim est virgo in ventre gestans et concipiens et pariens filium, non animalem, non corporalem, sed beatum aevum aeternum. De his, inquit, diserte dixit salvator: *Angusta et arta est via quae ducit ad vitam, et pauci sunt qui ingrediuntur eam, lata autem et spatiosa via quae ducit ad perditionem, et multi sunt qui permeant per eam.*

9. Praeterea autem Phryges dicunt patrem universorum esse *amygdalum,* non arborem, inquit, sed esse amygdalum illum ante existentem, qui habens in se perfectum fructum tamquam pulsantem et se moventem in profundo, perrupit (*διήμυξε*) sinus suos et generavit invisibilem et innominatum et ineffabilem filium suum, de quo loquimnr. *Ἀμύξαι* enim significat tamquam rumpere et scindere, sicuti, inquit, de febricitantibus corporibus et habentibus in se quandam convulsionem, *ἀμυχάς* dicunt medici resecantes. Sic, inquit, Phryges *amygdalum* vocant, a quo provenit et natus est invisibilis, *per quem omnia facta sunt et sine ipso factum est nihil. Fistulatorem* autem dicunt esse Phryges quod inde natum est, quia spiritus enharmonius est quod natum est. *Spiritus enim est,* inquit, *deus; quapropter,* inquit, *neque in monte hoc adorant, neque in Hierusalem veri adoratores, sed in spiritu. Spiritualis enim,* inquit, *est perfectorum adoratio, non carnalis.* Spiritus autem, inquit, ibi ubi et pater appellatur et filius ex hoc patre ibi natus. Hic, inquit, est multinominis, innumeris instructus oculis, incomprehensibilis, cuius omnis natura, alia autem aliter cupiens est. Hoc, inquit, est verbum dei, quod est, inquit, verbum praedicationis magnae potestatis. Quare erit obsignatum

χεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί . . . ἀλλὰ ἔρχεται ὥρα καὶ νῦν ἐστίν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ . . . . πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν
18. Obscurum est quid sibi velit *ἐκεῖ ὅπου* 19. *ἐκεῖ* abundare videtur 20. 21. *οὗ — ὀρέγεται*] Cf. supra p. 138, 34 sq. 21. *δὲ*] *τε* C M 21 sqq. Cf. infra l. VI, 9. p. 163, 83—90. ed. Oxon. ***Τοῦτο*** *τὸ γράμμα ἀποφάσεως φωνῆς καὶ ὀνόματος ἐξ ἐπινοίας τῆς μεγάλης δυνάμεως τῆς ἀπεράντου. Διὸ ἔσται ἐσφραγισμένον, κεκρυμμένον, κεκαλυμμένον, κείμενον ἐν τῷ οἰκητηρίῳ, οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται*

ῥῆμα τοῦ θεοῦ, ὅ, φησίν, ἐστὶ ῥῆμα ἀποφάσεως τῆς μεγάλης δυνάμεως· διὸ ἔσται ἐσφραγισμένον καὶ κεκρυμμένον καὶ κεκαλυμμένον, κείμενον ἐν τῷ οἰκητηρίῳ, οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται [ἀπό τε] αἰώνων, δυνάμεων, ἐπινοιῶν, θεῶν, ἀγγέλων, πνευμάτων ἀπεσταλμένων, ὄντων, μὴ ὄντων, γεννητῶν, ἀγεννήτων, ἀκαταλήπτων, καταληπτῶν, ἐνιαυτῶν, μηνῶν, ἡμερῶν, ὡρῶν, στιγμῆς ἀμερίστου, ἐξ ἧς ἐξάρχεται τὸ ἐλάχιστον αὐξῆσαι κατὰ μέρος· ἡ μηδὲν οὖσα, φησί, καὶ ἐκ μηδενὸς συνεστῶσα στιγμὴ ἀμέριστος | οὖσα γενήσεται ἑαυτῇ ἐπίνοιαν μέγεθός τι ἀκατάληπτον. Αὕτη, φησίν, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ὁ κόκκος τοῦ σινάπεως, ἡ ἀμέριστος ἐνυπάρχουσα τῷ σώματι στιγμή, ἣν οἶδε, φησίν, οὐδεὶς ἢ οἱ πνευματικοὶ μόνοι. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον· Οὐκ εἰσὶ λόγοι οὐδὲ λαλιαί, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Ταῦθ᾽ οὕτως σχεδιάζουσι, τὰ ὑπὸ πάντων ἀνθρώπων λεγόμενά τε καὶ γινόμενα, πρὸς ἴδιον νοῦν, πνευματικὰ φάσκοντες πάντα γίνεσθαι. Ὅθεν καὶ τοὺς θεάτροις ἐπιδεικνυμένους λέγουσι μηδ᾽ αὐτοὺς ἀπρονοήτως τι λέγειν ἢ ποιεῖν. Τοιγαροῦν, φησίν, ἐπὰν συνελθὼν ὁ δῆμος ἐν τοῖς θεάτροις εἰσίῃ τις ἠμφιεσμένος στολὴν ἔξαλλον, κιθάραν φέρων καὶ ψάλλων, οὕτως λέγει ᾄδων τὰ μεγάλα μυστήρια οὐκ εἰδὼς ἃ λέγει· Εἴτε Κρόνου γένος, εἴτε Διὸς μάκαρος, εἴτε Ῥέας μεγάλης, χαῖρε, τὸ κατηφὲς ἄκρισμα Ῥέας, Ἄττι· σὲ καλοῦσι μὲν Ἀσσύριοι τριπόθητον Ἄδωνιν, καλεῖ δ᾽ Αἴγυπτος Ὄσιριν, ἐπουράνιον μηνὸς κέρας Ἕλληνες, σοφίαν, Σαμοθρᾷκες Ἄδαμνα σεβάσμιον, Αἱμόνιοι Κορύβαντα, καὶ οἱ Φρύγες ἄλλοτε μὲν Πάπαν, ποτὲ δὲ νέκυν, ἢ θεόν, ἢ τὸν ἄκαρπον, ἢ | αἰπόλον, ἢ χλοερὸν στάχυν ἀμηθέντα, ἢ ὃν πολύκαρπος ἔτικτεν ἀμύγδαλος ἀνέρα συρικτάν. Τοῦτον φησὶν εἶναι πολύμορφον Ἄττιν, ὃν ὑμνοῦντες λέγουσιν οὕτως· Ἄττιν ὑμνήσω

25. *ἀπό τε* uncis inclusimus 26. 27. *γεννητῶν, ἀγεννήτων*] *γεγονότων, γεννητῶν* C: *γεγονότων, ἀγεννήτων* M 28. *ἐξ ἧς*] *ἑξῆς* C 30. *ἑαυτῇ ἐπίνοιαν* intelligi nequeunt: *αὐτῇ τῇ ἐπινοίᾳ* susp. M: *ἑαυτῆς ἐπινοίᾳ* Roeperus 32. *ὁ κόκκος τοῦ σινάπεως*] Cf. Matth. 13, 31. 32. Marc. 4, 31. 32. Luc. 13, 19. 34. 35. Psalm. 18, 4 *Οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν* 35. De his et quae sequuntur uberius disputatum est a Schneidewino in *Philolog.* tom. II.

et occultatum et absconditum in habitaculo, ubi radix omnium fundata est, aevorum, potestatum, cogitationum, deorum, angelorum, spirituum delegatorum, eorum, quae sunt quaeque non sunt, natorum, non natorum, incomprehensibilium, comprehensibilium, annorum, mensium, dierum, horarum, puncti indivisi, ex quo exorditur minimum crescere per partes. Nihil existens, inquit, et ex nihilo constans punctum, indivisum cum sit, paullatim procedet in magnitudinem quandam incomprehensibilem. Haec, inquit, est regnum caelorum, granum sinapis, quod indivisum inest in corpore punctum, quod novit, inquit, nemo nisi spirituales soli. Hoc, inquit, est dictum illud: *Non sunt sermones neque loquelae, quorum non audiuntur voces eorum.* Haec sic confingunt, ab omnibus hominibus quae vel dicuntur vel aguntur, ad suam mentem, spiritualia dictitantes omnia fieri. Quare et eos, qui in theatris artem profitentur, dicunt ne ipsos quidem sine numine quidquam loqui aut facere. Ergo igitur, inquit, cum populo in theatris congregato ingreditur quispiam indutus vestem insignem, citharam gestans et psallens, sic dicit canens magna mysteria, ignarus quid dicat: *Sive Saturni genus, sive Iovis beati, sive Rheae magnae, salve debile mutilamen Rheae, Attis. Te vocant Assyrii ter desideratum Adonin, vocat autem Aegyptus Osirin, caeleste Menae cornu Graeci, aut catum Mercurium, Samothraces Adamna venerabilem, Haemonii Corybantem, et Phryges alias Papam, aliquando autem mortuum, aut deum, aut sterilem, aut caprarium, aut viridem aristam demessam, aut quem ferax pariebat amygdalus virum fistulatorem.* Hunc ait esse multiformem Attin, quem hymno celebrantes dicunt ita: *Attin cantabo Rheae filium*

p. 261 sqq., deinde a Godofredo Hermanno in *Berichte der königl. sächs. Gesellschaft der Wissenschaften in Leipzig* 1849 p. 1 sqq., cuius disputationem expendit Schneidewinus in *Nachrichten von der G. A. Universität und der Königl. Gesellschaft der Wissenschaften zu Göttingen* 1852. No. 7. p. 101 sqq. Postremo Th. Bergkius *Poett. Lyr.* p. 1041 carmen apposuit 38. *μηδ'*] *μὴ* C 40. *εἰσίοι* C M 44. *ἄκρισμα* G. Hermannus: *ἄκουσμα* C M 45. *καλεῖ δ'* Roeperus: *ὅλη δ'* C M 46. *σοφίαν* corruptum est. Desiderari *Ἑρμοῦ* mentionem apparet ex p. 144 sqq., nisi forte in voce *σοφίαν* latet *Λόγιον* 47. *Ἄδαμνα* Th. Bergkius l. l., coll. Hesych. s. v. *Ἀδαμνεῖν*: *Ἀδὰμ* C M *Αἱμόνιοι* C M

τὸν Ῥείης, κωδώνων σὺν βόμβοις, οὐδ' αὐλῶν Ἰδαίων Κουρήτων μύκτητα, ἀλλ' εἰς Φοιβείαν μίξω μοῦσαν φορμίγγων, εὐοῖ, εὐάν, ὡς Πάν, ὡς Βακχεύς, ὡς ποιμὴν λευκῶν ἄστρων. Διὰ τούτους καὶ τοὺς τοιούτους λόγους παρεδρεύουσιν οὗτοι τοῖς λεγομένοις Μητρὸς μεγάλης μυστηρίοις, μάλιστα καθορᾶν νομίζοντες διὰ τῶν δρωμένων ἐκεῖ τὸ ὅλον μυστήριον. Οὐδὲν γὰρ ἔχουσι πλέον οὗτοι τῶν ἐκεῖ δρωμένων, πλὴν ὅτι οὐκ εἰσὶν ἀποκεκομμένοι, μόνον τὸ ἔργον τῶν ἀποκεκομμένων ἐκτελοῦσι. Πάνυ γὰρ πικρῶς καὶ πεφυλαγμένως παραγγέλλουσιν ἀπέχεσθαι ὡς ἀποκεκομμένοι τῆς πρὸς γυναῖκα ὁμιλίας. Τὸ δὲ λοιπὸν ἔργον, ὡς εἰρήκαμεν διὰ πολλῶν, ὥσπερ οἱ ἀπόκοποι δρῶσι· τιμῶσι δὲ οὐκ ἄλλο τι ἢ τὸν νάας οὗτοι, Ναασσηνοὶ καλούμενοι. Νάας δὲ ἐστὶν ὁ ὄφις, ἀφ' οὗ φησὶ πάντας εἶναι τοὺς ὑπὸ τὸν οὐρανὸν προσαγορευομένους ναούς, ἀπὸ τοῦ νάας· κἀκείνῳ μόνῳ τῷ νάας ἀνακεῖσθαι πᾶν ἱερὸν καὶ πᾶσαν τελετὴν καὶ πᾶν μυστήριον, καὶ καθόλου μὴ δύνασθαι τελετὴν εὑρεθῆναι ὑπὸ τὸν οὐρανόν, ἐν ᾗ ναὸς οὐκ ἔστι, καὶ ὁ νάας ἐν αὐτῷ, ἀφ' οὗ ἔλαχε ναὸς καλεῖσθαι. Εἶναι δὲ τὸν ὄφιν λέγουσιν οὗτοι τὴν ὑγρὰν οὐσίαν, καθάπερ καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ μηδὲν δύνασθαι τῶν ὄντων ὅλως ἀθανάτων ἢ θνητῶν, τῶν ἐμψύχων ἢ ἀψύχων συνεστηκέναι χωρὶς αὐτοῦ. Ὑποκεῖσθαι δὲ αὐτῷ τὰ πάντα, καὶ εἶναι αὐτὸν ἀγαθόν, καὶ ἔχειν πάντα ἐν αὐτῷ ὥσπερ ἐν κέρατι ταύρου μονοκέρωτος, ὥστε τὸ κάλλος [τῶν ἄλλων] καὶ τὴν ὡραιότητα ἐπι|διδόναι πᾶσι τοῖς οὖσι κατὰ φύσιν τὴν ἑαυτῶν καὶ οἰκειότητα, οἱονεὶ διὰ πάντων ὁδεύοντα, ὥσπερ ἐκπορευόμενον ἐξ Ἐδὲμ καὶ σχιζόμενον εἰς ἀρχὰς τέσσαρας. Ἐδὲμ δὲ εἶναι λέγουσι τὸν ἐγκέφαλον, οἱονεὶ δεδεμένον καὶ κατεσφιγμένον ἐν τοῖς περικειμένοις χιτῶσιν ὥσπερ οὐρανοῖς· παράδεισον δ' εἶναι νομίζουσι τὸν μέχρι μόνης τῆς κεφαλῆς ἄνθρωπον. Ἐξερχόμενον οὖν τοῦτον τὸν ποταμὸν ἐξ Ἐδέμ, τουτέστιν ἀπὸ τοῦ ἐγκεφάλου, ἀφορίζεσθαι εἰς ἀρχὰς τέσσαρας, καλεῖσθαι δὲ τὸ ὄνομα τοῦ πρώτου ποταμοῦ Φεισών, οὗτος ὁ κυκλῶν πᾶσαν

53. κωδώνων] οὐ ὠδινῶν C συμβόμβοις C 54. εἰς] οἷς C 55. εὐάν] εὐὼν C 70. ἔλαχε] ἔλαβε C M 76. ἐν κέρατι ταύρου μονοκέρωτος] Cf. 5 Mos. 33, 17 Πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέ-

non tubarum cum bombis nec rursus tibiarum Idaearum, quae accinunt Curetibus, sed in Phoebeam miscebo musam cithararum, evoe evan, cum sit Pan, cum Bacchus, cum pastor lucidorum astrorum. Propter haec et alia huiusmodi assident hi mysteriis quae dicuntur magnae Matris, maxime sese perspicere arbitrati per ea, quae ibi peraguntur, totum mysterium. Nihil enim hi plus habent quam ea, quae ibi aguntur, nisi quod non sunt excisi, sed quod excisorum est perficiunt. Valde enim austere et severe praecipiunt sese abstinere pariter atque excisi a consuetudine cum muliere. In reliquis, ut diximus pluribus, opus excisorum faciunt. Colunt autem nihil hi aliud quam Naas, Naasseni vocati. Naas autem est serpens, a quo ait esse omnia sub caelo quae vocantur templa (*ναούς*), a verbo quod est *νάας*, et illi soli Naas dedicatum esse omne sacrarium et omne initium et omne mysterium, et omnino non posse mysterium reperiri ullum sub caelo, in quo *ναός* non sit et *νάας* in eo, unde nactus est nomen *ναός*. Esse autem serpentem aiunt hi humidam materiem, sicuti etiam Thales Milesius, nec quidquam posse eorum quae existant omnino, sive immortalium sive mortalium, sive animatorum sive inanimatorum constare sine eo. Subiecta autem ei esse omnia, et esse eum bonum et habere omnia in se sicuti in cornu tauri unicornis, adeo ut pulcritudinem et venustatem impertiat universis quae extant secundum naturam singulorum et proprietatem, tamquam per omnia permeantem, sicuti *profectum ex Edem et se findentem in capita quattuor.* Edem autem esse aiunt cerebrum, tamquam vinctum et constrictum in circumplicatis vestibus uti caelis. Paradisum autem esse arbitrantur capite solum tenus hominem. *Exeuntem igitur hunc fluvium ex Edem*, hoc est cerebro, *dividi in capita quattuor, vocari autem nomen primi*

ρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ κ. τ. λ. *ὥστε* om C M, qui post *μονοκέρωτος* lacunam esse arbitratur *τῶν ἄλλων*, quod sensu caret, uncis inclusimus. 78. *οἱονεὶ διὰ*] *οἷον ἰδίᾳ* C M 78—80. Cf. 1 Mos. 2, 10 *Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς* 82. *οὐρανοῖς*] *Οὐρανόν?* *δ'* om C 83—85. Cf. 1 Mos. 2, 10 85—90. Cf. 1 Mos. 2, 11. 12. *Ὄνομα τῷ ἑνὶ Φισῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ, ἐκεῖ οὗ ἐστὶ τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστὶν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος.*

τὴν γῆν Εὐϊλάτ· ἐκεῖ οὗ ἐστὶ τὸ χρυσίον, τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν, καὶ ἐκεῖ ἐστὶν ὁ ἄνθραξ καὶ λίθος ὁ πράσινος. Οὗτος, φησίν, ἐστὶν ὀφθαλμός, τῇ τιμῇ καὶ τοῖς χρώμασι μαρτυρῶν τῷ λεγομένῳ. Τὸ δὲ ὄνομα τοῦ δευτέρου ποταμοῦ Γεών, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. Οὗτος, φησίν, ἐστὶν ἀκοή, λαβυρινθώδης τις ὤν. Καὶ ὄνομα τῷ τρίτῳ Τίγρις. Οὗτός ἐστιν ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. Οὗτος, φησίν, ἐστὶν ὄσφρησις, ὀξυτάτῃ χρώμενος τῇ φορᾷ τοῦ ῥεύματος· πορεύεται δὲ κατέναντι Ἀσσυρίων, ὅτι ἐκπνέοντι τῷ πνεύματι κατὰ τὴν ἀναπνοὴν τὸ ἔξωθεν ἀπὸ τοῦ ἀέρος συρόμενον ὀξύτερον καὶ βιαιότερον ἐπεισέρχεται πνεῦμα. Ἀναπνοῆς γάρ, φησίν, αὕτη φύσις. Ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης. Τοῦτον λέγουσι στόμα, δι' οὗ ἡ τῆς προσευχῆς ἔξοδος καὶ ἡ τῆς τροφῆς | εἴσοδος, ἣ εὐφραίνει καὶ τρέφει καὶ χαρακτηρίζει τὸν πνευματικὸν τέλειον ἄνθρωπον. Τοῦτο, φησίν, ἐστὶ τὸ ὕδωρ τὸ ὑπεράνω τοῦ στερεώματος, περὶ οὗ, φησίν, εἴρηκεν ὁ σωτήρ· Εἰ ᾔδεις τίς ἐστιν ὁ αἰτῶν, σὺ ἂν ᾔτησας παρ' αὐτοῦ, καὶ ἔδωκεν ἄν σοι πιεῖν ζῶν ὕδωρ ἁλλόμενον. Ἐπὶ τοῦτο, φησί, τὸ ὕδωρ πᾶσα φύσις ἔρχεται τὰς ἑαυτῆς οὐσίας ἐκλέγουσα, καὶ προσέρχεται ἑκάστῃ φύσει ἀπὸ τοῦ ὕδατος τούτου τὸ οἰκεῖον, φησί, μᾶλλον ἢ σίδηρος τῇ Ἡρακλείᾳ λίθῳ, καὶ ὁ χρυσὸς τῇ τοῦ θαλασσίου ἱέρακος κερκίδι, καὶ τὸ ἄχυρον τῷ ἠλέκτρῳ. Εἰ δέ τις, φησίν, ἐστὶ τυφλὸς ἐκ γενετῆς καὶ μὴ τεθεαμένος φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δι' ἡμῶν ἀναβλεψάτω καὶ ἰδέτω οἱονεὶ διά τινος παραδείσου παμφύτου καὶ πολυσπερμάτου ὕδωρ διερχόμενον διὰ πάντων τῶν φυτῶν καὶ τῶν σπερμάτων, καὶ ὄψεται, ὅτι ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ὕδατος ἐκλέγεται καὶ ἐπισπᾶται ἡ ἐλαία τὸ ἔλαιον καὶ ἡ ἄμπελος τὸν οἶνον καὶ τῶν ἄλλων κατὰ γένος ἕκαστον φυτῶν.

87. οὗ] οὖν C M 89. ἐστὶν om C M 90—92. Cf. 1 Mos. 2, 13 καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας 93. 94. Cf. 1 Mos. 2, 14 καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων 95. φησίν] φασίν C M 97. τὸ ἔξωθεν] τοῦ ἔξωθεν C: τὴν ἔξωθεν susp. M 99. 1 Mos. 2, 14 2. ἣ om C M 4. τὸ ὕδωρ — στερεώματος] Cf. 1 Mos. 1, 7 καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω

fluvii Phison; ipse est qui circuit omnem terram Hevilath, ubi nascitur aurum. Et aurum terrae illius optimum est; ibi invenitur bdellium et lapis onychinus. Hic, inquit, est oculus, honore et coloribus testificans id quod dicitur. *Nomen autem secundi fluvii Gehon; ipse est qui circuit omnem terram Aethiopiae.* Hic est, inquit, auditus, cum sit perplexus quidam instar labyrinthi. *Et nomen tertio Tigris; ipse vadit ex adverso Assyriis.* Hic, inquit, est olfactus, acerrimo usus impetu flaminis. Vadit autem ex adverso Assyriis, quoniam expiranti spiritui per respirationem spiritus extrinsecus ab aëre tractus (*ἀπὸ τοῦ ἀέρος συρόμενον*) acrior et vehementior insuper ingreditur. Respirationis enim, inquit, haec est natura. *Fluvius autem quartus est Euphrates.* Hunc dicunt os, per quod precacationis exitus et nutrimenti introitus, quod mulcet (*εὐφραίνει*) et nutrit et effigiat spiritualem perfectum hominem. Haec, inquit, est *aqua, quae est supra firmamentum*, de qua, inquit, dixit salvator: *Si scires, quis est qui petit, tu forsitan petisses ab eo, et dedisset tibi bibere vivam aquam salientem.* Ad hanc, inquit, aquam omnis natura propinquat, suas quaeque eligens essentias, et accedit cuique naturae ab hac aqua, quod cuique proprium est, inquit, magis quam lapidi Herculeo ferrum et aurum marini accipitris spinae et palea electro. Sin quis, inquit, est caecus a natalibus nec conspicatus veram lucem, *quae illuminat omnem hominem venientem in mundum*, per nos recipiat visum et cernat tamquam per paradisum quendam omni arbore consertum et multis frugibus consitum aquam permeantem per omnes arbores et fruges, et videbit ex una eademque aqua sibi eligere et attrahere olivam oleum et vitem vinum et reliquarum generatim singulam quamque plantarum.

τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. 5—7. Cf. Ev. Jo. 4, 10 *Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν* coll. v. 14 *τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον* 8. *ἔρχεται*] *εἰσέρχεται* C M *ἑκάστη φύσις* C 11. *τῷ ἀχύρῳ τὸ ἤλεκτρον* C; cfr. infra p. 137, 10 ed. Oxon. M 12. *ἐκ γεννητῆς* C; cf. Ev. Jo. 9, 1 *καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς.* 12. 13, *φῶς — κόσμον* Ev. Jo. 1, 9 14. *παμφύτου*] *συμφύτου* C M

Ἔστι δέ, φησίν, ὁ ἄνθρωπος ἐκεῖνος ἄτιμος ἐν τῷ κόσμῳ, καὶ πολύτιμος . . . . . . ὑπὸ τῶν οὐκ εἰδότων τοῖς οὐκ εἰδόσιν αὐτόν, λελογισμένος ὡς σταγὼν ἀπὸ κάδου· ἡμεῖς δ' ἐσμέν, φησίν, οἱ πνευματικοί, οἱ ἐκλεγόμενοι ἀπὸ τοῦ ζῶντος ὕδατος τοῦ ῥέοντος Εὐφράτου διὰ τῆς Βαβυλῶνος μέσης τὸ οἰκεῖον, διὰ τῆς πύλης ὁδεύοντες ἀληθινῆς, ἥτις ἐστὶν Ἰησοῦς ὁ μακάριος. Καὶ ἐσμὲν ἐξ ἁπάντων ἀνθρώπων ἡμεῖς Χριστιανοὶ μόνοι ἐν τῇ τρίτῃ πύλῃ ἀπαρτίζοντες τὸ μυστήριον καὶ χριόμενοι | ἐκεῖ ἀλάλῳ χρίσματι ἐκ κέρατος, ὡς Δαβίδ, οὐκ ὀστρακίνου φακοῦ, φησίν, ὡς ὁ Σαούλ, ὁ συμπολιτευόμενος τῷ πονηρῷ δαίμονι τῆς σαρκικῆς ἐπιθυμίας.

10. *Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὡς ὀλίγα παρεθέμεθα. Ἔστι γὰρ ἀναρίθμητα τῆς μωρίας ἐπιχειρήματα ὄντα φλύαρα καὶ μανιώδη· ἀλλ' ἐπειδὴ δυνάμει τὴν ἄγνωστον αὐτῶν γνῶσιν ἐξεθέμεθα, καὶ τοῦτο ἔδοξε παραθεῖναι. Ψαλμὸς αὐτοῖς ἐσχεδίασται οὗτος, δι' οὗ πάντα αὐτοῖς τὰ τῆς πλάνης μυστήρια δοκοῦσιν ὑμνῳδεῖν οὕτως·*

Νόμος ἦν γενικὸς τοῦ παντὸς ὁ πρῶτος νόος·
ὁ δὲ δεύτερος ἦν τοῦ πρωτοτόκου τὸ χυθὲν χάος.
Τριτάτη ψυχὴ δ' ἔλαβεν ἐργαζομένην νόμον.
Διὰ τοῦτ' ἔλαφον μορφὴν περικειμένη
κοπιᾷ θανάτῳ μελέτημα κρατουμένη·
ποτὲ βασιλείαν ἔχουσα βλέπει τὸ φῶς,
ποτὲ δ' εἰς ἔλεον ἐρριμμένη κλαίει,
ποτὲ δὲ κλαίεται χαίρει,
ποτὲ δέ κλαίει κρίνεται,
ποτὲ δὲ κρίνεται θνήσκει,
ποτὲ δὲ γίνεται ἀνέξοδος ἡ μελέα κακῷ
λαβύρινθον εἰσῆλθε πλανωμένη
εἶπεν διησοῦς ἐσὸρ πάτερ |

20. Post verbum *πολύτιμος* lacuna, quae sic expleri potest: *ἐν τῷ οὐρανῷ, προδεδομένος* M   21. *λελογισμένως· ὡς γὰρ* C M: cf. Jes. 40, 15 *Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν κ. τ. λ.*   *κάδου· ἡμεῖς δ'*] *κάδου οἵτινες* C M, qui pro *οἵτινες* susp. *οὕτως* sive *τινές*   23. 24. *διὰ — Ἰησοῦς ὁ μακάριος*] Cf. supra p. 156, 48   26. 27. *χριόμενοι — χρίσματι*] Cf. supra p. 140, 89   27. *ὡς*] *ᾧ* C M   *κέρατος — Δαβίδ*] Cf. 1 Samuel. 16, 13 *καὶ ἔλαβε Σαμουὴλ τό κέρας τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν κ. τ. λ.*   27. 28.

Est autem, inquit, homo ille ignobilis in mundo et pernobilis [in caelis, proditus] ab ignorantibus eum iis qui ignorant, aestimatus ut gutta a cado; nos autem sumus, inquit, spirituales, qui nobis eligimus a viva aqua fluentis Euphratis per mediam Babylonem domesticum, per portam meantes veram, quae est Iesus beatus. Et sumus ex omnibus hominibus nos Christiani soli in tertia porta perficientes mysterium et uncti ibi ineffabili unguento ex cornu ut David, non ex fictili olla, ut Saul, conversatus cum malo daemone carnalis concupiscentiae.

10. Et haec quidem ut pauca de multis apposuimus. Sunt enim innumerabilia stultitiae conamina, inepta illa et vesana. Sed cum pro viribus insanientem eorum sapientiam exposuerimus, et hoc visum est apponere. Psalmus iis fusus est talis, per quem omnia sua erroris mysteria videntur cantu concelebrare in hunc modum:

ὀστρακίνου φακοῦ — Σαούλ] Cfr. 1 Sam. 10, 1 καὶ ἔλαβε Σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ 28. 29. ὁ συμπολιτευόμενος — ἐπιθυμίας] Cf. 1 Sam. 16, 14 καὶ πνεῦμα κυρίου ἀπέστη ἀπὸ Σαούλ, καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρὸν παρὰ κυρίου 32. τῇ δυνάμει susp. M: ἐν δυνάμει? 34. οὗτος] οὕτως C 35. δοκοῦσιν ὑμνῳδεῖν] δοκοῦσι διὰ ὕμνου ἀεὶ δοῦν C; δοκοῦσι διὰ ὕμνου ἀείδειν M 36. sqq. Hunc hymnum citra spem salutis corruptum attrectare veriti sumus; ergo secuti sumus Millerum 36. ὁ πρώτιστος νόος susp. M 38. τρίτατον M ἐργαζομένη M δ' ἔλαβ' ἔνθ' ἐργ. susp. M 39. τοῦτ' ἔλαφον] τοῦτο ἔλαφον C: τοῦτ' ἐλάφου susp. M 41. ποτὲ μὲν βασιλείαν M 42. ἔλεον] ἔλαιον C ἐρριμένη C 46. κακῶν M 47. ἐσῆλθε M 48. εἶπεν δ' Ἰησοῦς, ἐσόρα πάτερ M

ζήτημα κακῶν ἐπὶ χθόνα
ἀπὸ σῆς πνοῆς ἐπιπλάζεται.
Ζητεῖ δὲ φυγεῖν τὸ πικρὸν χάος,
καὶ οὐκ οἶδε πῶς διελεύσεται.
Τούτου με χάριν πέμψον, πάτερ·
σφραγῖδας ἔχων καταβήσομαι.
αἰῶνας ὅλους διοδεύσω,
μυστήρια πάντα διανοίξω,
μορφὰς δὲ θεῶν ἐπιδείξω·
καὶ τὰ κεκρυμμένα τῆς ἁγίας ὁδοῦ
γνῶσιν καλέσας, παραδώσω.

11. *Ταῦτα μὲν οὖν οἱ Ναασσηνοὶ ἐπιχειροῦσιν, ἑαυτοὺς γνωστικοὺς ὀνομάζοντες· ἀλλ' ἐπεὶ πολυκέφαλός ἐστιν ἡ πλάνη καὶ πολυσχιδὴς ὡς ἀληθῶς ἱστορουμένη ὕδρα, κατὰ μίαν ταύτης [τὰς] κεφαλὰς πατάξαντες διὰ τοῦ ἐλέγξαι, τῇ τῆς ἀληθείας ῥάβδῳ χρησάμενοι, ἅπαν τὸ θηρίον ἀναιρήσομεν· οὐδὲ γὰρ αἱ λοιπαὶ αἱρέσεις πολὺ ταύτης ἀπεμφαίνουσι, συνεχόμεναι ἐν πλάνης πνεύματι. Ἀλλ' ἐπειδὴ τὰ ῥήματα καὶ τὰ ὀνόματα τοῦ ὄφεως ἐνδιαλλάξαντες πολλὰς εἶναι κεφαλὰς τοῦ ὄφεως ἠθέλησαν, οὐδὲ οὕτως ἐνδεήσομεν διελέγξαι ὡς βούλονται.*

12. *Ἔστι γοῦν καὶ ἑτέρα τις Περατική, ὧν πολλοῖς ἔτεσιν ἔλαθεν ἡ κατὰ Χριστοῦ δυσφημία· ὧν νῦν εἰς φανερὸν ἄγειν ἔδοξε τὰ ἀπόρρητα μυστήρια. Οὗτοι φάσκουσι τὸν κόσμον εἶναι ἕνα, τριχῇ διῃρημένον. Ἔστι δὲ τῆς τριχῇ διαιρέσεως παρ' αὐτοῖς [τὸ μὲν ἓν μέρος] οἷον μία τις ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τῷ λόγῳ | τμηθῆναι τομὰς δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προεχεστέρα κατ' αὐτούς ἐστιν ἡ τριάς, καὶ [τὸ μὲν ἓν μέρος] καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον τῆς τριάδος αὐτῶν μέρος οἱονεὶ δυνάμεων ἄπειρόν τι πλῆθος ἐξ αὐτῶν γεγενημένων· τὸ τρίτον ἰδικόν. Καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον, ὅπερ ἐστὶν ἀγαθόν· τὸ δέ δεύτερον ἀγαθὸν αὐτογενές· τὸ τρίτον γεννητόν· ὅθεν διαρρήδην λέγουσι τρεῖς θεούς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου τῆς διαιρέσεως διακεκριμένης διδό-*

49. *ἐπὶ*] *τόδ' ἐπὶ* susp. M 52. *κοὐκ οἶδεν ὅπως* M 56. *δ' ἀνοίξω* M 58. *κεκρυμμένα*] *κρυπτά τε* susp. M 62. *πολυσχεδὴς* C 63. *τὰς κεφαλὰς*] *κεφαλὴν* C 69. sqq. Cf. infra l. X, 10, p. 315. 316 ed. Oxon. Post *Περατική* fort. desunt quaedam M:

11. Et haec quidem Naasseni conantur, semet ipsi gnosticos appellantes. Sed cum multiceps sit error eorum et multiplex, ut vere quae in fabulis est hydra, uno ictu capita eius ubi percusserimus coarguendo, veritatis virga usi, totam bestiam tollemus; neque enim reliquae haereses multum ab hac abludunt, quippe quae contineantur erroris spiritu. Sed cum verba et nomina serpentis commutantes multa esse capita serpentis voluerint, ne sic quidem omittemus coarguere, ut volunt.

12. Est certe etiam quoddam caput hydrae quod est Peratarum, quorum multis annis latuit erga Christum ludibrium, quorum nunc visum est in lucem prodere arcana mysteria. Hi dictitant mundum esse unum, trifariam divisum. Est autem trifariae divisionis apud eos quasi unum quoddam initium tanquam magnus fons, in infinita per rationem dissecabilis segmenta. Primum autem segmentum et potius secundum eos est trias, et una quidem pars appellatur bonum perfectum, magnitudo patria, secunda autem triadis eorum pars tanquam potestatum innumera quaedam multitudo ex sese genitarum, tertia speciale. Et est prima quidem id quod non genitum est bonum, secunda autem bonum ex se genitum, tertia genitum, unde perspicue dicunt tres deos, tres logos, tres mentes, tres homines. Singulis enim partibus mundi, divisione discreta, tribuunt et deos et logos et mentes et homines et quae reliqua sunt. Desuper autem ex non-generatione et primo mundi se-

Quae desunt supplet Epitome l. X, 10 l. l. 72. *τριχῇ*] *τριχῆς* C 73. *τὸ μὲν ἓν μέρος* ut aperte ab hoc loco alienum seclusimus. Cf. infra lin. 75 75. *προσεχεστέρα* C M *ἐστὶν ἡ τριάς*] *ἐστὶ τριάς* C M; cf. infra p. 315, 21 ed. Oxon. *τὸ μὲν ἓν μέρος*] Verba haec, quae paullo ante delenda, in hunc locum reducenda esse videntur, ut ratio constet. 78. *ἐξ αὐτῶν γεγενημένων* Bernaysius *ep. crit. ad Bunsen.* l. l. p. 314: *ἐξ αὐτῶν γεγενημένον* C M 82. *διακεκρυμμένης* C; cf. infra p. 315, 28 ed. Oxon.

ασι καὶ θεοὺς καὶ λόγους καὶ νοῦς καὶ ἀνθρώπους καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς πρώτης τοῦ κόσμου τομῆς, καθεστηκότος λοιπὸν τοῦ κόσμου ἐπὶ συντελείᾳ, κατεληλυθέναι δι᾽ αἰτίας, ἃς ὕστερον ἐροῦμεν, ἐν τοῖς Ἡρώδου χρόνοις τριφυῆ τινὰ καὶ τρισώματον καὶ τριδύναμον ἄνθρωπον καλούμενον Χριστόν, ἀπὸ τῶν τριῶν ἔχοντα τοῦ κόσμου μερῶν ἐν ἑαυτῷ πάντα τὰ συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναι φησὶ τὸ λεγόμενον· Π ᾶ ν τ ὸ π λ ή ρ ω μ α ε ὐ δ ό κ η σ ε κ α τ ο ι κ ῆ σ α ι ἐ ν α ὐ τ ῷ σ ω μ α τ ι κ ῶ ς, καὶ π ᾶ σ ά ἐ σ τ ι ν ἐ ν α ὐ τ ῷ ἡ θ ε ό τ η ς τῆς οὕτω διῃρημένης τριάδος. Κατενηνέχθαι γάρ φησιν ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου καὶ τοῦ αὐτογενοῦς, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμὲν ἡμεῖς, παντοίων δυνάμεων σπέρματα. Τίς δέ ἐστιν ὁ τρόπος τῆς καταβάσεως αὐτῶν, ὕστερον ἐροῦμεν. Κατεληλυθέναι οὖν φησὶ τὸν Χριστὸν ἄνωθεν ἀπὸ τῆς ἀγεννησίας, ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ πάντα σωθῇ τὰ τριχῇ διῃρημένα. Τὰ μὲν γάρ, φησίν, ἄνωθεν κατενηνεγμένα κάτω ἀνελεύσεται δι᾽ αὐτοῦ· τὰ δὲ ἐπιβου|λεύσαντα τοῖς κατενηνεγμένοις ἄνωθεν ἀφίεται καὶ κολασθέντα ἀπολέγεται. Τοῦτό ἐστι, φησί, τὸ εἰρημένον, Ο ὐ γ ὰ ρ ἦ λ θ ε ν ὁ υ ἱ ὸ ς τ ο ῦ ἀ ν θ ρ ώ π ο υ ε ἰ ς τ ὸ ν κ ό σ μ ο ν, ἀ π ο λ έ σ α ι τ ὸ ν κ ό σ μ ο ν, ἀ λ λ᾽ ἵ ν α σ ω θ ῇ ὁ κ ό σ μ ο ς δ ι᾽ α ὐ τ ο ῦ. Κόσμον, φησί, καλεῖ τὰς δύο μοίρας τὰς ὑπερκειμένας, τήν τε ἀγέννητον καὶ τὴν αὐτογέννητον. Ὅταν δὲ λέγῃ, φησίν· ἵ ν α μ ὴ σ ὺ ν τ ῷ κ ό σ μ ῳ κ α τ α κ ρ ι θ ῶ μ ε ν ἡ γραφή, τὴν τρίτην μοῖραν λέγει τοῦ κόσμου τοῦ ἰδικοῦ. Τὴν μὲν γὰρ τρίτην δεῖ φθαρῆναι, ἣν καλεῖ κόσμον, τὰς δὲ δύο τῆς φθορᾶς ἀπαλλαγῆναι τὰς ὑπερκειμένας.

13. *Μάθωμεν οὖν πρῶτον, πῶς ταύτην τὴν διδαχὴν παρὰ τῶν ἀστρολόγων εἰληφότες ἐπηρεάζουσι Χριστόν, ἐργαζόμενοι φθορὰν τοῖς ἑπομένοις αὐτοῖς ἐν τῇ τοιαύτῃ πλάνῃ. Οἱ γὰρ ἀστρολόγοι ἕνα τὸν κόσμον εἰρηκότες διαιροῦσιν αὐτὸν εἰς τὰ ἀπλανῆ τῶν ζῳδίων μέρη δώδεκα, καὶ καλοῦσι τὸν κόσμον τῶν ζῳδίων τῶν ἀπλανῶν ἕνα κόσμον ἀπλανῆ· ἕτερον δὲ εἶναι τὸν τῶν πλανωμένων καὶ δυνάμει καὶ θέσει καὶ ἀριθμῷ κόσμον λέγουσιν, ὅς ἐστι μέχρι σελήνης. Λαμβάνειν δὲ κόσμον ἀπὸ*

84. *τῆς πρώτης*] *πρὸ τῆς* C M; cf. infra p. 315, 20 ed. Ox.: *πρώτης* J. Bernaysius l. l. 87. *τρίσωμον* C M; cf. infra p. 315, 32.

gmento, cum constitisset deinceps mundus ad consummationem, descendisse ob causas, quas postea reddemus, Herodis temporibus trinaturatum quendam et tricorporem et tripotentem hominem vocatum Christum, in se habentem a tribus partibus mundi omnia concrementa et potestates. Et hoc ait esse quod dicitur: *Omnem plenitudinem complacuit inhabitare in ipso corporaliter*, et omnis inest in ipso divinitas sic divisae triadis. Delata enim esse ait a superiacentibus mundis duobus, et non generato et ex se ipso generato, in hunc mundum, in quo versamur nos, omnifariarum potestatum semina. Qui autem sit modus descensionis eorum, posthac aperiemus. Devenisse igitur Christum dicit desuper a non-generatione, ut per descensionem eius omnia salventur trifariam divisa. Quae enim, inquit, desuper devenerunt infra, ascendent per eum. Ea autem, quae insidiata sunt delapsis desuper, abiiciuntur et punita ablegantur. Hoc est, inquit, quod dictum est: *Non enim venit filius hominis in mundum ad perdendum mundum, sed ut salvetur mundus per ipsum.* Mundum, inquit, vocat duas illas partes, quae superiacent, et non genitam et ex se ipsa genitam. Cum autem dicit, inquit: *ut non cum mundo damnemur* scriptura, tertiam partem dicit, qui est mundus specialis. Tertiam enim oportet perire, quam dicit mundum, reliquas autem duas seiungi ab interitu, superiacentes.

13. Videamus igitur primum, quomodo hanc doctrinam ab astrologis mutuati infament Christum, afferentes perniciem iis, qui eos sequuntur in tali errore. Astrologi enim unum statuentes mundum dividunt eum in non errantes signorum animalium partes duodecim et vocant signorum non errantium mundum unum mundum non errantem; alterum autem esse errantium et vi et positura et numero mundum dicunt, qui est

90—92. cf. Coloss. 2, 9 *ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*, coll. Col. 1, 19 93. *γὰρ*] *δὲ* legitur infra p. 315, 37 93. 94. *ἀγενήτου* C 97. *ἀγενησίας* C 1. *ἀφίεται καὶ*] *ἀφίει καὶ* CM: *ἀφιεῖ εἰκῇ καὶ* infra p. 316, 45 ed. Ox.: *ὀφιοειδῆ* J. Bernaysius l. l. p. 314 sqq. 2—5. Cf. Ev. Jo. 3, 17 *οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ* 7. 1. Cor. 11, 32 8. *τοῦ — ἰδικοῦ*] *τὸν κόσμον τὸν ἰδικόν* J. Bernaysius l. l. p. 315. 18. *ὅς ἐστι μέχρι*] *ὅ ἐστι μέρος* C M

κόσμου δύναμίν τινα καὶ μετουσίαν, καὶ μετέχειν ἀπὸ τῶν ὑπερκειμένων τὰ ὑποκείμενα. Ἵνα δὲ ἔσται τὸ λεγόμενον ἐμφανές, αὐταῖς ἐκείναις ταῖς τῶν ἀστρολόγων ἐκ μέρους χρήσομαι φωναῖς ὑπομνήσων τοὺς ἐντυγχάνοντας τὰ προειρημένα ἐν τῷ τόπῳ, οὗ ἐξεθέμεθα τὴν τῶν ἀστρολόγων πᾶσαν τέχνην. Ἃ μὲν οὖν ἐκείνοις δοκεῖ ἔστι τάδε· ἀπὸ τῆς τῶν ἄστρων ἀπορροίας τὰς γενέσεις τῶν ὑποκειμένων ἀποτελεῖσθαι. Περιεργότερον γὰρ ἀναβλέψαντες εἰς τὸν οὐρανὸν οἱ Χαλδαῖοι ἔφασαν δραστικῶν μὲν αἰτιῶν ἐπέχειν λόγον | εἰς ἕκαστον τῶν καθ' ἡμᾶς συμβαινόντων [ἐκβαίνειν τοὺς ἑπτὰ ἀστέρας], συνεργεῖν δὲ τὰ τῶν ἀπλανῶν ζωδίων μέρη. [Τὸν μὲν οὖν ζωδιακὸν κύκλον διαιροῦσιν εἰς μέρη] δώδεκα, ἕκαστον δὲ ζώδιον εἰς μοίρας τριάκοντα, ἑκάστην δὲ μοῖραν εἰς ἑξήκοντα λεπτά· οὕτω γὰρ καλοῦσι τὰ ἐλάχιστα καὶ τὰ ἀμερῆ. Τῶν δὲ ζωδίων τὰ μὲν ἀρρενικὰ καλοῦσι, τὰ δὲ θηλυκά· καὶ τὰ μὲν δίσωμα, τὰ δὲ οὔ· καὶ τὰ μὲν τροπικά, τὰ δὲ στερεά. Ἀρρενικὰ μὲν οὖν ἐστιν ἢ θηλυκά, ἅπερ συνεργὸν ἔχει φύσιν πρὸς ἀρρενογονίαν [ἢ θηλυγονίαν]· Κριὸς γὰρ ἀρρενικόν ἐστι ζώδιον, Ταῦρος δὲ θηλυκόν, καὶ τὰ λοιπὰ κατὰ τὴν αὐτὴν ἀναλογίαν ἃ μὲν ἀρρενικά, ἃ δὲ θηλυκά. Ἀφ' ὧν οἴομαι οἱ Πυθαγορικοὶ κινηθέντες τὴν μὲν μονάδα ἄρρεν προσαγορεύουσι, τὴν δὲ δυάδα θῆλυ, τὴν δὲ τριάδα πάλιν ἄρρεν· καὶ ἀναλόγως τοὺς λοιποὺς τῶν τε ἀρτίων καὶ περισσῶν ἀριθμῶν. Ἔνιοι δὲ καὶ ἕκαστον ζώδιον εἰς δωδεκατημόρια διελόντες τῇ αὐτῇ σχεδὸν ἐφόδῳ χρῶνται, οἷον ἐπὶ Κριοῦ [τὸ μὲν πρῶτον δωδεκατημόριον αὐτοῦ Κριόν τε] καλοῦσι καὶ ἄρρεν, τὸ δὲ δεύτερον Ταῦρόν τε καὶ θῆλυ, τὸ δὲ τρίτον Διδύμους τε καὶ ἄρρεν, καὶ ἐπὶ τῶν ἄλλων μοιρῶν δὲ ὁ αὐτὸς λόγος. Δίσωμα δὲ εἶναι λέγουσι ζώδια [Διδύμους τε καὶ τὸν] διαμετροῦντα τούτοις Τοξότην, Παρθένον τε καὶ Ἰχθύας· οὐ δίσωμα δὲ τὰ λοιπά. Καὶ ὡσαύτως τροπικὰ μέν, ἐν οἷς γενόμενος ὁ ἥλιος μεταλλάσσει

21. 22. *χρήσωμαι* C 24. *οὖν*] *οὖν ὡς* C Quae sequuntur hausta sunt ex Sexto Empirico *adv. Mathem.* V, 5 sqq. p. 729 sqq. ed. Bekker 27. *ἔφθασαν* C 28. *ἐκβαίνειν τοὺς ἑπτὰ ἀστέρας* om C M, suppleta ex Sexto 29. 30. *τὸν μὲν οὖν ζωδιακὸν κύκλον διαιροῦσιν εἰς μέρη* suppeditavit Sextus omissa in C M 34. *στερεά* Sextus: *ἕτερα* C M 36. *ἢ θηλυγονίαν* Sextus: om C et Sexti Cod. Cizensis 38. *οἱ Πυθαγορικοὶ* Sextus: *Πυθαγορικοὶ* C 41. *λοι-*

usque ad lunam. Accipere autem mundum a mundo vim quandam et communionem et participare a superiacentibus subiacentia. Ut autem quod diximus luculenter appareat, ipsis illis astrologorum singulatim utar vocibus, admoniturus lecturos eorum, quae ante dicta sunt eo loco, ubi exposuimus astrologorum universam artem. Quae igitur illis placent haec sunt. Ab astrorum defluxione genituras subiacentium perfici. Curiosius enim contemplati caelum Chaldaei dixerunt agentium causarum continere rationem ad singula quaeque, quae eveniat ut nobis accidant, septem stellas, adiuvare autem non errantium signorum partes. Zodiacum igitur orbem dividunt in partes duodecim, unumquodque autem signum in partes triginta, unamquamque autem partem in sexaginta minuta; sic enim appellant minima et indivisa. Signorum autem alia mascula appellant, alia feminea, et alia bicorpora, alia non, et alia tropica, alia fixa. Mascula igitur sunt aut feminina, quaecunque natura sua adiuvant masculam generationem aut femininam. Aries enim masculum est signum, taurus antem femininum; et reliqua ad eandem rationem vel mascula vel feminina. Unde, ut opinor, Pythagorici orsi monadem masculum quoddam appellant, dyadem autem femininum, triadem autem rursus masculum, et eadem ratione reliquos et parium et imparium numerorum. Quidam autem et unumquodque signum in duodenas partes dividentes eadem fere via utuntur: veluti in ariete primam duodecim eius partium et arietem vocant et masculum, secundam autem et taurum et femininum, tertiam autem et geminos et masculum, et in reliquis etiam partibus consimiliter. Bicorpora autem esse aiunt signa et geminos et qui exadversum illis est sagittarium, virginemque et pisces, non bicorpora autem reliqua. Et pariter tropica quidem, in quibus cum constitit sol

ποὺς Sextus: *λόγους* C M *ἀρτίων καὶ* Sextus: *ἀρτίων τε καὶ* C 42. *δωδεκατημόρια* Sextus: *δωδεκατημόριον* C M 43. *τὸ μὲν πρῶτον — Κριόν τε* Sextus: om C M 44. *καλοῦσι καὶ ἄρρεν* Sextus: *καλοῦσιν ἄρρεν* C M 44. 45. *Ταῦρόν τε* Sextus: *Ταῦρον, ἄρρεν τε* C M 45. *Διδύμους τε* Sextus: *Διδύμους* C M 46. *μοιρῶν δὲ* Sextus: *μοιρῶν δὶς* C M 47. *ζώδια Διδύμους τε καὶ τὸν διαμ.* Sextus: *ζώδια τὰ διαμ.* C M 49. *τροπικὰ* Sextus: *τροπικὰς* C 49. 50. *μεταλλάσσει καὶ ποιεῖ* Sextus: *μεγάλας ἐμπεριποιεῖ* C M

καὶ ποιεῖ τοῦ περιέχοντος τροπάς, οἷόν ἐστι ζώδιον ὅ τε Κριὸς καὶ ὁ τούτου διάμετρος, καθάπερ Ζυγός, Αἰγόκερώς τε καὶ Καρκίνος. Ἐν Κριῷ μὲν γὰρ ἐαρινὴ γίνεται τροπή, ἐν Αἰγοκέρῳ δὲ χειμερινή, ἐν Καρκίνῳ δὲ θερινή, ἐν Ζυγῷ δὲ φθινοπωρινή. Ταῦτα | δὲ καὶ τὸν περὶ τούτων λόγον λεπτομερῶς ἐξεθέμεθα ἐν τῇ πρὸ ταύτης βίβλῳ, ὅθεν ἔστι μαθεῖν τὸν φιλομαθῆ, ὡς οἱ τῆς Περατικῆς αἱρέσεως ἀρχηγοὶ Εὐφράτης ὁ Περατικὸς καὶ Κέλβης ὁ Καρύστιος, μεταγαγόντες ὀνόματι μόνον διήλλαξαν, δυνάμει δὲ τὰ ὅμοια ἔθεντο, καὶ αὐτοὶ τῇ τέχνῃ κατακόρως προσέχοντες. Καὶ γὰρ ὅρια τῶν ἀστέρων οἱ ἀστρολόγοι λέγουσιν, ἐν οἷς μᾶλλον δύνασθαι φάσκουσι τοὺς ἄρχοντας ἀστέρας, οἷον [ἔν τισι μὲν κακοποιοῦσιν], ἔν τισι δὲ ἀγαθοποιοῦσιν, ὧν καί τινας κακοποιοὺς λέγουσι, τινὰς δὲ ἀγαθοποιούς. Ἐπιβλέπειν δὲ λέγονται ἀλλήλους καὶ συμφωνεῖν ἀλλήλοις, ὡς οἱ κατὰ τρίγωνον [ἢ τετράγωνον φαινόμενοι. Κατὰ τρίγωνον μὲν οὖν] σχηματίζονται ἐπιθεωροῦντες ἀλλήλους ἀστέρες, ἐπὶ τριῶν ζωδίων ἔχοντες τὸ μεταξὺ διάλειμμα, κατὰ τετράγωνον δὲ οἱ δυεῖν. [Ὃν δὲ τρόπον ἐν τῷ ἀνθρώπῳ] κεφαλῇ μὲν τὰ ὑποκείμενα μέρη συμπάσχειν, συμπάσχειν δὲ καὶ τοῖς ὑποκειμένοις τὴν κεφαλήν, οὕτως καὶ τοῖς ὑπερσεληναίοις τὰ ἐπίγεια. Ἀλλὰ γάρ τις ἐστὶ τούτων διαφορὰ καὶ ἀσυμπάθεια, ὡς ἂν μὴ μίαν καὶ τὴν αὐτὴν ἐχόντων ἕνωσιν. Ταύτην τὴν σύστασιν καὶ τὴν διαφορὰν τῶν ἄστρων Χαλδαϊκὴν ὑπάρχουσαν πρὸς ἑαυτοὺς ἐπισπασάμενοι οὓς προείπομεν, ἐπιψευσάμενοι τῷ τῆς ἀληθείας ὀνόματι, ὡς Χριστοῦ λόγον κατήγγειλαν αἰώνων στάσιν καὶ ἀποστασίας ἀγαθῶν δυνάμεων εἰς κακὰ καὶ συμφωνίας ἀγαθῶν μετὰ πονηρῶν προσαγορεύοντες.

50. *τροπάς, οἷόν ἐστι* Sextus: *ῥοπάς. Ἄρρεν ἐστὶ* C M 51. *τὸ τούτου διάμετρον* Sextus *Αἰγόκερως* Sextus: *ἀπόκερως* C 54. *τούτων*] *τοῦτον* C M 57. *Κέλβης* cf. supra p. 50, 16. 17 not. *ὀνόματι*] *ὀνόματα* susp. M 59. *Καὶ γὰρ*] *Ἃ γὰρ* C M 59—62. Cf. Sext. V, 37 p. 734. *ὅρια δὲ ἀστέρων προσαγορεύουσιν ἐν ἑκάστῳ ζωδίῳ, ἐν οἷς ἕκαστος τῶν ἀστέρων ἀπὸ ποστῆς μοίρας ἐπὶ ποστὴν μοῖραν πλεῖστον δύναται; ibid.* §. 20 p. 731 *οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχειν ἡγοῦνται τοὺς ἀστέρας πρὸς τὸ κακοποιεῖν ἢ μή, ἐπί τε τῶν κέντρων θεωρουμένους καὶ ἐπὶ ταῖς ἀναφοραῖς κ. τ. λ.* 63 sqq. *Ἐπιβλέπειν κ. τ. λ.* hausta ex Sexto l. V, 39. p. 734 Bekker, unde Hippolytum correximus collatis supra p. 50 scriptis. 64. *ὡς* Sextus: om C M. Cf. supra p. 50, 9 *ἢ τετράγωνον — οὖν* Sextus om C M 65. *σχηματίζον-*

commutat et efficit ambientis conversiones, quale est signum et aries et qui est exadversum illi sicut libra, capricornusque et cancer. In ariete enim verna fit conversio, in capricorno autem hiemalis, in cancro autem aestiva, in libra autem autumnalis. Haec autem et doctrinam de his minutatim exposuimus in eo libro qui hunc antecedit, unde studiosis licet discere, quomodo Peraticae sectae signiferi, Euphrates Peraticus et Celbes Carystius, quae hauserunt, nomine tantum tenus immutaverunt, re autem consimilia statuerunt, et ipsi ad taedium usque huic arti dediti. Etenim fines astrorum astrologi dicunt, in quibus plus posse aiunt imperantes stellas, veluti in aliis malefaciunt, in aliis bene, quarum alias maleficas vocant, alias beneficas. Adspicere autem dicuntur se invicem et concinere inter se, ut quae in triangulari aut quadrata forma apparent. In triangulari forma igitur conformantur adspectantes se invicem stellae, quae trium signorum spatium habent interiectum, in quadrata autem quae duorum. Sicuti autem in homine capiti subiacentes partes compatiantur, compatiatur autem etiam subiacentibus caput, sic etiam superlunaribus terrena. Verumenimvero quaedam est horum differentia et incompatibilitas, ut quae non unam eandemque habeant unitionem. Hanc composituram et divergentiam stellarum, quae est Chaldaica, sibi arrogantes, quos ante diximus, nomini veritatis falso impertientes, tanquam Christi doctrinam venditant, aevorum statum et transitiones bonarum potestatum in mala et concentus bono-

ται Sextus: *συσχηματίζονται* C M *ἐπιθεωροῦντες*] *καὶ ἐπιθεωροῦσιν* Sextus *ἐπὶ*] *οἱ ἐπὶ* Sextus. Cf. supra p. 50, 10 66. *τὸ — διάλειμμα*] Cf. supra p. 50, 11: *τὰ — διαλείμματα* C M: *τὸ — διάστημα* Sextus *κατὰ* Sextus. Cf. supra p. 50, 11: *καὶ* C M 67. *οἱ δυεῖν*] *δυεῖν* C M: *οἱ δυοῖν* Sextus 67. sqq. Haec petita sunt ex Sexto V, 44. p. 735 *Ὃν — ἀνθρώπῳ*] *μὲν τὰ ἄνω* C M *κεφαλῇ — ὑποκείμενα*] *κεφαλή, τὰ δὲ ὑποκείμενα* C M: *τῇ κεφαλῇ τὰ ὑποκείμενα* Sextus: *κεφαλῇ τὰ ὑποκείμενα* ipse Hippolytus supra p. 50, 12 68. *μέρη συμπάσχειν*] *μέρη πάσχειν συμπάσχειν* C M: *μέρη συμπάσχει* Sextus 69. *ὑπερσεληναίοις*] *ἐπουρανίοις* Sextus 70. *Ἀλλὰ γάρ τις*] *Ἄλλη γάρ τις* C M: *ἀλλά τις* Sextus et Hippolytus p. 50, 14 70. 71. *ἀσυμπάθεια* Sextus et Hippolytus p. 50, 14: *συμπάθεια* C M 71. *ὡς ἂν μὴ* Sextus et Hipp. p. 50, 14. 15: *ὡς μὴ* C M 71—75. Cf. supra p. 50, 16—23. 76. 77. *προσαγορεύουσι, καλοῦντες τοπάρχας* C M

Καλοῦντες οὖν τοπάρχας καὶ προαστείους καὶ ἄλλα πλεῖστα ὀνόματα ἀναπλάσσοντες ἑαυτοῖς οὐχ ὑποκείμενα, ἀλλὰ τὴν τῶν ἀστρολόγων περὶ τοὺς ἀστέρας πᾶσαν φαντα|σίαν ἀτέχνως τεχνολογοῦντες, μεγάλης πλάνης ὑπόθεσιν ἐπεισάγοντες, ἐξελεγχθήσονται σὺν τῇ ἡμετέρᾳ ἐμμελείᾳ. Ἀντιπαραθήσω γὰρ τῇ προλελεγμένῃ τῶν ἀστρολόγων Χαλδαϊκῇ τέχνῃ ἔνια τῶν Περατικῶν συνταγμάτων, ἀφ᾽ ὧν ὑπάρξει συγκρίναντας κατανοῆσαι πῶς οἱ Περατικοὶ λόγοι τῶν ἀστρολόγων ὁμολογουμένως εἰσίν, οὐ Χριστοῦ.

14. *Δοκεῖ οὖν παρατάξαι μίαν τινὰ τῶν παρ᾽ αὐτοῖς δοξαζομένων βίβλων, ἐν ᾗ λέγει· Ἐγὼ φωνὴ ἐξυπνισμοῦ ἐν τῷ αἰῶνι τῆς νυκτός· λοιπὸν ἄρχομαι γυμνοῦν τὴν ἀπὸ τοῦ χάους δύναμιν. Ἡ δύναμις τοῦ ἀβυσσικοῦ θολοῦ, ἣ τὸν πηλὸν ἀναβαστάζουσα τοῦ ἀφθάρτου ἀχανοῦς διΰγρου, ἡ τοῦ σπάσματος ὅλη δύναμις ὑδατόχρους ἀεικίνητος, φέρουσα τὰ μένοντα, κατέχουσα τὰ τρέμοντα, ἀπολύουσα τὰ ἐρχόμενα, κουφίζουσα τὰ μένοντα, καθαιροῦσα τὰ αὔξοντα, πιστὴ οἰκονόμος τοῦ ἴχνους τῶν ἀέρων, ἡ τὰ ἀνερευγόμενα ἀπὸ τῶν δώδεκα ὀφθαλμῶν ἐντολῆς ἀπολαύουσα, σφραγῖδα δηλοῦσα πρὸς τὴν μετ᾽ αὐτῶν οἰκονομοῦσαν τῶν ἐπιφερομένων ἀοράτων ὑδάτων δύναμιν, ἐκλήθη Θάλασσα. Ταύτην τὴν δύναμιν ἡ ἀγνωσία ἐκάλεσε Κρόνον, δεσμοῖς φρουρούμενον, ἐπεὶ ἔσφιγγε τὸ σύμπλεγμα τοῦ πυκνοῦ καὶ ὁμιχλώδους ἀδήλου σκοτεινοῦ ταρτάρου. Ταύτης ἐγένοντο κατ᾽ εἰκόνα Κηφεύς, Προμηθεύς, Ἰαπετός. Δύναμις πεπιστευμένη τὴν Θάλασσαν ἀρρενόθηλυς, ἣ τὸν ἀνατρέχοντα συριγμὸν ἀπὸ τῶν δώδεκα στομάτων τοῖς δώδεκα αὐλίσκοις ἁρμόζουσα διαχύνει λεπτὴ οὖσα καὶ καθαιροῦσα τὴν κατέχουσαν λάβρον ἀναφοράν, καὶ σφραγίζει ἀτρα|πῶν ὁδοὺς αὐτῆς, πρὸς τὸ μὴ πολεμῆσαι ἢ ἐναλλάξαι τὸ μὴ δι᾽ αὐτῆς θυγάτηρ τυφωνικὴ πιστὴ φύλαξ ὑδάτων παντοίων. Ὄνομα αὐτῇ Χορζάρ· ταύτην ἡ ἀγνωσία ἐκάλεσε Ποσειδῶνα, οὗ κατ᾽ εἰκόνα ἐγένετο Γλαῦκος, Με-*

78. *ἑαυτοὺς* C 83. *συγκρίναντες* C 84. *Περατικοὶ*] *Περάται* C: *Περατῶν* M 89. Quae sequuntur tam perplexa sunt, ut om-

rum cum pravis vocantes. Appellantes igitur toparchas et proastios et alia plurima nomina confingentes sibi non suppeditantia, sed astrologorum omnem de stellis imaginationem praeter artem in artem redigentes, magni erroris materiem superinducentes, coarguentur per nostram industriam. Componam enim supradictae Chaldaicae arti nonnulla Peraticorum commentorum, unde licebit instituta comparatione perspicere, quomodo Peratica doctrina astrologis aperte debeatur, non Christo.

14. Visum est igitur apponere unum aliquem eorum librorum, qui iis approbati sunt, in quo dicit: *Ego vox expergefactionis in aevo noctis. De reliquo exordior nudare a chao redundantem potestatem. Potestas imi fundi sordidi turbamenti limum sursum portans incorrupti hiulci uliginosi, convulsionis universa potestas aquatico colore, semper mobilis, ferens manentia, cohibens trementia, absolvens euntia, levans manentia, tollens augescentia, fida dispensatrix vestigii aërum, eructatis a duodecim oculis iniunctionis fruens, sigillum manifestans ad potestatem cum iis dispensantem aquarum, quae inferuntur, invisibilium, vocata est Thalassa. Hanc potestatem ignorantia vocavit Cronum, vinculis custoditum, quoniam constringebat complexus densi et nebulosi caeci tenebricosi tartari. Huius extiterunt ad imaginem Cepheus, Prometheus, Iapetus. Potestas, cui concredita est Thalassa, mas et femina, quae enascentem sibilum a duodecim oribus duodecim tibiolis aptatum diffundit, tenuis natura sua et tollens detinentem vehementem anaphoram, et obsignat semitarum vias eius, ad non bellandum aut commutandum . . . eius filia typhonica fidelis custos aquarum omnigenarum. Nomen eius Chorzar. Hanc ignorantia vocavit Neptunum, cuius ad imaginem extitit Glaucus, Melicertes, Ino,*

nem medicinam respuant 90. *θόλον* C M 99. *Θάλασσα* Cf. Berosi *Chaldaeor. Hist. quae supersunt ed. Richter* p. 49. 50: *Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ εἶναι, καὶ ἐν τούτοις ζῶα τερατώδη ἰδιοφυεῖς* (*al.* *εἰδιφυεῖς*, *al.* *διφυεῖς*) . . . . . . *ἄρχειν δὲ τούτων πάντων γυναῖκα ᾗ ὄνομα Ὀμόρκα* (*al.* *Ὀμορῶκα*, *al.* Marcaia)· *εἶναι δὲ τοῦτο Χαλδαϊστὶ μὲν Θαλάτθ, Ἑλληνιστὶ δὲ μεθερμηνεύεσθαι θάλαττα* (*al.* *θάλασσα*)· *κατὰ δὲ ἰσόψηφον σελήνη* (*al.* *om*). Cf. *D. Friedrich Münter Religion der Babylonier, Kopenhagen 1827.* p. 36—46, et *D. F. C. Movers, die Phönizier* Tom. I. p. 268—86 2. *τοῦ*] *τῆς* C 6. *ἣ*] *ἢ* C 7. *δαχύνει* C

λικέρτης, Ἰνώ, Νεβρόη. Περιεσφαιρωκὼς τὴν δωδεκαγώνιον πυραμίδα, πύλην εἰς πυραμίδα σκοτίζων ποικίλαις χρόαις καὶ ἀπαρτίζων πᾶσαν τὴν νυκτόχρουν. Τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Κόρην, οὗ λειτουργοὶ πέντε· πρῶτος Οὔ, δεύτερος Ἀοαί, τρίτος Οὐώ, τέταρτος Οὐωάβ, πέμπτος . . . . . ἄλλοι πιστοὶ οἰκονόμοι αὐτοῦ τῆς τοπαρχίας ἡμέρας καὶ νυκτὸς οἱ ἀναπαυόμενοι ἐν τῇ ἐξουσίᾳ αὐτῶν. Τούτους ἡ ἀγνωσία ἐκάλεσε τοὺς πλανήτας ἀστέρας, ἐφ᾽ ὧν ἡ φθαρτὴ γένεσις ἐώρηται. Ἀέρος ἀνατολῆς οἰκονόμος, Καρφακασημεοχείρ, Ἐκκαββάκαρα· τούτους ἐκάλεσεν ἡ ἀγνωσία Κουρῆτας· ἄρχων ἀνέμων τρίτος Ἀριήλ, οὗ κατ᾽ εἰκόνα ἐγένετο Αἴολος, Βριάρης. Καὶ ἄρχων δωδεκαώρου νυκτερινῆς Σοκλάν, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ὄσιριν· τούτου κατ᾽ εἰκόνα ἐγένετο Ἄδμητος, Μήδεια, Ἕλλην, Αἴθουσα. Ἄρχων ἡμερινῆς δωδεκαώρου Εὐνώ· οὗτος οἰκονόμος τῆς πρωτοκαμάρου ἀνατολῆς καὶ αἰθερίου, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ἶσιν. Τούτου σημεῖον τὸ κυνὸς ἄστρον, οὗ κατ᾽ εἰκόνα ἐγένοντο Πτολεμαῖος ὁ Ἀρσινόης, Διδύμη, Κλεοπάτρα, Ὀλυμπιάς. Δύναμις θεοῦ δεξιά, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Ῥέαν, οὗ κατ᾽ εἰκόνα ἐγένοντο Ἄττις, Μύγδων, Οἰνώνη. Δύναμις ἀριστερὰ τροφῆς ἐξουσιάζει, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Δήμητραν, ὄνομα αὐτῇ Βένα· τούτου κατ᾽ εἰκόνα ἐγένοντο Κελεός, Τριπτόλεμος, Μίσυρ, Ἀπραξία. Δύναμις δεξιὰ ἐξουσιάζει καρπῶν· | τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Μῆνα, οὗ κατ᾽ εἰκόνα ἐγένοντο Βουμέγας, Ὀστάνης, Ἑρμῆς τρισμέγιστος, Κουρίτης, Πετόσιρις, Ζωδάριον, Βηρωσός, Ἀστράμψουχος, Ζωρόαστρις. Δύναμις πυρὸς εὐώνυμος· τοῦτον ἡ ἀγνωσία ἐκάλεσεν Ἥφαιστον, οὗ κατ᾽ εἰκόνα ἐγένοντο Ἐριχθόνιος, Ἀχιλλεύς, Καπανεύς, Φλέγων, Μελέαγρος, τὰ δύηκεν, Κέλαδος, Ῥαφαήλ, Σουριήλ, Ὀμφάλη. Δυνάμεις τρεῖς μέσαι τοῦ ἀέρος κρεμάμεναι, αἰτίαι γενέσεως. Ταύτας ἡ ἀγνωσία ἐκάλεσε Μοίρας, ὧν κατ᾽ εἰκόνα ἐγένοντο οἶκος Πριάμου, οἶκος Λαΐου, Ἰνώ, Αὐτονόη, Ἀγαυή, Ἀθάμας, Πρόκνη, Δαναΐδες, Πε-

Nebroë. Circumvolutam habens duodecim angulorum pyramidem, portam in pyramidem obscurans variis coloribus et perficiens totam nocticolorem. Hunc ignorantia vocavit Coram, cuius ministri quinque, primus U, secundus Aoai, tertius Uo, quartus Uoab, quintus . . . alii fideles dispensatores eius toparchiae diei et noctis requiescentes in facultate eorum. Hos ignorantia vocavit erraticas stellas, in quibus caduca generatio suspensa est. Stellae ortus dispensator, Carphacasemeocheir, Eccabbacara. Hos ignorantia vocavit Curetas. Princeps ventorum tertius Ariel, cuius ad imaginem extitit Aeolus, Briares. Et princeps dodecahori nocturni Soclan, quem vocavit ignorantia Osirin; huius ad imaginem extitit Admetus, Medea, Hellen, Aethusa. Princeps dodecahori diurni Euno. Hic dispensator protocamari ortus et aetherii, quem vocavit ignorantia Isidem. Huius signum canis astrum, cuius ad imaginem extiterunt Ptolemaeus, Arsinoë, Didyma, Cleopatra, Olympias. Potestas dei dextra, quam vocavit ignorantia Rheam, cuius ad imaginem extiterunt Attis, Mygdon, Oenone. Potestas sinistra victus facultatem habet, quam vocavit ignorantia Cererem, nomen eius Bena. Huius ad imaginem extiterunt Celeus, Triptolemus, Misyr, Praxidica. Potestas dextra facultatem habet frugum; hunc ignorantia vocavit Lunum, cuius ad imaginem extiterunt Bumegas, Ostanes, Mercurius Trismegistus, Curites, Petosiris, Zodarium, Berosus, Astrampsuchus, Zoroastris. Potestas ignis sinistra; hunc ignorantia vocavit Vulcanum, cuius ad imaginem extiterunt Erichthonius, Achilleus, Capaneus, Phaëthon, Meleager, Tydeus, Enceladus, Raphaël, Suriel, Omphale. Potestates tres mediae ex aëre suspensae auctores generationis. Has ignorantia vocavit Parcas, quarum ad imaginem extiterunt domus Priami, domus Laii, Ino, Autonoë, Agave, Athamas, Procne, Danaides, Peliades. Potestas mas et femina semper

14. Ἰνώ] Ἴη C   Νεβρόη] Νεφέλη? M   14. 15. δωδεκαγόνιον pr C   19. Hic lacuna M   23. αἰώρηται pr C: εώρηται corr C: ᾐώρηται M   Ἀέρος] Ἀστέρος?   31. ὅν] ὅ C   36. Μυγδώνη C: Μυγδόνη M   39. Ἀπραξία] Πραξιδίκη?   46. Φλέγων] Φαέθων?   46. 47. τὰ δύηκεν, Κέλαδος] Τάλως, Κέλαδος M: Τυδεύς, Ἐγκέλαδος?   51. Ἀθαμάς C

λιάδες. Δύναμις ἀρσενόθηλυς ἀεὶ νηπιάζουσα, ἀγήρατος, αἰτία κάλλους, ἡδονῆς, ἀκμῆς, ὀρέξεως, ἐπιθυμίας, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ἔρωτα, οὗ κατ᾽ εἰκόνα ἐγένοντο Πάρις, Νάρκισσος, Γανυμήδης, Ἐνδυμίων, Τιθωνός, Ἰκάριος, Λήδα, Ἀμυμώνη, Θέτις, Ἑσπερίδες, Ἰασίων, Λέανδρος, Ἡρώ. Οὗτοι εἰσὶν οἱ προάστειοι ἕως αἰθέρος· οὕτω γὰρ καὶ ἐπιγράφει τὸ βιβλίον.

15. *Καταφανὴς σύμπασιν εὐκόλως γεγένηται ἡ τῶν Περατῶν αἵρεσις ἀπὸ τῆς τῶν ἀστρολόγων μεθηρμοσμένη τοῖς ὀνόμασι μόνοις. Τὸν δὲ αὐτὸν τρόπον περιέχει καὶ τὰ ἕτερα αὐτῶν βιβλία, εἴ τινι φίλον εἴη διὰ πάντων ἐλθεῖν. Πάντων γάρ, ὡς ἔφην, τῶν γεννητῶν τῆς γενέσεως αἴτια νομίζουσιν εἶναι τὰ ἀγέννητα καὶ τὰ ὑπερκείμενα, καὶ γεγονέναι κατὰ ἀπόρροιαν τὸν κόσμον τὸν καθ᾽ ἡμᾶς, ὃν ἰδικὸν ἐκεῖνοι καλοῦσι, καὶ τούτους πάντας ὁμοῦ τοὺς ἀστέρας τοὺς θεωρουμένους ἐν τῷ οὐρανῷ τῆς γενέσεως αἰτίους γεγονέναι τοῦδε τοῦ κόσμου, ἐναλλάξαντες αὐτῶν τὸ ὄνομα, ὡς ἀπὸ τῶν προαστείων | ἔστι συγκρίναντας εὑρεῖν· δεύτερον δὲ δὴ κατὰ τὸν αὐτὸν τρόπον, ὡς γέγονεν ὁ κόσμος ἀπὸ τῆς ἀπορροίας τῆς ἄνω, οὕτως τὰ ἐνθάδε ἀπὸ τῆς ἀπορροίας τῶν ἀστέρων γένεσιν ἔχειν καὶ φθορὰν λέγουσι καὶ διοικεῖσθαι. Ἐπεὶ γοῦν οἱ ἀστρολόγοι ἴσασιν ὡροσκόπον καὶ μεσουράνημα, καὶ δύσιν καὶ ἀντιμεσουράνημα, καὶ τούτων τῶν ἄστρων ἄλλοτε ἄλλως κινουμένων διὰ τὴν στροφὴν ἀεὶ τοῦ παντὸς ἄλλοτε ἄλλα ἀποκλίματα εἶναι κατὰ κέντρον, καὶ κέντροις ἐπαναφοράς, ἀλληγοροῦντες τὴν διαταγὴν τῶν ἀστρολόγων τὸ μὲν κέντρον οἱονεὶ θεὸν καὶ μονάδα καὶ κύριον τῆς πάσης γενέσεως ὑποτυποῦσι, τὸ δὲ ἀπόκλιμα ἀριστερόν, τὴν δ᾽ ἐπαναφορὰν δεξιόν. Ὅταν οὖν τοῖς γράμμασιν αὐτῶν ἐντυχών τις δύναμιν εὑρίσκῃ παρ᾽ αὐτοῖς λεγομένην δεξιὰν ἢ ἀριστεράν, ἀνατρεχέτω ἐπὶ τὸ κέντρον καὶ τὸ ἀπόκλιμα καὶ τὴν ἐπαναφοράν, καὶ κατόψεται σαφῶς πᾶσαν αὐτῶν τὴν πραγματείαν ἀστρολογικὴν διδασκαλίαν καθεστῶσαν.*

16. *Καλοῦσι δὲ αὐτοὺς Περάτας, μηδὲν δύνασθαι νομίζοντες τῶν ἐν γενέσει καθεστηκότων διαφυγεῖν τὴν ἀπὸ τῆς γενέσεως τοῖς γεγενημένοις ὡρισμένην μοῖραν. Εἰ γάρ τι, φησί,*

57. *Ἰάσων* C M 60. *Καταφανῆ* C 65. *ἀπορίαν* C 68.

infans, non consenescens, auctrix pulcritudinis, voluptatis, vigoris, appetitus, concupiscentiae, quem vocavit ignorantia Amorem, cuius ad imaginem extiterunt Paris, Narcissus, Ganymedes, Endymion, Tithonus, Icarius, Leda, Amymone, Thetis, Hesperides, Iasion, Leander, Hero. Hi sunt proastii usque ad aetherem; sic enim et inscribit librum.

15. Perspicuum nemini non facile factum est Peratarum haeresin ab astrologorum translatam esse nominibus tenus. Eandem autem rationem continent etiam reliqui libri eorum, si cui placuerit omnes perlustrare. Omnium enim, ut dixi, quae nata sunt, causas statuunt esse non nata et superiacentia, et ortum esse per defluxionem mundum nostrum, quem specialem illi appellant, et has omnes simul stellas, quae conspiciuntur in caelo, generationis auctores extitisse huius mundi, mutantes earum nomina, ut comparatione proastiorum instituta licet videre; deinde autem eundem in modum, ut extiterit mundus a defluxione desuper, sic res mundanas a defluxione stellarum genituram habere et interitum dicunt et administrari. Quandoquidem astrologi norunt horoscopum et mesuranema et occasum et antimesuranema, et, his stellis alias aliter moventibus propter conversionem semper universi, aliâs alias declinationes existere secundum centrum et centris successiones: aliorsum deflectentes astrologorum descriptionem, centrum quidem tanquam deum et monadem et dominum universae geniturae adumbrant, declinationem autem sinistram, successionem autem dextram. Quando igitur quis, qui in libros eorum incidit, potestatem reperiet apud eos dictam dextram vel sinistram, recurrat ad centrum et declinationem et successionem, et perspiciet clare universam eorum disciplinam esse astrologorum doctrinam.

16. Appellant autem sese Peratas, nihil posse arbitrantes eorum quae in genitura nituntur effugere sortem a genitura iis quae genita sunt definitam. Nam si quid, inquit, natum, om-

τοῦδε] τοὺς δὲ C M 68. 69. ἐναλλάξαντας M 75. κινουμένων] γινομένων C 77. κέντροις] κέντρων? 79. ὑποτυποῦσι] ὑποτυποῦντες C M 83. ἀναφορὰν C M καὶ κατόψεται] κατόψεται C. καὶ ὄψεται M

γεννητόν, ὅλως καὶ φθείρεται, καθάπερ καὶ Σιβύλλῃ δοκεῖ, μόνοι δέ, φησίν, ἡμεῖς οἱ τὴν ἀνάγκην τῆς γενέσεως ἐγνωκότες καὶ τὰς ὁδούς, δι' ὧν εἰσελήλυθεν ὁ ἄνθρωπος εἰς τὸν κόσμον, ἀκριβῶς δεδιδαγμένοι διελθεῖν καὶ περᾶσαι τὴν φθορὰν μόνοι δυνάμεθα. Ἔστι δὲ ἡ φθορά, φησί, τὸ ὕδωρ, οὐδὲ ἄλλῳ τινί, φησίν, ἐφθάρη τάχιον ὁ κόσμος ἢ ὕδατι. Τὸ δὲ ὕδωρ ἐστὶ τὸ περιεσφαιρωκὸς ἐν τοῖς προαστείοις, λέγουσιν, ὁ Κρόνος· δύναμις γάρ, φησίν, ὑδατόχρους, ἥντινα δύναμιν, | φησί, τουτέστι τὸν Κρόνον, οὐδεὶς τῶν ἐν γενέσει καθεστώτων διαφυγεῖν δύναται· πάσῃ γὰρ γενέσει πρὸς τὸ ὑποπεσεῖν τῇ φθορᾷ αἴτιος ἐφέστηκεν ὁ Κρόνος, καὶ οὐκ ἂν γένοιτο γένεσις, ἐν ᾗ Κρόνος οὐκ ἐμποδίζει. Τοῦτό ἐστι, φησίν, ὃ καὶ οἱ ποιηταὶ λέγουσι τὸ καὶ τοὺς θεοὺς ἐκψοφοῦν·

Ἴστω γάρ, φησί, τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν.

Οὐ μόνον δὲ τοῦτο, φησίν, οἱ ποιηταὶ λέγουσιν, ἀλλ' ἤδη καὶ οἱ σοφώτατοι τῶν Ἑλλήνων, ὧν ἐστι καὶ Ἡράκλειτος εἷς, λέγων· ψυχῇσι γὰρ θάνατος ὕδωρ γενέσθαι. Οὗτος, φησίν, ὁ θάνατος καταλαμβάνει τοὺς Αἰγυπτίους ἐν Ἐρυθρᾷ θαλάσσῃ μετὰ τῶν ἁρμάτων αὐτῶν. Πάντες δὲ οἱ ἀγνοοῦντες, φησίν, εἰσὶν Αἰγύπτιοι. Καὶ τοῦτό ἐστι, λέγουσι, τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου, ἐκ τοῦ σώματος. Αἴγυπτον γὰρ εἶναι μικρὰν τὸ σῶμα νομίζουσι, καὶ περᾶσαι τὴν θάλασσαν τὴν Ἐρυθράν, τουτέστι τῆς φθορᾶς τὸ ὕδωρ, ὅ ἐστιν ὁ Κρόνος, καὶ γενέσθαι πέραν τῆς Ἐρυθρᾶς θαλάσσης, τουτέστι τῆς γενέσεως, καὶ ἐλθεῖν εἰς τὴν ἔρημον, τουτέστιν ἔξω γενέσεως γενέσθαι, ὅπου εἰσὶν ὁμοῦ πάντες οἱ θεοὶ τῆς ἀπωλείας καὶ ὁ θεὸς τῆς σωτηρίας. Εἰσὶ δέ, φησίν, οἱ θεοὶ τῆς ἀπωλείας οἱ ἀστέρες οἱ τῆς μεταβλητῆς γενέσεως ἐπιφέροντες τοῖς γινομένοις τὴν ἀνάγκην. Τούτους, φησίν, ἐκάλεσε Μωϋσῆς ὄφεις τῆς ἐρήμου δάκνοντας καὶ διαφθείροντας τοὺς πεπερακέναι | νομίζοντας τὴν Ἐρυθρὰν θάλασσαν. Δακνομένοις οὖν, φησίν, ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ

88. Cf. *Oracula Sibyllina ed. Friedlieb Fragm.* 2, vs. 1. p. 4: *Εἰ δὲ γεννητὸν ὅλως καὶ φθείρεται, οὐ δύνατ' ἀνδρὸς ‖ ἐκ μηρῶν μήτρας τε θεὸς τετυπωμένος εἶναι· κ. τ. λ.* 89. *δέ*] *δή* susp. M 92. *ἄλλῳ*] *ἄλλως* C 1. *ἐκψοφοῦν·*] *ἐκψοφέω,* novum vocabulum, significat haud

nino et perit, sicut etiam Sibyllae placet. Soli autem, ait, nos, qui necessitatem geniturae perspexerimus et vias, quibus intravit homo in mundum, accurate cognitas habeamus, permeare et pervadere interitum possumus soli. Est autem interitus, ait, aqua, neque alia quaquam re citius periit mundus quam aqua. Aqua autem est id quod circumvolvit in proastiis, aiunt, Cronus; potestas enim, inquit, aquatico colore est ille, quam potestatem, inquit, hoc est Cronum nemo eorum, qui in genitura nituntur, effugere potest. Omni enim geniturae, ut succumbat interitui, in causa Cronus est, nec fieri potest, ut genitura exsistat, in qua Cronus non intercedat. Hoc est, inquit, quod etiam poëtae dicunt illud, quod vel ipsos deos terrore percutit:

Scito enim, inquit, hoc tellus et caelum vastum superne
Et destillans Stygis aqua, quod quidem maximum
Iusiurandum et gravissimum est beatis diis.

Non solum autem, inquit, hoc poëtae dicunt, sed iam etiam sapientissimi Graecorum, quorum est etiam Heraclitus unus, dicens: *Animabus enim mors, aquam fieri.* Haec mors, inquit, deprehendit Aegyptios in mari rubro cum curribus ipsorum. Omnes autem, qui illud ignorant, inquit, Aegyptii sunt. Et hoc, aiunt, est exiisse ex Aegypto, e corpore. Aegyptum enim esse parvam corpus arbitrantur, et transire mare rubrum, hoc est interitus aquam, quae est Cronus, et transiisse mare rubrum, hoc est genituram, et pervenisse in desertum, hoc est extra genituram pervenisse, ubi sunt una omnes dii perniciei et deus salutis. Sunt autem, inquit, dii perniciei stellae, commutabilis geniturae afferentes iis, quae existunt, necessitatem. Hos, inquit, Moses vocavit serpentes deserti mordentes et perdentes eos, qui se mare rubrum transgressos esse arbitrantur.

dubie *terreo*, nisi legendum *ἐκφοβοῦν* M 2. sqq. Hom. Od. 5, 184 sqq. *ἴστω νῦν τόδε κ. τ. λ.* 3. *κατιβόμενον* C 4. *μακάρεσι* C 6. 7. *Ἡράκλειτος — ὕδωρ γενέσθαι* J. Bernaysius in *Ep. critic. ad Bunsenium* l. l. p. 331, collato Heracliteo fragmento 49 *Schleiermacher* p. 117: *ψυχῇσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή: Ἡράκλειτος, εἶς, λέγων· ψυχῆς εἰ γὰρ — γενέσθαι* C M, qui pro *εἰ γὰρ* susp. *εἴη ἂν* 10. *ἐστι, λέγουσι*] *ἐπιλέγουσι* C 18. sqq. Cfr. 4 Mos. 21, 6 sqq. 21. *Δακνομένους — τοὺς υἱοὺς* C

ἐπέδειξε Μωϋσῆς τὸν ἀληθινὸν ὄφιν τὸν τέλειον, εἰς ὃν οἱ πιστεύοντες οὐκ ἐδάκνοντο ἐν τῇ ἐρήμῳ, τουτέστιν ὑπὸ τῶν δυνάμεων. Οὐδεὶς οὖν, φησίν, ὁ δυνάμενος σῶσαι καὶ ῥύσασθαι τοὺς ἐκπορευομένους ἐκ γῆς Αἰγύπτου, τουτέστιν ἐκ σώματος καὶ ἐκ τοῦδε τοῦ κόσμου, εἰ μὴ μόνος ὁ τέλειος, ὁ πλήρης τῶν πληρῶν ὄφις. Ἐπὶ τοῦτον, φησίν, ὁ ἐλπίσας ὑπὸ τῶν ὄφεων τῆς ἐρήμου οὐ διαφθείρεται, τουτέστι τῶν θεῶν τῆς γενέσεως. Γέγραπται, φησίν, ἐν βίβλῳ Μωσέως· οὗτος, φησίν, ὁ ὄφις ἐστὶν ἡ δύναμις ἡ παρακολουθήσασα τῷ Μωσεῖ, ἡ ῥάβδος ἡ στρεφομένη εἰς ὄφιν. Ἀνθεστήκεισαν δέ, φησί, τῇ δυνάμει Μωσέως ἐν Αἰγύπτῳ τῶν μάγων οἱ ὄφεις, οἱ θεοὶ τῆς ἀπωλείας· ἀλλὰ πάντας αὐτοὺς ὑπέταξε καὶ διέφθειρεν ἡ ῥάβδος Μωσέως. Ὁ καθολικὸς ὄφις, φησίν, οὗτός ἐστιν ὁ σοφὸς τῆς Εὔας λόγος. Τοῦτο, φησίν, ἐστὶ μυστήριον Ἐδέμ, τοῦτο ποταμὸς ἐξ Ἐδέμ, τοῦτο σημεῖον τὸ τεθὲν τῷ Κάϊν, ἵνα πᾶς ὁ εὑρίσκων αὐτὸν μὴ ἀποκτείνῃ. Οὗτος, φησίν, ἐστὶ Κάϊν, οὗ τὴν θυσίαν οὐ προσεδέξατο ὁ θεὸς τοῦδε τοῦ κόσμου. Τὴν δὲ ᾑμαγμένην προσήκατο τοῦ Ἄβελ· αἵμασι γὰρ χαίρει ὁ τοῦδε τοῦ κόσμου δεσπότης. Οὗτός ἐστι, φησίν, ὁ ἐν ἐσχάταις ἡμέραις ἐν ἀνθρώπου μορφῇ φανεὶς ἐν τοῖς χρόνοις Ἡρώδου, γενόμενος κατ᾽ εἰκόνα Ἰωσὴφ τοῦ πεπραμένου ἐκ χειρὸς ἀδελφῶν, οὗ μόνου τὸ ἔνδυμα ἦν ποικίλον. Οὗτός ἐστι, φησίν, ὁ κατ᾽ εἰκόνα Ἠσαῦ, οὗ καὶ μὴ παρόντος ἡ στολὴ εὐλόγηται, ὃς οὐκ ἐδέξατο, φησί, τὴν ἀμβλυωπὸν εὐλογίαν, ἀλλ᾽ ἐπλούτησεν ἔξωθεν, οὐδὲν ἀπὸ τοῦ ἀμβλυωποῦντος λαβών, οὗ εἶδε τὸ πρόσωπον Ἰακὼβ | ὡς ἂν ἴδοι ἄνθρωπος πρόσωπον θεοῦ. Περὶ τούτου, φησί, γέγραπται, ὡς Νεβρὼδ γίγας κυνηγὸς ἔναντι κυρίου. Εἰσὶ δέ, φησί, τούτου ἀντίμιμοι πολλοί, τοσοῦτοι ὅσοι ὤφθησαν ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ δάκνοντες, ἀφ᾽ ὧν ἐρρύσατο τοὺς δακνομένους ὁ τέλειος ἐκεῖνος, ὃν ἔστησε Μωϋσῆς. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· καὶ ὃν τρόπον ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. Τούτου κατ᾽ εἰκόνα γέγονεν ὁ ὄφις ἐν τῇ ἐρήμῳ χαλκοῦς, ὃν ἔστησε Μωϋσῆς. Τούτου, φησί, μόνου τὸ ὁμοίωμα

23. ὑπὸ] ἀπὸ C M 27. ὄφις] ὄφεις C 29. sqq. Cf. 2 Mos. 4, 2—4. 17. c. 7, 9—13. 32. ἐν om C 34. 35. Cf. 1 Mos. 3, 1—7. 36—37 Cf. 1 Mos. 4, 15 37—40. Cf. 1 Mos.

Morsis igitur, inquit, in deserto filiis Israël demonstravit Moses verum serpentem, perfectum, cui qui confiderent non mordebantur in deserto, hoc est a potestatibus. Nemo igitur, inquit, est qui possit salvare et conservare eos, qui exeunt ex terra Aegypto, hoc est ex corpore et ex hoc mundo, nisi solus perfectus et plenus plenorum serpens. In hoc, inquit, qui spem reposuit, a serpentibus deserti non perit, hoc est a diis geniturae. Scriptum est, inquit, in libro Mosis: Hic, inquit, serpens est potestas, quae comitata est Mosem, virga conversa in serpentem. Adversati enim erant, inquit, potestati Mosis in Aegypto magorum serpentes, dii perniciei, sed omnes eos subiecit et peremit virga Mosis. Universalis serpens, inquit, hic est sapiens Evae sermo. Hoc, inquit, est mysterium Edem, hoc fluvius ex Edem, hoc signum impositum Cain, ne quis eum reperiens interimeret. Hic est, inquit, Cain, cuius sacrificium non recepit deus huius mundi, cruentatum autem recepit Abelis; sanguinibus enim gaudet huius mundi dominus. Hic est, inquit, is, qui extremis diebus specie humana apparuit temporibus Herodis, factus ad exemplar Iosephi venditi ex manu fratrum, cuius solius velamen erat varium. Hic, inquit, est factus ille ad exemplar Esau, cuius vel non praesentis vesti benedictum est, qui non recepit, inquit, caecam benedictionem, sed ditescebat extrinsecus, nihil a caecutiente nactus, cuius vidit faciem Iacob, prouti viderit homo faciem dei. De hoc, inquit, scriptum est: *Ut Nebrod magnificus venator coram domino.* Sunt autem huius aemulatores multi, tot numero, quot conspecti sunt in deserto filiis Israël mordentes, a quibus conservavit morsos perfectus ille, quem statuit Moses. Hoc est, inquit, quod dictum est: *Et quemadmodum Moses exaltavit serpentem in deserto, ita exaltari oportet filium hominis.* Huius ad exemplar factus est serpens in deserto aëneus, quem statuit Moses. Huius, inquit, solius effigies in caelo perpetuo

4, 3—5 40. *φασίν* C M 42—43. Cf. 1 Mos. 37, 3—28. 42. *πεπραγμένου* C *μόνον* C M 44. 45. Cf. 1 Mos. 27, 15 sqq. 45. *ἀμβλυωπὸν*] Cf. 1 Mos. 27, 1 46. 47. Cf. 1 Mos. 33, 10 *εἶδον τὸ προσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ* 48. 1 Mos. 10, 9, ubi *ἐναντίον* pro *ἔναντι* 52—54. Ev. Io. 3, 14 *καὶ καθὼς Μωϋσῆς ὕψωσεν τὸν ὄφιν — ἀνθρώπου.* 52. *καὶ*] *καθ'* M

ἐν τῷ οὐρανῷ διὰ παντὸς ἐστὶν φωτὶ ὁρώμενον. Οὗτος, φησίν, ἐστὶν ἡ μεγάλη ἀρχή, περὶ ἧς γέγραπται. Περὶ τούτου, φησίν, εἴρηται· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ὃ γέγονεν ἐν αὐτῷ, ζωή ἐστιν. Ἐν αὐτῷ δέ, φησίν, ἡ Εὔα γέγονεν, ἡ Εὔα ζωή. Αὕτη δέ, φησίν, ἐστὶν ἡ Εὔα, μήτηρ πάντων τῶν ζώντων, κοινὴ φύσις, τουτέστι θεῶν ἀγγέλων, ἀθανάτων θνητῶν, ἀλόγων λογικῶν· ὁ γὰρ πάντων, φησίν, εἰπὼν εἴρηκε πάντων· καὶ εἴ τινος, φησίν, οἱ ὀφθαλμοὶ μακάριοι, οὗτος ὄψεται ἀναβλέψας εἰς τὸν οὐρανὸν τοῦ ὄφεως τὴν καλὴν εἰκόνα ἐν τῇ μεγάλῃ ἀρχῇ τοῦ οὐρανοῦ στρεφομένην καὶ γινομένην ἀρχὴν πάσης κινήσεως πᾶσι τοῖς γινομένοις, καὶ γνώσεται ὅτι χωρὶς αὐτοῦ [οὐδὲν] οὔτε τῶν οὐρανίων οὔτε τῶν ἐπιγείων οὔτε τῶν καταχθονίων συνέστηκεν· οὐ νύξ, οὐ σελήνη, οὐ καρποί, οὐ γένεσις, οὐ πλοῦτος, οὐχ ὁδοιπορία, οὐδ' ὅλως τι τῶν ὄντων ἐστὶ δίχα σημαίνοντος ἐκείνου. Ἐπὶ τούτου, | φησίν, ἐστὶ τὸ μέγα θαῦμα ὁρώμενον ἐν τῷ οὐρανῷ τοῖς δυναμένοις ἰδεῖν. Κατὰ γάρ, φησί, ταύτην τὴν ἄκραν αὐτοῦ τὴν κεφαλήν, ὅπερ πάντων ἀπιστότερον τοῖς οὐκ εἰδόσι, μίσγονται δύσις τε καὶ ἀνατολὴ ἀλλήλαις. Τουτέστι περὶ οὗ εἶπεν ἡ ἀγνωσία· ἐν οὐρανῷ

εἱλεῖται μέγα θαῦμα Δράκων δεινοῖο πελώρου.

Ἑκατέρωθεν δὲ αὐτοῦ παρατέτακται Στέφανος καὶ Λύρα, καὶ κατ' αὐτὴν ἄνωθεν τὴν κεφαλὴν ἄκραν ἐλεεινὸς ἄνθρωπος, ὁ Ἐν γόνασιν ἐστὶν ὁρώμενος,

δεξιτεροῦ ποδὸς ἄκρον ἔχων σκολιοῖο Δράκοντος.

Κατὰ δὲ τὸν νῶτον τοῦ Ἐν γόνασιν ἐστὶν ἀτελὴς ὄφις ἀμφοτέραις ταῖς χερσὶ κατεσφιγμένος ὑπὸ τοῦ Ὀφιούχου, καὶ κωλυόμενος ἐφάψασθαι τοῦ στεφάνου παρακειμένου τῷ τελείῳ ὄφει.

17. Αὕτη ἡ παμποίκιλος σοφία τῆς Περατικῆς αἱρέσεως, ἣν ἐξειπεῖν πᾶσαν δυσχερές, οὕτως οὖσαν σκολιὰν διὰ τὸ ἐκ τῆς ἀστρολογικῆς δοκεῖν συνεστάναι. Καθὸ οὖν δυνατὸν ἦν, δι' ὀλίγων πᾶσαν αὐτῆς τὴν δύναμιν ἐκτεθείμεθα. Ἵνα δὲ δι'

58—61. Ev. Io. I, 1—4. 65. *εἴρηκε πάντων*] *εἴρηκε τούτων* susp. M 69. *καὶ γνώσεται*] *γνώσετε* C: *γνώσειαι* M *οὐδὲν* om C 76. Cf. Arat. v. 62 et supra p. 116, 95 *μίσγονται δύσιές τε καὶ ἀντολαὶ*

est in luce conspicua. Hic, inquit, est magnum principium, de quo scriptum est. De hoc, inquit, dictum est: *In principio erat verbum, et verbum erat apud deum, et deus erat verbum. Hoc erat in principio apud deum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil. Quod factum est in ipso, vita est.* In ipso autem, inquit, Eva facta est, Eva autem vita. Haec autem est, inquit, Eva, mater omnium viventium, communis natura, hoc est deorum angelorum, immortalium mortalium, ratione carentium ratione praeditorum; nam qui omnium dixit, inquit, omnium dixit. Et si cuius, inquit, oculi beati, hic videbit attollens oculos in caelum serpentis pulcram imaginem in magno principio caeli sese vertentem et existentem principium omnis motus omnibus quae fiunt, et cognoscet sine illo nihil neque caelestium neque terrestrium neque infernalium constitisse. Non nox, non luna, non fruges, non genitura, non divitiae, non migratio, nec omnino quidquam eorum quae sunt est sine gubernatore illo. In hoc est, inquit, magnum miraculum, quod cernitur iis in caelo, qui possunt cernere. Etenim ad summum eius caput, quod maxime incredibile est iis qui nesciunt, miscentur et occasus et ortus invicem. Hoc est, de quo dixit ignorantia, in caelo

volvitur magnum miraculum draco vasti portenti.

Ab utraque autem parte apposita est corona et lyra et ad ipsum superne summum caput miserabilis homo, qui est in genubus, est conspicuus,

dextri pedis extremum habens iuxta vastum draconem.

Ad dorsum autem eius, qui in genubus est, imperfectus est serpens, ambabus manibus constrictus ab ophiucho et prohibitus attingere coronam adiacentem perfecto serpenti.

17. Haec pervaria sapientia haeresis Peraticae, quam edicere universam arduum est, tam pravam illam, quia ex astrologorum arte videtur deducta esse. Quantum igitur fieri poterat, paucis omnem vim eius exposuimus. Ut autem per com-

ἀλλήλῃσιν 78. Cf. Arat. v. 46 *εἴλεῖται μέγα θαῦμα, Δράκων, περί τ' ἀμφί τ' ἐαγὼς* || *μυρίος* et supra p. 116, 84 *μέγα θαῦμα Δράκοντος πελώρου* 79. Cf. supra p. 118, 12 82. *πόδὸς ἄκρον ἔχει* Aratus v. 70: *ποδὸς ἴχνος ἔχων* supra p. 116, 11 86 *τῆς* om C

ἐπιτομῆς τὴν πᾶσαν αὐτῶν γνώμην ἐκθώμεθα, δοκεῖ προσθεῖναι ταῦτα. Ἔστι κατ᾿ αὐτοὺς τὸ πᾶν πατήρ, υἱός, ὕλη· τούτων τῶν τριῶν ἕκαστον ἀπείρους ἔχει δυνάμεις ἐν ἑαυτῷ. Καθέζεται οὖν μέσος τῆς ὕλης καὶ τοῦ πατρὸς ὁ υἱός, ὁ λόγος, ὁ ὄφις ἀεὶ κινούμενος πρὸς ἀκίνητον τὸν πατέρα καὶ κινουμένην τὴν ὕλην, καὶ ποτὲ μὲν στρέφεται πρὸς τὸν πατέρα, καὶ ἀναλαμβάνει τὰς δυνάμεις εἰς τὸ πρόσωπον ἑαυτοῦ, ἀναλαβὼν δὲ τὰς δυνάμεις στρέφεται πρὸς τὴν ὕλην, καὶ ἡ ὕλη ἄποιος οὖσα καὶ ἀσχημάτιστος ἐκτυποῦται | τὰς ἰδέας ἀπὸ τοῦ υἱοῦ, ἃς ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς ἐτυπώσατο. Ἐκτυποῦται δὲ ὁ μὲν υἱὸς ἀπὸ τοῦ πατρὸς ἀρρήτως καὶ ἀλάλως καὶ ἀμεταστάτως, οὕτως ὥς φησι Μωϋσῆς ἀπὸ τῶν ῥάβδων τῶν ἀπὸ τῶν ποτιστηρίων ῥερευκέναι τὰ χρώματα τῶν ἐγκεκισσημένων. Ὁμοίως δ᾿ αὖ καὶ ἀπὸ τοῦ υἱοῦ ἐπὶ τὴν ὕλην ῥερευκέναι τὰς δυνάμεις κατὰ τὸ ἐγκίσσημα τῆς δυνάμεως τῆς ἀπὸ τῶν ῥάβδων ἐπὶ τὰ ἐγκεκισσημένα· ἡ δὲ διαφορὰ τῶν χρωμάτων καὶ ἡ ἀνομοιότης ῥεύσασα ἀπὸ τῶν ῥάβδων διὰ τῶν ὑδάτων ἐπὶ τὰ πρόβατα διαφορά, φησί, γενέσεώς ἐστι φθαρτῆς καὶ ἀφθάρτου· μᾶλλον δὲ ὥσπερ ζωγραφῶν ἀπὸ τῶν ζῴων μηδὲν ἀφαιρούμενος τῇ γραφίδι πάσας ἐπὶ τὸν πίνακα μεταφέρει τὰς ἰδέας ἐγγράφων, οὕτως ὁ υἱὸς τῇ δυνάμει τῇ ἑαυτοῦ ἀπὸ τοῦ πατρὸς ἐπὶ τὴν ὕλην τοὺς πατρικοὺς μεταφέρει χαρακτῆρας. Ἔστιν οὖν πάντα τὰ πατρικὰ ἐνθάδε καὶ οὐδέν. Εἰ γάρ τις, φησίν, ἐξισχύσει τῶν ἐνθάδε κατανοηθῆναι ὅτι ἐστὶ πατρικὸς χαρακτὴρ ἄνωθεν μετενηνεγμένος ἐνθάδε σωματοποιηθείς, ὥσπερ ἐγκισσήματι τῷ ἀπὸ τῆς ῥάβδου, λευκὸν γέγονεν, ὁμοούσιον τῷ πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς ὅλως, καὶ ἐκεῖ ἀνέρχεται· ἐὰν δὲ μὴ τύχῃ τῆς διδασκαλίας ταύτης, μηδὲ τὴν ἀνάγκην τῆς γενέσεως ἐπιγνῷ, ὥσπερ ἔκτρωμα ὑπὸ νύκτα γεννώμενον ὑπὸ νύκτα ἀπολεῖται. Ὅταν οὖν, φησί, λέγῃ ὁ σωτήρ· Ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἐκεῖνον λέγει, ἀφ᾿ οὗ ὁ υἱὸς μεταλαβὼν τοὺς χαρακτῆρας μετενήνοχεν ἐνθάδε· ὅταν δὲ λέγῃ· Ὁ ὑμέτερος πατὴρ ἀπ᾿ ἀρχῆς ἀνθρωποκτόνος ἐστί, τὸν ἄρχοντα καὶ δημιουργὸν τῆς ὕλης λέγει, ὃς ἀναλαβὼν τοὺς διαδοθέντας ἀπὸ τοῦ υἱοῦ χαρακτῆρας | ἐγέννησεν ἐνθάδε, ὅς ἐστιν ἀπ᾿ ἀρχῆς ἀνθρωποκτόνος· τὸ γὰρ ἔργον αὐτοῦ φθορὰν καὶ θάνατον ἐρ-

2. Cf. 1 Mos. 30, 37 sqq. 14. κατανοηθῆναι] καὶ ἐννοηθῆναι

pendium omnem eorum doctrinam explicemus, placet addere haec. Est secundum illos universum pater, filius, materia. Horum trium unumquodque infinitas habet potestates in sese. Consedit igitur medius inter materiam et patrem filius, logus, serpens, semper sese movens ad immotum patrem et sese moventem materiam, et aliquando vertitur ad patrem et recipit potestates in personam suam, postquam autem recepit potestates, vertitur ad materiam, et materia, carens qualitate et figura, in se effingit ideas a filio, quas filius a patre in se effinxit. Effingitur autem filius a patre ineffabiliter et invocaliter et intransitive sic uti dicit Moses a virgis ex potisteriis conspicuis fluxisse colores conceptorum fetuum. Similiter autem rursus etiam a filio in materiam fluxisse potestates ad instar infetationis potestatis quae redundabat a virgis ad conceptus fetus. Differentia autem colorum et dissimilitudo, quae fluxit a virgis per aquas ad oves, differentia, inquit, generationis est mortalis et immortalis. Potius autem sicut pingens ab animalibus nihil auferens stilo omnes in tabulam transfert species inscribendo, ita filius potestate sua ipsius a patre ad materiam paternas transfert notas. Sunt igitur omnia paterna hic, nec quidquam. Nam si quis, inquit, valebit eorum, qui hic sunt, perspexisse paternam se esse notam desuper translatam huc, incarnatam, quasi gravidatione redundante a virga, album quid factus est, eiusdem naturae cum patre, qui est in caelis, penitus, et illuc revertitur; sin autem carebit hac doctrina nec necessitatem geniturae intellexerit, ut abortivus, sub noctem natus, sub noctem peribit. Quando igitur, inquit, dicit salvator: *Pater vester, qui est in caelis*, illum dicit, a quo mutuatus filius notas transtulit huc; quando autem dicit: *Vester pater ab initio homicida est*, principem et opificem materiae dicit, qui recepit traditas a filio notas et hîc generavit, qui est

C: *ὡς ἐννοηθῆναι* susp. M *ἐστὶ*] *ἔσται* C M 15. *ἐγκισσήματι τῷ*] *ἐν κίσσημα τὸ* C: *ἐγκίσσημά τι τὸ* M 17. *ὅλος* C M *καὶ ἐκεῖ ἀνέρχεται*] *κατοικεῖ ἀνέρχεται* C: *κατ' οἰκείαν ἔρχεται* M 20. *λέγῃ*] *λέγει* C 20. 21. Cf. Matth. 7, 11; 5, 48; alibi. 22. 23. Cf. Ev. Io. 8, 44; *ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς κ. τ. λ.* 24. *ὅς*] *ὡς* C

γάζεται. Οὐδεὶς οὖν, φησί, δύναται σωθῆναι δίχα τοῦ υἱοῦ οὐδὲ ἀνελ θεῖν, ὅς ἐστιν ὁ ὄφις. Ὡς γὰρ κατήνεγκεν ἄνωθεν τοὺς πατρικοὺς χαρακτῆρας, οὕτως πάλιν ἐντεῦθεν ἀναφέρει τοὺς ἐξυπνισμένους καὶ γεγονότας πατρικοὺς χαρακτῆρας ὑποστάτους ἐκ τοῦ ἀνυποστάτου ἐντεῦθεν ἐκεῖ μεταφέρων. Τοῦτ' ἐστὶ, φησί, τὸ εἰρημένον· Ἐγώ εἰμι ἡ θύρα. Μεταφέρει δέ, φησί, ... καμμοῦσιν ὀφθαλμοῦ βλεφάρου, ὥσπερ ὁ νάφθας τὸ πῦρ πανταχόθεν εἰς ἑαυτὸν ἐπισπώμενος, μᾶλλον δὲ ὥσπερ ἡ ἡρακλεία λίθος τὸν σίδηρον, ἄλλο [δὲ] οὐδέν, ἢ ὥσπερ ἡ τοῦ θαλασσίου ἱέρακος κερκὶς τὸ χρυσίον, ἕτερον δὲ οὐδὲν· ἢ ὥσπερ ἄγεται ὑπὸ τοῦ ἠλέκτρου τὸ ἄχυρον, οὕτω, φησίν, ὑπὸ τοῦ ὄφεως ἄγεται πάλιν ἀπὸ τοῦ κόσμου τὸ ἐξεικονισμένον τέλειον γένος ὁμοούσιον, ἄλλο δὲ οὐδέν, καθὼς ὑπ' αὐτοῦ κατεπέμφθη. Πρὸς ταύτην τὴν ἀπόδειξιν φέρουσι τὴν τοῦ ἐγκεφάλου ἀνατομήν, αὐτὸν μὲν τὸν ἐγκέφαλον ἀπεικονίζοντες τῷ πατρὶ διὰ τὸ ἀκίνητον, τὴν δὲ παρεγκεφαλίδα τῷ υἱῷ διά τε τὸ κινεῖσθαι καὶ δρακοντοειδῆ ὑπάρχειν, ἣν ἀρρήτως καὶ ἀσημάντως ἐπισπᾶσθαι διὰ τοῦ κωναρίου φάσκουσι τὴν ἐκ τοῦ καμαρίου ἀπορρέουσαν πνευματικὴν καὶ ζωογόνον οὐ|σίαν, ἣν ὑποδεξαμένη ἡ παρεγκεφαλὶς ὥςπερ ὁ υἱός, ἀλάλως μεταδίδωσι τῇ ὕλῃ τὰς ἰδέας, τουτέστιν ἐπὶ τὸν νωτιαῖον μυελὸν διαρρέει τὰ σπέρματα καὶ τὰ γένη τῶν γεννωμένων κατὰ σάρκα. Τούτῳ τῷ παραδείγματι χρώμενοι εὐφυῶς δοκοῦσι παρεισάγειν τὰ ἄρρητα αὐτῶν ἀλάλως παραδιδόμενα μυστήρια, ἃ ἐξειπεῖν ἡμῖν οὐ θέμις, ὅμως δὲ νοῆσαι διὰ τῶν εἰρημένων εὔκολον.

18. Ἀλλ' ἐπεὶ καὶ τὴν Περατικὴν αἵρεσιν νομίζω φανερῶς ἐκτεθεῖσθαι καὶ διὰ πολλῶν ἔκδηλον πεποιηκέναι διαλαθοῦσαν καὶ πάντα πᾶσι συντιθεμένην, ἀποκρύπτουσάν τε τὸν ἴδιον ἰόν, δοκεῖ μηδὲν περαιτέρω τούτων κατηγορεῖν, ἱκανῶν ὄντων πρὸς κατηγορίαν αὐτῶν τῶν ὑπ' αὐτῶν δογματιζομένων.

19. Ἴδωμεν οὖν τί λέγουσιν οἱ Σηθιανοί. Τούτοις δοκεῖ τῶν ὅλων εἶναι τρεῖς ἀρχὰς περιωρισμένας, ἑκάστην δὲ τῶν ἀρχῶν ἀπείρους ἔχειν δυνάμεις. Δυνάμεις δ' αὐτῶν λεγόντων

27. δίχα] διὰ C M 30. ἐξυπνισμοὺς C 32. Ev. Io. 10, 7
32. Homoeoteleuton verbi φησί in causa fuise videtur, cur intermedia exciderent. 33. 34. νάφθας] ἀνάφθας C M 35. δὲ om C
37. ὑπὸ] ἀπὸ C M 39. ἄλλο] ἄλλοι C 40. sqq. Cf. supra

ab initio homicida, nam quod opus eius est, interitum et mortem gignit. Nemo igitur, inquit, potest servari absque filio nec reverti, qui est serpens. Ut enim detulit desuper paternas notas, sic rursus hinc refert ex somno excitatas et factas paternas notas substantiales ex non substantiali, hinc illuc transferens. Hoc est, inquit, illud quod dictum est: *Ego sum porta.* Transfert autem, inquit, ... ut naphtha ignem undique in se attrahens, vel potius sicuti Herculeus lapis ferrum, aliud autem nihil, vel sicut marini accipitris spina aurum, aliud autem nihil, vel sicuti ducitur ab electro palea, sic, inquit, a serpente retrahitur a mundo effigiatum perfectum genus eiusdem naturae, aliud autem nihil, prouti ab eo demissum est. Ad hanc demonstrationem adhibent cerebri resectionem, ipsum quidem cerebrum assimilantes patri propter immobilitatem, cerebellum autem filio, propterea quod et movetur et serpentis simile est, quod arcano et obscuro modo attrahere ad se per glandulam dictitant ex camario emanantem spiritualem et genitalem vim, qua recepta cerebellum sicut filius tacite tradit materiae ideas, hoc est in medullam dorsalem transmanant semina et genera generatorum carnaliter. Hoc exemplo usi scite videntur subintroducere arcana sua tacite tradita mysteria, quae eloqui nobis nefas, tamen per ea quae dicta sunt pervidere facile est.

18. Verum cum Peraticam haeresim mihi videar aperte exposuisse et multis manifestam reddidisse latentem antea et omnia commiscentem cum omnibus celantemque virus suum, placet nihil iam ultra haec arguere, cum sufficiant ad arguendos eos ipsorum placita.

19. Videamus igitur, quid dicant Sethiani. His placet universi esse tria principia descripta, singula autem principia infinitas

p. 128, 88 sqq. 44. 45. *καμαρίου*] *μακαρίου* C: *ἐγκρανίου* susp. M Tu cfr. supra p. 128, 95. 96. *Ὁ μὲν γὰρ ἐγκέφαλος ἀνατμηθεὶς ἔνδον ἔχει τὸ καλούμενον καμάριον κ. τ. λ.* 46. *ἀλλάλλως* C 48. *γενομένων* C M 50. *ἀλλάλως* C 51. *ὅμως*] *πολλῶν* C: *πολλοῖς* susp. M 53. 54. *διαλαθοῦσαν*] *ἀεὶ λαθοῦσαν* C: *ἕως ἄρτι λαθοῦσαν* susp. M 54. *πάντα πᾶσι*] *παντάπασι* C M 57. sqq. Cf. epitom. infra l. X. c. 11, p. 316—18. ed. Oxon. 59. 60. *Δυνάμεις — λογιζέσθω*] *Δύναται δὲ αὐτῶν λεγόντων λογίζεσθαι* I. Bernaysius in *ep. crit. ad Bunsenium* p. 318. 59. *δ'*] *δι'* C

λογιζέσθω ὁ ἀκούων τοῦτο αὐτοὺς λέγειν· Πᾶν ὅ τι νοήσει ἐπινοεῖς ἢ καὶ παραλείπεις μὴ νοηθέν, τοῦτο ἑκάστη τῶν ἀρχῶν πέφυκε γενέσθαι, ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἡτισοῦν διδασκομένη τέχνη· οἱονεί, φησί, γενήσεται τοῦτο τὸ παιδίον αὐλητής, ἐγχρονίσαν αὐλητῇ, ἢ γεωμέτρης γεωμέτρῃ, γραμματικῷ γραμματικός, τέκτων τέκτονι, καὶ ταῖς ἄλλαις ἁπάσαις τέχναις ἐγγὺς γινόμενον ὁμοίως συμβήσεται. Αἱ δὲ τῶν ἀρχῶν, φησίν, οὐσίαι φῶς καὶ σκότος· τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ | τεταγμένον ἐν μέσῳ τοῦ σκότους, ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτός, ὅπερ ἐστὶν ἄνω, οὐκ ἔστι πνεῦμα, ὡς ἀνέμου ῥιπὴ ἢ λεπτή τις αὔρα νοηθῆναι δυναμένη, ἀλλ' οἱονεὶ μύρου τις ὀσμὴ ἢ θυμιάματος ἐκ συνθέσεως κατεσκευασμένου λεπτή, διοδεύουσα δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι ἢ λόγῳ ἔστιν ἐξειπεῖν φορᾷ εὐωδίας. Ἐπειδὴ δὲ ἄνω ἐστὶ τὸ φῶς καὶ κάτω [τὸ] σκότος, καὶ τούτων, ὡς ἔφην, τοιοῦτον τρόπον μέσον τὸ πνεῦμα, τὸ δὲ φῶς πέφυκε καθάπερ ἀκτὶς ἡλίου ἄνωθεν ἐλλάμπειν εἰς τὸ ὑποκείμενον σκότος, ἀνάπαλιν δὲ ἡ τοῦ πνεύματος εὐωδία μέσην ἔχουσα τάξιν ἐκτείνεται καὶ φέρεται πανταχῇ, ὡς ἐπὶ τῶν ἐν πυρὶ θυμιαμάτων τὴν εὐωδίαν πανταχῇ φερομένην ἐπεγνώκαμεν· τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν διῃρημένων τριχῶς, τοῦ πνεύματος καὶ τοῦ φωτὸς ὁμοῦ ἡ δύναμίς ἐστιν ἐν τῷ σκότει τῷ κάτωθεν αὐτῶν τεταγμένῳ. Τὸ δὲ σκότος ὕδωρ ἐστὶ φοβερόν, εἰς ὃ κατέσπασται καὶ μετενήνεκται εἰς τὴν τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Τὸ δὲ σκότος ἀσύνετον οὐκ ἐστίν, ἀλλὰ φρόνιμον παντελῶς, καὶ οἶδεν ὅτι, ἂν ἀπαρθῇ τὸ φῶς ἀπὸ τοῦ σκότους, μένει τὸ σκότος ἔρημον, ἀφανές, ἀλαμπές, ἀδύναμον, ἄπρακτον, ἀσθενές. Διὸ πάσῃ φρονήσει καὶ συνέσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ τὸν σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Καὶ τούτων ἔστιν ἰδεῖν τῆς φύσεως εἰκόνα κατὰ πρόσωπον ἀνθρώπου, κόρην ὀφθαλμοῦ, σκοτεινὴν ἐκ τῶν ὑποκειμένων ὑδάτων, πεφωτισμένην πνεύματι.

61. ἑκάστην C: ἑκάστῃ M Bernaysius. Cfr. infra p. 316, 62 ed. Oxon. 62. ἀνθρωπί (sic) ψυχῇ C ἥτις οὖν C 63. γένηται C: γένοιτο Bernaysius 70. ἀνέμου ῥιπὴ] ἄνεμος ἢ ῥιπὴ C M 73. φορᾷ εὐωδίας] εὐωδίᾳ C M, cfr. infra p. 316, 62 ed. Ox. Ἐπειδὴ δ̓] Ἐπειδὴ: Ἐπεὶ δὴ M 74. τὸ om C 75. τρόπον] τρόπον ὃν

habere potestates. Cum autem potestates dicunt, reputet qui audit hoc eos dicere. Quodcunque cognitione cognoscis, vel forte praetermittis incognitum, hoc unumquodque principiorum fieri potest, ut in humana anima omnis quae docetur ars, veluti, inquit, evadet hic infans tibicen per tempus usus institutione tibicinis, aut geometra geometrae, grammatici grammaticus, faber fabri, et in ceterarum omnium artium consortium adductus similiter cadet. Principiorum autem, inquit, naturae lux et tenebrae, harum autem intermedius spiritus impermixtus. Spiritus autem intermedius positus inter tenebras, quae sunt infra, et lucem, quae est supra, non est spiritus ut venti vis aut tenuis quaedam aura, quae sentiri potest, sed tanquam unguenti quidam odor vel suffimenti ex mixtura fabricati, tenuis, permeans potestas insensibili quadam et vehementiori, quam quae verbis exprimatur, vi odoramenti. Quandoquidem autem supra est lux et infra tenebrae et harum intermedius, ut dicebam, in hunc modum spiritus, lux autem ita nata est, ut tanquam radius solis desuper illucescat in subiectas tenebras, rursus autem spiritus odoramentum, medium tenens locum, expanditur et fertur in omnes partes, ut in suffimentis igni impositis odoramentum in omnes partes sese diffundens cognovimus; — cum haec igitur sit potestas trifariam divisorum principiorum: spiritus et lucis simul potestas est in tenebris infra ipsa positis. Tenebrae autem sunt aqua terribilis, in quam derepta est et translata in talem naturam cum spiritu lux. Tenebrae autem mente non carent sed praeditae prorsus sunt, et norunt, ubi abstrahatur lux a tenebris, manere tenebras desolatas, sine luce, sine splendore, sine vi, sine efficacia, debiles. Quapropter omni ratione et cogitatione nituntur continere in sese splendorem et scintillam lucis cum spiritus odoramento. Et horum est videre naturae imaginem in facie hominis, pupillam oculi, tenebrosam ex subiacentibus aquis, il-

C: *τρόπον ὃν* M, cfr. p. 316, 63 ed. Ox. *τὸ δὲ φῶς*] *τὸ φῶς* M, cfr. infra l. l. 76. *ἀκτὶς ἡλίου*] *δή τις ἡλίου* C: *δή τις ἥλιος* M, cfr. infra p. 316, 64 *ἐλλάμπειν*] *ἐλλάμπει* M 77. *εὐωδία διαμέση ἔχουσαν* C, cfr. p. 316, 65 80. *διῃρημένων*] *εἰρημένων* C M, cfr. p. 316, 66 81. *τοῦ κάτωθεν* C 85. *οἶδεν*] *οὐδὲν* C 88. *εἰς ἑαυτὸν* C 88. *τὸν σπινθῆρα*] *σπινθῆρα* C M, cfr. p. 317, 76.

Ὡς οὖν ἀντι|ποιεῖται τὸ σκότος τῆς λαμπηδόνος, ἵνα ἔχῃ τὸν σπινθῆρα δουλεύοντα καὶ βλέπῃ, οὕτως ἀντιποιεῖται τὸ φῶς καὶ τὸ πνεῦμα τῆς δυνάμεως τῆς ἑαυτῶν· καὶ σπεύδουσιν ἆραι καὶ ἀνακομίσασθαι πρὸς ἑαυτὰ τὰς μεμιγμένας αὐτῶν δυνάμεις εἰς τὸ ὑποκείμενον ὕδωρ σκοτεινὸν καὶ φοβερόν. Πᾶσαι δὲ αἱ δυνάμεις τῶν τριῶν ἀρχῶν οὖσαι κατ᾽ ἀριθμὸν ἀπειράκις ἄπειροι εἰσὶν ἑκάστη κατὰ τὴν οὐσίαν τὴν ἑαυτῆς φρόνιμοι καὶ νοεραί· ἀναρίθμητοι δὲ τὸ πλῆθος, φρόνιμοί τε οὖσαι καὶ νοεραί, ἐπειδὰν μένωσι κατ᾽ αὐτάς, ἡσυχάζουσι πᾶσαι· ἐὰν δὲ πλησιάσῃ δύναμις δυνάμει, ἡ ἀνομοιότης τῆς παραθέσεως ἐργάζεται κίνησίν τινα καὶ ἐνέργειαν ἀπὸ τῆς κινήσεως μεμορφωμένην κατὰ τὴν συνδρομὴν τῆς παραθέσεως τῶν συνελθουσῶν δυνάμεων. Γίνεται γὰρ τῶν δυνάμεων ἡ συνδρομὴ οἱονεί τις τύπος σφραγῖδος κατὰ συνδρομὴν ἀποπληγεὶς παραπλησίως πρὸς τὸν ἐκτυποῦντα τὰς ἀναφερομένας οὐσίας. Ἐπεὶ οὖν ἄπειροι μὲν κατ᾽ ἀριθμὸν τῶν τριῶν ἀρχῶν αἱ δυνάμεις, ἐκ δὲ τῶν ἀπείρων δυνάμεων ἄπειροι συνδρομαί, ἀναγκαίως γεγόνασιν ἀπείρων σφραγίδων εἰκόνες. Αὗται οὖν εἰσὶν αἱ εἰκόνες αἱ τῶν διαφόρων ζῴων ἰδέαι. Γέγονεν οὖν ἐκ πρώτης τῶν τριῶν ἀρχῶν συνδρομῆς μεγάλης μεγάλη τις ἰδέα σφραγῖδος, οὐρανὸς καὶ γῆ. Σχῆμα δὲ ἔχουσιν ὁ οὐρανὸς καὶ ἡ γῆ μήτρᾳ παραπλήσιον τὸν ὀμφαλὸν ἐχούσῃ μέσον, καὶ εἰ, φησίν, ὑπὸ ὄψιν ἀγαγεῖν θέλει τις τὸ σχῆμα τοῦτο, ἔγκυον μήτραν ὁποίου βούλεται ζῴου τεχνικῶς ἐρευνησάτω, καὶ εὑρήσει τὸ ἐκτύπωμα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῶν ἐν μέσῳ πάντων ἀπαραλλάκτως ὑποκειμένων· γέγονε δὲ οὐρανοῦ καὶ γῆς τὸ σχῆμα τοιοῦτον οἱονεὶ μήτρᾳ παραπλήσιον κατὰ | τὴν πρώτην συνδρομήν. Ἐν δ᾽ αὖ τῷ μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς γεγόνασιν ἄπειροι δυνάμεων συνδρομαί. Καὶ ἑκάστη συνδρομὴ οὐκ ἄλλο τι εἰργάσατο καὶ ἐξετύπωσεν ἢ σφραγῖδα οὐρανοῦ καὶ γῆς παραπλήσιον μήτρᾳ. Ἐν αὖ γῇ δὲ ἀνέφυσαν ἐκ τῶν ἀπείρων σφραγίδων διαφόρων ζῴων ἄπειρα πλήθη. Εἰς δὲ ταύτην πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν ἐν τοῖς διαφόροις ζῴοις ἀπειρίαν κατ-

93. *δουλεύονται* C *βλέπει* C 95. *ἑαυτὰς* C M 98. 99. *φρόνιμοι, νοεραί, ἀναριθμητοὶ τὸ πλῆθος* C M 99. *τε*] *δὲ* C M 1. *ἡσυχάζουσαι* C 5. *οἱονεί*] *οἷον εἰ* Bernaysius 6. *ἀποπληγεὶς*] *ἀπὸ πληγῆς* C M: *ἀποπλάσῃ* Bernaysius 12. 13. *ἰδέα, σφραγὶς οὐρανοῦ*

lustratam spiritu. Sicuti igitur sectantur tenebrae splendorem, ut habeant scintillam servientem et cernant, ita sectatur lux et spiritus potestatem sui ipsorum, et nituntur tollere et recipere ad sese mixtas ipsorum potestates in subiacentem aquam tenebrosam et terribilem. Omnes autem potestates trium principiorum, quae sunt numero infinities infinitae, sunt singulae secundum naturam suam mente praeditae et intelligentia. Innumerabilis autem multitudine et mente praeditae cum sint intelligentiaque, ubi manebunt per se, quiescunt omnes; ubi autem propinquabit potestas potestati, dissimilitudo iuxta-positionis efficit motum quendam et actionem a motu figuratam per concursum iuxta-positionis congressarum potestatum. Fit enim potestatum concursus tanquam figura sigilli per concursum reddita consimiliter effiguranti eas quae admoventur essentias. Cum igitur infinitae numero trium principiorum sint potestates exque infinitis potestatibus infiniti concursus, necessario nascuntur infinitorum sigillorum imagines. Nascitur igitur ex primo trium principiorum concursu magni magna quaedam species sigilli, caelum et terra. Formam autem habent caelum et terra utero consimilem, umbilicum habenti medium, et si quis, inquit, sub oculos subiicere volet hanc formam, gravidum uterum cuiuscunque voluerit animalis per artem scrutetur et reperiet effigiem caeli et terrae eorumque, quae in medio omnium incommutabiliter subiacent. Facta autem est caeli et terrae forma talis quasi utero consimilis per primum concursum. Rursus autem in medio caeli et terrae extiterunt infiniti potestatum concursus. Et unusquisque concursus non aliud quidquam effecit et effiguravit quam sigillum caeli et terrae consimile utero. In terra autem rursus enatae sunt ex infinitis sigillis diversorum animalium infinitae multitudines. In hanc

καὶ γῆς C M: *ἰδέα σφραγῖδος οὐρανοῦ καὶ γῆς* Bernaysius. Cf. infra p. 317, 89 ed. Ox. 17. *ἀπαραλάκτως* C 18. *ὑποκείμενον* C M Bernaysius 19. *παραπλήσιον κατὰ*] *παραπλήσιον. Κατὰ* C M *συνδρομήν. Ἐν*] *συνδρομὴν ἐν* C M 20. *δ' αὖ τῷ μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς* Bernaysius: *αὐτῷ μέσῳ τῷ οὐρανῷ καὶ τῇ γῇ* C M 22. *οὐρανῷ καὶ γῇ* C 23. *αὖ γῇ*] *αὐτῇ* C M 24. *πλήθη*] *πλεῖον* C 24. 25. *πᾶσαν τὴν* Bernaysius: *πᾶσαν ἡ* C: *πᾶσα ἡ* susp. M 25. *ἀπειρίαν* Bernaysius: *ἀπειρία* C M

ἔσπαρται καὶ καταμεμέρισται μετὰ τοῦ φωτὸς ἡ τοῦ πνεύματος ἄνωθεν εὐωδία. Γέγονεν οὖν ἐκ τοῦ ὕδατος πρωτόγονος ἀρχὴ ἄνεμος σφοδρὸς καὶ λάβρος καὶ πάσης γενέσεως αἴτιος. Βρασμὸν γάρ τινα ἐμποιῶν τοῖς ὕδασιν ἀπὸ τῶν ὑδάτων διεγείρει κύματα· ἡ δὲ τῶν κυμάτων κίνησις, οἱονεί τις οὖσα ὁρμὴ . . . . . . ἐγκύμονα γεγονέναι τοῦ ἀνθρώπου ἢ τοῦ νοῦ, ὁπόταν ὑπὸ τῆς τοῦ πνεύματος ὁρμῆς ὀργήσασα ἐπείγηται. Ἐπὰν δὲ τοῦτο τὸ ὑπὸ τοῦ ἀνέμου κῦμα ἐκ τοῦ ὕδατος ἐγερθὲν καὶ ἔγκυμον εἰργασμένον τὴν φύσιν γέννημα θηλείας εἰλήφῃ ἐν ἑαυτῷ, κατέχει τὸ κατεσπαρμένον φῶς ἄνωθεν μετὰ τῆς τοῦ πνεύματος εὐωδίας, τουτέστι νοῦν μεμορφωμένον ἐν τοῖς διαφόροις εἴδεσιν, ὅ ἐστι τέλειος θεός, ὃς ἐξ ἀγεννήτου φωτὸς ἄνωθεν καὶ πνεύματος κατενηνεγμένος εἰς ἀνθρωπίνην φύσιν, ὥσπερ εἰς ναόν, φορᾷ φύσεως καὶ ἀνέμου κινήματι, γεννηθεὶς ἐξ ὕδατος, συγκεκραμένος καὶ καταμεμιγμένος τοῖς σώμασιν οἱονεὶ ἅλας τῶν γενομένων ὑπάρχων καὶ φῶς τοῦ σκότους, ἀπὸ τῶν σωμάτων σπεύδων λυθῆναι καὶ μὴ δυνάμενος τὴν λύσιν εὑρεῖν καὶ τὴν διέξοδον ἑαυτοῦ· καταμέμικται γὰρ σπιν|θήρ τις ἐλάχιστος απ . . . . ᾆσμα ἄνωθεν α . . . . νος δίκην ἐν τὸ . . . . λυσυγκρίτοις πολλῶν, ὡς, φησίν, ἐν τῷ ψαλμῷ λέγει. Πᾶσα οὖν φροντὶς καὶ ἐπιμέλεια τοῦ φωτὸς ἄνωθεν ἐστί, πῶς καὶ τίνα τρόπον ἀπὸ τοῦ θανάτου τοῦ πονηροῦ καὶ σκοτεινοῦ σώματος ἀπολυθείη ὁ νοῦς ἀπὸ τοῦ πατρὸς τοῦ κάτωθεν, ὅ ἐστιν ὁ ἄνεμος ἐν βρασμῷ καὶ ταράχῳ ἐπεγείρας κύματα καὶ γεννήσας νοῦν τέλειον υἱὸν ἑαυτοῦ, οὐκ ὄντα ἴδιον ἑαυτοῦ κατ᾽ οὐσίαν. Ἄνωθεν γὰρ ἦν ἀκτὶς ἀπὸ τοῦ τελείου φωτὸς ἐκείνου, ἐν τῷ σκοτεινῷ καὶ φοβερῷ καὶ πικρῷ καὶ μιαρῷ ὕδατι κεκρατημένος, ὅπερ ἐστὶ πνεῦμα φωτεινὸν ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος· ἐπεὶ οὖν . . . . ἡμάτων κύματα . . . . διαφόροις γ . . . .

30. κίνησις] γένεσις C M Bernaysius. Cf. infra p. 317, 96 ed. Ox. ἐκ τῆς τῶν ὑδάτων κινήσεως Post ὁρμὴ quaedam excidisse ex tenore disputationis manifestum fit, idque confirmat Epitome iis, quae de serpentis sibilo apponit 31. τοῦ ἀνθρώπου ἢ τοῦ νοῦ Bernaysius: τὸν ἄνθρωπον ἢ τὸν βοῦν C M 32. ὀργήσασα] ὁρμήσασα C M. Cf. infra p. 317, 98 ed. Ox. 34. ἔγκυμον εἰργασμένον] ἐγκύμονα ἐργασάμενον C M Bernaysius εἰλήφῃ] Bernaysius: εἰληφὸς corr C M: εἰληφὼς pr C 35. κατέχει Bernaysius: καὶ ἔχον C M 36. τουτ-

autem omnem quae sub caelo est in diversis animalibus infinitatem dispersum est et divisum cum luce spiritus superne odoramentum. Natum igitur est ex aqua primigenium principium, ventus gravis et vehemens et omnis generationis auctor. Fervorem enim quendam incutiens aquis ab aquis excitat undas. Undarum autem motus qui quasi quidam impetus est . . . . gravidam factam esse hominis aut mentis, quando sub spiritus impetu intenditur. Ubi autem haec unda a vento ex aqua excitata et gravida facta ad naturam suam generamen femellae concepit in sese, continet lucem superne desparsam cum spiritus odoramento, hoc est mentem figuratam in diversis speciebus suis, quae lux est perfectus deus, qui ex non genita superne luce et spiritu delatus in humanam naturam tanquam in templum vi naturae et venti motu, generatus ex aqua, conflatus et commixtus corporibus tanquam sal quidam eorum quae existunt, et lux tenebrarum, a corporibus nitens liberari nec valens liberationem reperire et exitum suum; immixta est enim scintilla quaedam tenuissima . . . .

. . . .

ut, inquit, in psalmo dicit. Omnis igitur cura et cogitatio lucis superne delatae est, quomodo et qua ratione a morte mali et tenebrosi corporis liberetur mens a patre qui inferne est, quod est ventus, qui in fervore et turba excitavit undas et generavit mentem perfectam filium suum, non illum proprium suum ad naturam. Superne enim erat, scintilla a perfecta luce illa, in tenebrosa et terribili et amara et foeda aqua superatus, quod est spiritus lucidus illatus super aquam. Cum igitur

. . . .

ἔστιν οὖν C 37. *θεός, ὅς*] *θεὸς* C M Bernaysius 38. *κατενηνεγμένον* C 40. *συγκεκραμένος*] *συγκεκρυμμένος* C M: *συγκεκριμένος* Bernaysius. Cf. infra p. 145, 38. 40; 146, 63. 64. 73 ed. Ox. 41. *ἄλας τῶν* Bernaysius: *ἀλάλων* C M *ὑπάρχον* C M 42. *σπεῦδον* C 46. *ὡς, φησίν — λέγει*] Recte Bernaysius haec verba, quae Millerus ad sequentia referebat, pertinuisse ad ea, quae interciderunt, perspexit. 47. *ἐστί. Πῶς καὶ τίνα τρόπον;* M 48. *ἀπολυθείη* Bernaysius: *ἀπολυθεὶς* C M 49. *βρασμῷ*] *βρόμῳ* C M Bernaysius. Cf. infra p. 318, 11 ed. Ox. 52. *σκοτεινῷ*] *σκολιῷ* C M: *σκοτίῳ* Bernaysius 53. *κεκρατημένον* C M 54. *ὕδατος* Bernaysius: *φωτὸς* C M

. . . εσι μήτρα τίς . . . . κατεσπαρμέν . . . . ὡς ἐπὶ πάντων τῶν ζῴων θεωρεῖται. Ὁ δὲ ἄνεμος λάβρος ὁμοῦ καὶ σφοδρὸς φερόμενός ἐστι τῷ συρίγματι ὄφει παραπλήσιος. Πρῶτον οὖν ἀπὸ τοῦ ἀνέμου, τουτέστιν ἀπὸ τοῦ ὄφεως, ἡ ἀρχὴ τῆς γεννήσεως τὸν εἰρημένον τρόπον γέγονε, πάντων ὁμοῦ τὴν ἀρχὴν τῆς γεννήσεως εἰληφότων. Ἐπεὶ οὖν κατείληπται τὸ φῶς καὶ τὸ πνεῦμα εἰς τὴν ἀκάθαρτον, φησί, καὶ πολυπήμονα μήτραν ἄτακτον, εἴσω ὁ ὄφις εἰσερχόμενος, ὁ ἄνεμος τοῦ σκότους, ὁ πρωτόγονος τῶν ὑδάτων, γεννᾷ τὸν ἄνθρωπον, καὶ ἄλλο οὐδὲν εἶδος οὔτε ἀγαπᾷ οὔτε γνωρίζει ἡ ἀκάθαρτος μήτρα. Ὁμοιωθεὶς οὖν ὁ ἄνωθεν τοῦ φωτὸς τέλειος λόγος τῷ θηρίῳ τῷ ὄφει, εἰσῆλθεν εἰς τὴν ἀκάθαρτον μήτραν, ἐξαπατήσας αὐτὴν τοῦ θηρίου τῷ ὁμοιώματι, ἵνα λύσῃ τὰ δεσμὰ τὰ περικείμενα τῷ τελείῳ νοῒ τῷ γεννωμένῳ ἐν ἀκαθαρσίᾳ μήτρας ὑπὸ τοῦ | πρωτοτόκου τοῦ ὕδατος, ὄφεως, ἀνέμου. Θηρίου αὕτη, φησίν, ἐστὶν ἡ τοῦ δούλου μορφή, καὶ αὕτη ἡ ἀνάγκη τοῦ κατελθεῖν τὸν λόγον τοῦ θεοῦ εἰς μήτραν παρθένου. Ἀλλ' οὐκ ἔστι, φησίν, ἀρκετὸν τὸ εἰσεληλυθέναι τὸν τέλειον ἄνθρωπον, λόγον, εἰς μήτραν παρθένου καὶ λῦσαι τὰς ὠδῖνας τὰς ἐν ἐκείνῳ τῷ σκότει· ἀλλὰ γὰρ μετὰ τὸ τὰ ἐν μήτρᾳ μυστήρια μυσαρὰ εἰσελθεῖν ἀπελούσατο καὶ ἔπιε τὸ ποτήριον ζῶντος ὕδατος ἁλλομένου, ὃ δεῖ πάντως πιεῖν τὸν μέλλοντα ἀποδιδύσκεσθαι τὴν δουλικὴν μορφὴν καὶ ἐπενδύσασθαι ἔνδυμα οὐράνιον.

20. Ταῦτά ἐστιν ἃ λέγουσιν, ὡς δι' ὀλίγου ἐστὶν εἰπεῖν, οἱ προστάται τῶν Σηθιανῶν λόγων. Ἔστι δὲ ὁ λόγος αὐτῶν συγκείμενος ἐκ φυσικῶν καὶ πρὸς ἕτερα εἰρημένων ῥημάτων, ἃ εἰς τὸν ἴδιον λόγον μετάγοντες διηγοῦνται, καθάπερ εἴπομεν. Λέγουσι δὲ καὶ Μωσέα αὐτῶν συναίρεσθαι τῷ λόγῳ, ἐπὰν εἴπῃ σκότος καὶ γνόφος καὶ θύελλα· οὗτοι, φησίν, οἱ τρεῖς λόγοι· ἢ ὅταν εἴπῃ ἐν παραδείσῳ γεγονέναι τρεῖς, Ἀδάμ, Εὔαν, ὄφιν· ἢ ὅταν λέγῃ τρεῖς, Κάϊν, Ἄβελ, Σήθ, καὶ πάλιν τρεῖς, Σήμ, Χάμ, Ἰάφεθ· ἢ ὅταν λέγῃ τρεῖς πατριάρχας, Ἀβραάμ, Ἰσαάκ,

58. σφοδρὸς] φοβερὸς C M Bernaysius συρίγματι] σύρματι C M Bernaysius. Cf. infra p. 317, 97 ed. Ox. 58. 59. παραπλήσιος. Πρῶτον οὖν] παραπλήσιος πτερωτός C Bernaysius: παραπλήσιος πτερωτῷ· ὡς susp. M 63. εἴσω] εἰς ἣν C M Bernaysius 67. εἰσῆλθεν Bernaysius: εἰσελθὼν C M 70. πρωτοτόκου τοῦ Bernaysius:

. . . . ut in omnibus animalibus conspicitur. Ventus autem acer simul et vehemens sese inferens, sibilo suo est consimilis serpentis. Primum igitur a vento, hoc est a serpente principium generationis in eum quem diximus modum extitit omnium simul, quae principium generationis ceperunt. Postquam igitur comprehensa est lux et spiritus in impurum, inquit, et calamitosum uterum inconditum, intus serpens intrans, ventus tenebrarum, primigenius aquarum, generat hominem, nec aliam ullam speciem nec amat nec cognoscit impurus uterus. Assimilatus igitur superne deveniens lucis perfectus logus bestiae serpenti intravit in impurum uterum fallens eum similitudine bestiae, ut solvat vincula circumiecta perfectae menti generatae in impuritate uteri a primigenio aquae, serpente, vento. Bestiae, inquit, haec est servi forma et haec necessitas, cur descenderet logus dei in uterum virginis. Sed non, inquit, sufficiens est intrasse perfectum hominem, logum, in uterum virginis et solvisse graves dolores qui sunt in illis tenebris; at enim postquam in foeda uteri mysteria intravit, ablutus est et bibit poculum vivae aquae salientis, quod oportet omnino bibere eum, qui volet exuere servilem formam et superinduere indumentum caeleste.

20. Haec sunt quae dicunt, ut licet paucis complecti, praesides Sethianae doctrinae. Est autem doctrina eorum conflata ex naturalibus et in alium finem comparatis dictis, quae in suam doctrinam transferentes exponunt sicuti demonstravimus. Dicunt autem etiam Mosen auxiliari suae doctrinae, quando dicat: *tenebrae et caligo et turbo*, haec, inquit, tria verba, aut quando dicat in paradiso extitisse tres, Adam, Evam, serpentem, aut quando dicat tres, Cain, Abel, Seth, et rursus tres, Sem, Ham, Japheth, aut quando dicat tres patriarchas, Abraham, Isaac, Jacob, aut quando dicat tres dies ante

πρωτοτόκου C M   71. *Θηρίου*] M iungit: *ἀνέμου, θηρίου. Αὕτη κ. τ. λ.*   *ἡ τοῦ δούλου*] *μορφή.* Cf. Philipp. 2, 7 *μορφὴν δούλου λαβών*, et infra p. 318, 16—18 ed. Ox.   74. 75. *λῦσαι τὰς ὠδῖνας.* Cf. Act. Ap. 2, 24   75. 76. *τὸ τὰ ἐν μήτρᾳ*] *τὸ ἐν μήτρᾳ* C: *τὰ ἐν μήτρᾳ* et paullo post *ἐξελθὼν* pro *εἰσελθεῖν* susp. M   76. *μυσερὰ* C   77. Cf. Ev. Io. 4, 7—14   77. *πιεῖν*] *ποιεῖν* C   81. *προστάται* C: *πρωτοστάται* M   83. *ἴδιον*] *ἀΐδιον* C M   85. Cf. 2 Mos. 10, 22.

Ἰακώβ· ἢ ὅταν λέγῃ τρεῖς ἡμέρας πρὸ ἡλίου καὶ σελήνης γεγονέναι· ἢ ὅταν λέγῃ τρεῖς νόμους, ἀπαγορευτικόν, ἐφετικόν, διατιμητικόν. Ἀπαγορευτικὸς δέ ἐστι νόμος· Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ μὴ φάγητε. Ἐν δὲ τῷ λέγειν· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω, ἐφετικός, φησίν, οὗτος ὁ νόμος· ἑλομένῳ γὰρ ἔστιν ἐξελθεῖν, μὴ | ἑλομένῳ δὲ μένειν. Διατιμητικὸς δὲ νόμος ἐστὶν ὁ λέγων· Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις· διατετίμηται γὰρ ἑκάστου τῶν ἀδικημάτων ζημία. Ἔστι δὲ αὐτοῖς ἡ πᾶσα διδασκαλία τοῦ λόγου ἀπὸ τῶν παλαιῶν θεολόγων, Μουσαίου καὶ Λίνου καὶ τοῦ τὰς τελετὰς μάλιστα καὶ τὰ μυστήρια καταδείξαντος Ὀρφέως. Ὁ γὰρ περὶ τῆς μήτρας αὐτῶν καὶ τοῦ Ὀρφέως λόγος, καὶ ὁ ὀμφαλός, ὅπερ ἐστὶν ἁρμονία, διαρρήδην οὕτως ἐστὶν ἐν τοῖς Βακχικοῖς τοῦ Ὀρφέως. Τετέλεσται δὲ ταῦτα καὶ παραδέδοται ἀνθρώποις πρὸ τῆς Κελεοῦ καὶ Τριπτολέμου καὶ Δήμητρος καὶ Κόρης καὶ Διονύσου ἐν Ἐλευσῖνι τελετῆς, ἐν Φλιοῦντι τῆς Ἀττικῆς. Πρὸ γὰρ τῶν Ἐλευσινίων μυστηρίων ἔστιν ἐν τῇ Φλιοῦντι τῆς λεγομένης Μεγάλης ὄργια. Ἔστι δὲ παστὰς ἐν αὐτῇ, ἐπὶ δὲ τῆς παστάδος ἐγγέγραπται μέχρι σήμερον ἡ πάντων τῶν εἰρημένων λόγων ἰδέα. Πολλὰ μὲν οὖν ἐστι τὰ ἐπὶ τῆς παστάδος ἐκείνης ἐγγεγραμμένα, περὶ ὧν καὶ Πλούταρχος ποιεῖται λόγους ἐν ταῖς πρὸς Ἐμπεδοκλέα δέκα βίβλοις. Ἔστι δ' ἐν τοῖς πλείοσι καὶ πρεσβύτης τις ἐγγεγραμμένος πολιὸς πτερωτὸς ἐντεταμένην ἔχων τὴν αἰσχύνην,

91. sqq. 1 Mos. 2, 16. 17 *Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ.* 92. *φαγῇ*] *φαγεῖν* C M 94—96. 1 Mos. 12, 1. *Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω.* 98. Cf. 2 Mos. 20, 13—15 et 5 Mos. 5, 17: *Οὐ φονεύσεις. Οὐ μοιχεύσεις. Οὐ κλέψεις.* 1. *ἀπὸ*] *ὑπὸ* C M 3. De his et quae sequuntur conferendus commentariolus in *Nuntiis litterariis Gottingensibus* a. 1852. *Nachrichten* n. 7. p. 95—99, et quae scripsit B. ten Brink in *Mnemosyne* 2. p. 383 sqq. 3. *μήτρας*] *μητρὸς* Brinkius cogitans de Athenagorae *(Legat. pro Christ. c. 20)* narratione, quae est de matre Rhea, quam Iuppiter venatur: quae tamen ab hoc loco abhorrent. 4. *Ὀρφέως*] *ὄφεως* olim Schneidewinus et Brinkius *ὁ ὀμφαλός* Brinkius: *ὀμφαλός* C M 4. 5. *ἁρ-*

solem et lunam extitisse, aut quando dicat tres leges, vetantem, permittentem, poenae constituentem. Vetans autem est lex: *Ab omni ligno in paradiso vesceris comedendo, ab eo autem ligno quod est cognoscendo bonum et malum nolite edere.* Cum autem dicit: *Egredere de terra tua et de cognatione tua, et huc veni in terram, quam monstrabo tibi,* permittens, inquit, haec lex est; nam volenti licet egredi, nolenti autem manere. Poenae autem constituens lex est quae dicit: *Non moechaberis, non occides, non furtum facies:* constituta est enim singulis peccatis sua poena. Est autem eis omnis ratio disciplinae suae ab antiquis theologis, Musaeo et Lino et ab eo, qui lustrationes potissimum et mysteria tradidit, Orpheo. Etenim eorum de utero et Orphei doctrina est, et umbilicus, qui est concentus, perspicue ita habetur in Bacchicis Orphei. Initiata autem haec sunt et tradita hominibus ante Celei et Triptolemi et Cereris et Proserpinae et Bacchi Eleusine initia Phliunte Atticae. Ante mysteria enim Eleusinia extant Phliunte Magne sic dictae orgia. Est autem porticus in ea, in porticu autem inscripta est ad hunc diem horum omnium quae dicta sunt imago. Iam multa quidem sunt inscripta in porticu illa, de quibus et Plutarchus instituit sermones in decem quos adversus Empedoclem scripsit libris. Est autem in compluribus etiam senex quidam inscriptus, canus, alatus, intentum ha-

μονία] *ἀνδρεία* C M: *ἕδρανον* coll. hymno Orphico XXV, 4 Brinkius. Cf. infra l. 20. 8. *Φλιοῦντι τῆς Ἀττικῆς*] *Φλοιοῦντι τ. Ἀ.* C: *Φλυῆσιν* vel *Φλυῇ* vel *Φλυᾷ τ. Ἀ.* olim Schneidewinus: *Φλυείᾳ τ. Ἀ.* Brinkius coll. Harpocratione s. v.: *Φλιοῦντι τῆς Ἀχαΐας* A. Meinekius *Vindic. Strab.* p. 242. Videtur ipse Hippolytus Phlyam Atticae cum nobiliore urbe Achaiae confudisse. 9. *Φλοιοῦντι* C 9. 10. *τῆς λεγομένης Μεγάλης ὄργια*] *λεγομένη μεγαληγορία* C: *λεγομένη μεγάλη ἑορτή* susp. M: *ἔστιν τὰ Φλυῆσι λεγόμενα μεγάλα ὄργια* olim Schneidewinus: *μεγάλα ὄργια* Bunsenius (*Hippolytus and his age.* 2 ed. *London* 1854. I. p. 347) *λεγόμενα μεγάλα* vel *Μεγάλης ὄργια* R. Scottus: *ἦν τὰ τῆς ἐν Φλυείᾳ λεγομένης μεγάλης* [*θεᾶς*] *ὄργια* Brinkius: *τὰ λεγόμενα Μεγάλης ὄργια* A. Meinekius l. l. Cf. Pausan. I. 31. 2 11. *ἐγκέγραπται* C *ἡ πάντων*] *ἡ τὰ τῶν πάντων* C 13. *ταῖς*] *τοῖς* C Pro *πρὸς* dicere debebat *εἰς*, quod intelligitur ex Lampriae catalogo (Fabric. Bibl. Gr. t. 5, p. 160) qui habet *εἰς Ἐμπεδοκλέα περὶ τῆς ε′ οὐσίας βιβλία ε′*. M 14. *δ᾽ ἐν τοῖς*] *δὲ τοῖς* C *πλείοσι*] *πυλεῶσι* susp. M 15. *πτερωτὸς*] *πετρωτὸς* C

γυναῖκα ἀποφεύγουσαν διώκων κυανοειδῆ. Ἐπιγέγραπται δὲ ἐπὶ τοῦ πρεσβύτου· φάος ῥυέντης, ἐπὶ δὲ τῆς γυναικός· περεηφικόλα. Ἔοικε δὲ εἶναι κατὰ τὸν Σηθιανῶν λόγον ὁ φάος ῥυέντης τὸ φῶς, τὸ δὲ σκοτεινὸν ὕδωρ ἡ φικόλα, τὸ δὲ ἐν μέσῳ τούτων διάστημα ἁρμονία | πνεύματος μεταξὺ τεταγμένου. Τὸ δὲ ὄνομα τοῦ φάος ῥυέντου τὴν ῥύσιν ἄνωθεν τοῦ φωτὸς, ὡς λέγουσι, δηλοῖ κάτω. Ὥστε εὐλόγως ἄν τις εἴποι τοὺς Σηθιανοὺς ἐγγύς που τελεῖν παρ᾽ αὐτοῖς τὰ τῆς Μεγάλης Φλυῆσιν ὄργια. Τῇ δὲ διαιρέσει τῇ τριχῇ μαρτυρεῖν ἔοικε καὶ ὁ ποιητὴς λέγων· Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστα δ᾽ ἔμμορε τιμῆς· τουτέστι τῶν τριχῇ διῃρημένων ἕκαστον εἴληφε δύναμιν. Καὶ τὸ ὕδωρ δὲ τὸ ὑποκείμενον κάτω σκοτεινόν, ὅτι δέδυκε τὸ φῶς, καὶ ἀνακομίσασθαι καὶ λαβεῖν ἄνωθεν δεῖ τὸν κατενηνεγμένον σπινθῆρα ἀπ᾽ αὐτοῦ, οὕτως ἐοίκασιν οἱ πάνσοφοι Σηθιανοὶ παρ᾽ Ὁμήρου λαβόντες λέγειν·

Ἴστω γὰρ (φησί) τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·

τουτέστιν ἀποτρόπαιόν τι καὶ φρικτὸν οἱ θεοὶ καθ᾽ Ὅμηρον εἶναι τὸ ὕδωρ νομίζουσιν, ὅπερ ὁ λόγος τῶν Σηθιανῶν φοβερὸν εἶναι φησὶ τῷ νοΐ.

21. Ταῦτ᾽ ἐστὶν ἃ λέγουσι καὶ τοιούτοις παραπλήσια ἐν ἀπείροις συγγράμμασι· πείθουσι δὲ ἐντυγχάνειν τῷ περὶ κράσεως καὶ μίξεως λόγῳ τοὺς μαθητευομένους, ὃς μεμελέτηται πολλοῖς, ἀλλὰ καὶ Ἀνδρονίκῳ τῷ περιπατητικῷ. Λέγουσιν οὖν οἱ Σηθιανοὶ τὸν περὶ κράσεως καὶ μίξεως λόγον συνεστάναι τῷδε τῷ τρόπῳ· τὴν ἀκτῖνα τὴν φωτεινὴν ἄνωθεν ἐγκεκρᾶσθαι, καὶ τὸν σπινθῆρα τὸν ἐλάχιστον ἐν τοῖς σκοτεινοῖς ὕδασι κάτω καταμεμῖχθαι λεπτῶς καὶ συνηνῶσθαι καὶ γεγονέναι ἐν ἑνὶ φυράματι, ὡς μίαν ὀσμὴν ἐκ πολλῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, καὶ δεῖ τὸν ἐπι|στήμονα, τῆς ὀσφρήσεως ἔχοντα

16. κυανοειδῆ] κυνοειδῆ C M   17. φάος ῥυέντης] Φάνης ῥυείς Brinkius coll. hymno Orphico V, 7 πάντη δινηθεὶς πτερύγων ῥιπαῖς κατὰ κόσμον· || λαμπρὸν ἄγων φάος ἁγνόν, ἀφ᾽ οὗ σε Φάνητα κικλήσκω, || ἠδὲ Πρίηπον ἄνακτα   17. 18. περεηφικόλα] Περσεφόνη Φλυά Brinkius   18. 19. Φάνης ῥυεὶς Brinkius   19. τὸ δὲ σκοτεινὸν ὕδωρ] τὸ σκοτεινόν· ὕδωρ δὲ C M   19. φικόλα] Περσεφόνη Φλυά Brinkius   21. Φάνητος ῥυέντος Brinkius   22. κάτω] πρὸς τὸ κάτω Brinkius praeter necessitatem

bens pudendum, mulierem aufugientem persequens caeruleam. Adscriptum autem est ad senem *φάος ῥυέντης*, ad mulierem autem *περεηφικόλα*. Videtur autem esse secundum Sethianorum doctrinam ille *φάος ῥυέντης* lux, tenebricosa autem aqua *φικόλα* illa, spatium autem, quod est intermedium eorum, concentus spiritus interpositi. Nomen autem illius *φάος ῥυέντου* fluxionem desuper lucis, ut aiunt, significat in inferius: ut congruenter quispiam dicat Sethianos consimiliter fere obire apud se Magnae Phlyasiorum orgia. Divisionem autem tripertitam attestari etiam poëta videtur cum dicit: *Trifariam autem omnia divisa sunt, singula autem sortita sunt honorem*, hoc est trifariam divisorum singulum quodque accepit potestatem. Et vero aquam infra subiacentem tenebrosam, quoniam in eam occidit lux, et recipere ad se et assumere debet delatam scintillam a sese, ita videntur omniscii Sethiani ab Homero mutuati dicere:

Scito enim, inquit, *hoc tellus et caelum amplum superne,*
Et destillans Stygis aqua, quod quidem maximum
Iuramentum gravissimumque extat beatis diis,

hoc est aversandum quoddam et horrendum aquam secundum Homerum arbitrantur dii, quam quidem doctrina Sethianorum formidabilem dicit menti.

21. Haec sunt quae dicunt et his comparia in infinitis commentariis. Suadent autem cognoscere de mixtione et conflatione doctrinam eis, qui ipsorum scholam sequuntur, quam scripto executi sunt multi, maxime autem Andronicus Peripateticus. Dicunt igitur Sethiani de mixtione et conflatione doctrinam constitisse in hunc modum. Radium lucidum desuper immixtum esse scintillamque tenuissimam in tenebrosis aquis infra infusam esse tenuiter et adunatam et venisse in unam farraginem, ut unum odorem ex multis permixtis in igni suffimentis, et oportet intelligentem, olfactus si modo habet subtile

23. *τὰ τῆς Μεγάλης Φλυῆσιν ὄργια*] *τ. τ. μεγάλης Φλοιᾶς ἰονόργια* C M qui susp. *συνόργια*: *τ. τ. Μ. Φλιασίας ὄργια* Bunsenius l. l.: *τ. τ. Μ. Φλιασίων ὄργια* R. Scottus et Meinekius, qui addit: *Videtur igitur Dia vel Hebe apud Phliasios, serioribus fortasse demum temporibus, Magnae deae nomine culta esse: τὰ τῆς μεγάλης θεᾶς Φλυᾶς Φλυῆσιν ὄργια* Brinkius 25. 26. Hom. Il. 15, 189, ubi *ἕκαστος* pro *ἕκαστα* 31–33. Hom. Il. 15, 36–38. Od. 5, 185–87. 35. *φοβερὸς* C *τῷ νοΐ*] *τὸν* $\overline{οι}$ C M, qui susp. *στοιχεῖον* 39. *ὅς*] *ὡς* C

κριτήριον εὐαγές, ἀπὸ τῆς μιᾶς τοῦ θυμιάματος ὀσμῆς διακρίνειν λεπτῶς ἕκαστον τῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, οἱονεὶ στύρακα καὶ σμύρναν καὶ λίβανον, ἢ εἴ τι ἄλλο εἴη μεμιγμένον. Χρῶνται δὲ καὶ ἑτέροις παραδείγμασι, λέγοντες καταμεμῖχθαι καὶ χρυσίῳ χαλκόν, καὶ τέχνη τις εὕρηται ἡ διακρίνουσα τὸν χαλκὸν ἀπὸ τοῦ χρυσίου. Ὁμοίως δὲ κἂν ἐν ἀργύρῳ κασσίτερος ἢ χαλκὸς ἤ τι τῶν ὁμογενῶν καταμεμιγμένον εὑρεθῇ, μίξεως τινὶ τέχνῃ κρείττονι καὶ ταῦτα διακρίνεται. Ἤδη δέ τις καὶ ὕδωρ μεμιγμένον οἴνῳ διακρίνει. Οὕτω, φασί, κἂν πάντα τὰ συγκεκραμένα διακρίνεται. Καὶ δὴ ἀπὸ τῶν ζῴων, φησί, καταμάνθανε. Τελευτήσαντος γὰρ τοῦ ζῴου ἕκαστα διακρίνεται, καὶ λυθέντος οὕτω τὸ ζῷον ἀφανίζεται. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· Οὐκ ἦλθον εἰρήνην βαλεῖν ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν, τουτέστι τὸ διχάσαι καὶ χωρίσαι τὰ συγκεκραμένα. Διχάζεται γὰρ καὶ διακρίνεται ἕκαστα τῶν συγκεκραμένων οἰκείου χωρίου τυχόντα. Ὡς γάρ ἐστι χωρίον συγκράσεως τοῖς ζῴοις ἅπασιν ἕν, οὕτω καὶ τῆς διακρίσεως καθέστηκεν ἕν, ὃ οἶδεν οὐδείς, φησίν, ἢ μόνοι ἡμεῖς, οἱ ἀναγεννώμενοι πνευματικοὶ οὐ σαρκικοί, ὧν ἐστι τὸ πολίτευμα ἐν οὐρανοῖς ἄνω. Οὕτω παρεισδύοντες διαφθείρουσι τοὺς ἀκροωμένους, ὁτὲ μὲν ἀποχρώμενοι ῥητοῖς, εἰς ὃ θέλουσι συνάγοντες κακῶς τὰ καλῶς εἰρημένα, φωλεύουσί τε τὸ ἑαυτῶν ἀδίκημα διὰ παραβολῶν ὧν βούλονται. Πάντα οὖν, φησί, καθὼς εἴρηται, τὰ συγ|κεκραμένα ἔχει χωρίον ἴδιον καὶ τρέχει πρὸς τὰ οἰκεῖα, ὡς σίδηρος πρὸς τὴν ἡρακλείαν λίθον, καὶ τὸ ἄχυρον ἠλέκτρου πλησίον, καὶ τῷ κέντρῳ τοῦ θαλασσίου ἱέρακος τὸ χρυσίον. Οὕτως ἡ τοῦ καταμεμιγμένου τῷ ὕδατι φωτὸς ἀκτίς, οἰκείου χωρίου ἐκ διδασκαλίας καὶ μαθήσεως μεταλαβοῦσα, σπεύδει πρὸς τὸν λόγον τὸν ἄνωθεν ἐλθόντα ἐν εἰκόνι δουλικῇ, καὶ γίνεται μετὰ τοῦ λόγου λόγος ἐκεῖ, ὅπου λόγος ἐστί, μᾶλλον ἢ ὁ σίδηρος πρὸς τὴν ἡρακλείαν λίθον. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, φησί, καὶ πάντα διακρίνεται ἐπὶ τῶν οἰκείων τόπων τὰ συγκεκραμένα, μάνθανε. Φρέαρ ἐστὶν ἐν Πέρσαις ἐν Ἄμπῃ πόλει παρὰ τὸν Τίγριν ποταμόν· ᾠκοδόμηται δὲ

51. χαλκός C 54. εὑρέθη C 55. οἴνῳ διακρίνει] αἰνωδία κρήνη C M 56. κἂν] καὶ κἂν C M συγκεκραμμένα C 57. κατεμάνθανε C 58. οὕτω τὸ τὸ C 59. 60. Cf. Matth. 10, 34 Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρή-

indicium, ab uno suffimenti odore discernere subtiliter singulum quodque permixtorum igni suffimentorum, veluti storacem et myrrham et libanum aut si quid aliud est permixtum. Utuntur autem et aliis exemplis, dicentes permixtum esse etiam auro aes, et ars quaedam inventa est, quae discernit aes ab auro. Pariter autem etiam si forte in argento cassiteron aut aes aut aliquid eiusdem generis inveniatur, mixtura potiore quadam arte et haec discernuntur. Iam autem vel quis aquam vino permixtam discernit. Ita, inquiunt, universa quae commixta sunt discernuntur. Imo vero vel ab animalibus, inquit, discito. Defuncto enim animali singula quaeque discernuntur, et soluto animali sic animal evanescit. Hoc, inquit, est quod dictum est: *Non veni pacem mittere in terram, sed gladium*, hoc est separare et discernere commixta. Separantur enim et discernuntur singula quaeque commixtorum cum suum locum occupant. Ut est enim locus commixtionis omnibus animalibus unus, ita etiam secretionis constitit unus, quem novit nemo, inquit, praeter nos solos, qui renati sumus spirituales, non carnales, quorum est civitas in caelis supra. Ita clanculum subreptantes corrumpunt auscultantes, tum abusi dictis, in quodcunque volunt male detorquentes bene dicta, absconduntque suum peccatum per quascunque lubuit comparationes. Omnia igitur, inquit, sicuti dictum est, commixta suum habent locum curruntque ad domestica sua, ut ferrum ad lapidem Herculeum, et palea prope electrum, et centro marini accipitris propinquat aurum. Ita permixtus aquae luminis radius, domesticum locum ex disciplina et institutione adeptus, festinat ad logum superne degressum in imagine servili, et existit cum logo logus illic, ubi logus est, vehementius quam ferrum ad Herculeum lapidem. Et haec ita sese habere, inquit, omniaque discerni in domesticis locis permixta discito. Puteus est in Persis in urbe Ampa iuxta Tigrim fluvium. Extructum autem est ad

νην, ἀλλὰ μάχαιραν 61. *συγκεκραμμένα* C 62. *συγκεκραμμένων* C 67. *ὀτὲ*] *ὅτε* C 70. *χωρίον*] *οὖν* C: *ῥοῦν* M 71. *σίδηρος πρὸς*] *σίδηρος* C 72. *τῷ κέντρῳ*] Supra p. 172, 11 *τῇ κερκίδι* et p. 198, 36 *ἡ κερκίς* 74. *ἀκτίς, οἰκεῖον*] *οἰκεῖον* C: *δύναμις οἰκεῖον* susp. M 79. *συγκεκριμένα* C M 80. *Ἄμπη*] *Ἄμη* C M. Cfr. Herodot. 6, 20.

παρὰ τὸ φρέαρ ἄνω δεξαμενή τις ἔχουσα τρεῖς ἀφετηρίας ἀπ' αὐτῆς. Οὗ φρέατος ἀντλήσας κάδδῳ ἀνενέγκας τὸ ἀπὸ τοῦ φρέατος ἀντληθὲν ὅ τι ποτέ ἐστιν, ἔχεεν εἰς τὴν παρακειμένην δεξαμενήν· τὸ δὲ χυθὲν ἐλθὸν ἐπὶ τὰς ἀφετηρίας ἐν ἑνὶ σκεύει ἀναληφθὲν διακρίνεται. Καὶ ἐν μὲν πρώτῃ ἅλας πηγνύμενον δείκνυται, ἐν ἑτέρᾳ δὲ τῶν ἀφετηριῶν ἄσφαλτος, ἐν δὲ τῇ τρίτῃ ἔλαιον. Μέλαν δέ ἐστι τὸ ἔλαιον, ὡς, φησί, καὶ Ἡρόδοτος ἱστορεῖ, καὶ ὀσμὴν παρεχόμενον βαρεῖαν· ῥαδινάκην δὲ αὐτὸ οἱ Πέρσαι καλοῦσιν. Ἤρκει, φασὶν οἱ Σηθιανοί, πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἡ τοῦ φρέατος ὁμοιότης πάντων μᾶλλον τῶν προειρημένων.

22. Ἱκανῶς δοκεῖ ἡμῖν σεσαφηνίσθαι ἡ τῶν Σηθιανῶν γνώμη. Εἰ δέ τις ὅλην τὴν κατ' αὐτοὺς πραγματείαν βούλεται μαθεῖν, ἐντυχέτω βιβλίῳ ἐπιγραφομένῳ Παρά|φρασις Σήθ· πάντα γὰρ τὰ ἀπόρρητα αὐτῶν ἐκεῖ εὑρήσει ἐγκείμενα. Ἀλλ' ἐπεὶ τὰ κατὰ τοὺς Σηθιανοὺς ἐξεθέμεθα, ἴδωμεν τίνα ἐστὶ καὶ τὰ Ἰουστίνῳ δοκοῦντα.

23. Ἰουστῖνος πάντῃ ἐναντίος τῇ τῶν ἁγίων γραφῶν γενόμενος διδαχῇ, προσέτι δὲ καὶ τῇ τῶν μακαρίων εὐαγγελιστῶν ἐγγράφῳ φωνῇ, ὡς ἐδίδασκεν ὁ λόγος τοὺς μαθητὰς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, ὅπερ δηλοῖ μὴ προσέχειν τῇ τῶν ἐθνῶν ματαίᾳ διδασκαλίᾳ, οὗτος ἐπὶ τὰ ἐθνῶν τερατολογούμενα καὶ διδασκόμενα ἀναγαγεῖν πειρᾶται τοὺς ἀκροωμένους, αὐτολεξεὶ τὰ παρ' Ἕλλησι μυθευόμενα διηγούμενος, οὔτε πρότερον διδάξας οὔτε παραδοὺς τὸ τέλειον αὐτοῦ μυστήριον, εἰ μὴ ὅρκῳ δήσῃ τὸν πλανώμενον. Ἔπειτα τοὺς μύθους παρατίθησι ψυχαγωγίας χάριν, ὅπως οἱ ἐντυγχάνοντες τῇ τῶν βίβλων ἀναρίθμῳ φλυαρίᾳ παραμύθιον ἔχωσι τὰ μυθευόμενα (ὃν τρόπον εἴ τις ὁδὸν μακρὰν βαδίζων, παρατυχὼν καταλύματι ἀναπαύεσθαι δοκεῖ), καὶ οὕτως πάλιν ἐπὶ τὴν τῶν ἀναγνωσμάτων τραπέντες πολυμάθειαν μὴ μισήσωσιν, ἕως ἐπὶ τὸ ὑπ' αὐτοῦ τεχναζόμενον ἀνόμημα διὰ πλειόνων ἐξηχηθέντες ὁρμήσωσι τετυφωμένοι, οὓς φρικτοῖς καταδήσας πρότερον ὅρκοις μήτε ἐξειπεῖν μήτε ἀποστῆναι ὁμολογεῖν ἀναγκάσας, οὕτω παραδίδωσι τὰ ὑπ' αὐτοῦ ἐφευρημένα μετὰ ἀσεβείας μυστήρια, πῇ μέν, καθὰ προείπομεν, μύθοις Ἑλληνικοῖς χρησάμενος, πῇ

85. ἐν μὲν πρώτῃ ἅλας] ἓν μὲν ἅλας C M 87. ὅς φησι C. Cf.

caput putei receptaculum quoddam habens tres carceres a sese. Ex quo puteo ubi quis hauserit cadoque extraxerit ex puteo haustum quodcunque tandem est infudit in adiacens receptaculum. Fusum autem ubi venit ad carceres, in uno vasculo receptum discernitur, et in primo quidem sal concretus exhibetur, in altero autem carcerum asphaltus, in tertio autem oleum. Atrum autem est oleum, ut, inquit, etiam Herodotus narrat, et odorem praebens gravem, rhadinacen autem id Persae vocant. Sufficiebat, inquiunt Sethiani, ad demonstrandum id quod propositum est putei similitudo magis quam omnia quae antea dicta sunt.

22. Abunde videtur nobis declarata esse Sethianorum sententia. Sin quis omnem secundum eos doctrinam volet cognoscere, inspiciat librum, qui inscribitur Paraphrasis Seth. Omnia enim arcana eorum ibi inveniet reposita. Sed postquam Sethianorum decreta enarravimus, videamus etiam ea, quae Iustino placuerunt.

23. Iustinus ab omni parte sacrarum scripturarum doctrinae, praeterea autem etiam beatorum evangelistarum adversatus scripto conceptae voci, ut docebat logus discipulos dicens: *In viam gentium ne abieritis,* quod quidem significat, ne quis aures praebeat ethnicorum vanae doctrinae, — hic ad ethnicorum miraculosa commenta et placita retrahere nititur auscultantes, ipsis verbis apud Graecos fabulose narrata edisserens, neque prius docens, neque tradens perfectum suum mysterium, nisi iureiurando adstrinxerit seductum. Deinde fabulas apponit delenimenti gratia, ut, qui cognoverint infinitam librorum inanitatem, solamentum habeant fabulas (quemadmodum si quis viam longam faciens, cum incidit in deversorium, requiescere in animum inducit), et ita rursus in lectionum conversi diffusam cognitionem ne aspernentur, donec ad dolose confictum eius deliramentum per plura (ambages) excantati ruant sufflati, quos cum horribilibus prius iuramentis obstrinxit et neque eloqui neque desciscere sese addicere coëgit, sic tradit a sese reperta per impietatem arcana, tum, ut praediximus,

Herodot. 6, 119 92. *σεσαφηνεῖσθαι* C 94. *βίβλῳ* C 99. *εὐαγγελιστῶν ἐγγράφῳ*] *εὐαγγελίων γραφῇ ἤ* C M 2. Matth. 10, 5 10. 11. *κατάλυμά τι* C 14. *τετυπωμένοι* C

δὲ παραπεποιημένοις βιβλίοις κατά τι παρεμφαίνουσι ταῖς προειρημέναις αἱρέσεσιν. Οἱ πάντες γὰρ ἑνὶ πνεύματι συνωθούμενοι εἰς ἕνα βυθὸν ἀμάρας συνάγονται, ἄλλοι ἄλλως τὰ αὐτὰ διηγούμενοι καὶ μυθεύοντες· οὗτοι δὲ ἰδίως οἱ πάντες γνωστικοὺς ἑαυτοὺς | ἀποκαλοῦσι, τὴν θαυμασίαν γνῶσιν τοῦ τελείου καὶ ἀγαθοῦ μόνοι καταπεπωκότες.

24. Ὄμνυε δέ, φησὶν Ἰουστῖνος, εἰ γνῶναι θέλεις, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, τὸν ἐπάνω πάντων ἀγαθόν, τὸν ἀνώτερον, ἄρρητα φυλάξαι τὰ τῆς διδασκαλίας σιγώμενα· καὶ γὰρ καὶ ὁ πατὴρ ἡμῶν, ἰδὼν τὸν ἀγαθὸν καὶ τελεσθεὶς παρ' αὐτῷ, τὰ τῆς σιγῆς ἄρρητα ἐφύλαξε, καὶ ὤμοσε καθὼς γέγραπται, ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται. Ταῦτα τοίνυν οὕτω κατασφραγισάμενος πλείοσι μύθοις ψυχαγωγεῖ διὰ πλειόνων βιβλίων, καὶ οὕτως ἐπὶ τὸν ἀγαθὸν ἄγει, τελειῶν τοὺς μύστας τὰ ἄλαλα μυστήρια. Ἵνα δὲ μὴ διὰ πλειόνων ὁδεύσωμεν, ἐκ μιᾶς αὐτοῦ βίβλου τὰ ἄρρητα ἐπιδείξομεν, οὔσης καθὼς νομίζει ἐνδόξου. Αὕτη δὲ ἐπιγράφεται Βαρούχ· ἐν ᾗ μίαν τῶν πολλῶν μυθολογίαν ἐκτιθεμένην ὑπ' αὐτοῦ δηλώσομεν, οὖσαν παρὰ Ἡροδότῳ, ἣν ὡς καινὴν τοῖς ἀκροαταῖς παραπλάσας διηγεῖται, ἐξ αὐτῆς πᾶσαν σύστασιν τοῦ κατ' αὐτὸν διδασκαλείου ποιούμενος.

25. Ἡρόδοτος μὲν οὖν τὸν Ἡρακλέα φησὶν ἀπὸ τῆς Ἐρυθείας τοῦ Γηρυόνου τὰς βοῦς ἄγοντα εἰς τὴν Σκυθίαν ἐλθεῖν, κεκμηκότα δὲ ἀπὸ τῆς πορείας εἰς ἔρημόν τι χωρίον κατακλιθέντα κοιμηθῆναι ὀλίγον· ὑπνώσαντος δὲ αὐτοῦ ἀφανῆ γενέσθαι τὸν ἵππον, ἐφ' οὗ καθεζόμενος διώδευσε τὴν μακρὰν ὁδόν· περιεγερθεὶς δὲ ζήτησιν ἐποιεῖτο ἐπὶ τῆς ἐρημίας πολλήν, εὑρεῖν πειρώμενος τὸν ἵππον. Καὶ τοῦ μὲν ἵππου διαμαρτάνει, κόρην δέ τινα μιξοπάρθενον εὑρὼν ἐπὶ τῆς ἐρημίας ἐπηρώτα, εἰ εἴη | που τεθεαμένη τὸν ἵππον. Ἡ δὲ κόρη φησὶν εἰδέναι μέν, μὴ δείξειν δὲ πρότερον αὐτῷ, εἰ μὴ πρὸς μῖξιν φιλίας συνέλθῃ αὐτῇ ὁ Ἡρακλῆς. Ἦν δέ, φησὶν ὁ Ἡρόδοτος, τὰ ἄνω αὐτῆς μέχρι βουβῶνος παρθένου, πᾶν δὲ τὸ κάτω σῶμα

23. καταπεπτωκότες C 24—26. 1 Cor. 2, 9: ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη 26. ἀγαθῶν C M 30. Psalm. 109, 4 32. τὸν ἀγαθὸν] τῶν ἀγα-

fabulis usus Graecanicis, tum suppositiciis libris aliqua ex parte similitudinem referentibus haeresium supra dictarum. Universi enim uno spiritu concussi in unum fundum sentinae conducuntur, alii aliter eadem edisserentes et fabulantes. Hi autem peculiariter omnes gnosticos sese appellant, quippe qui mirificam cognitionem perfecti et boni soli combiberint.

24. Iura autem, ait Iustinus, si cognovisse voles, *quae oculus non vidit nec auris audivit nec in cor hominis ascenderunt,* eum qui est super omnia bonum, superiorem, te indicta custoditurum disciplinae silenda. Etenim et pater noster, ubi conspexit Bonum initiatus apud eum, silenda custodivit indicta et iuravit, sicuti scriptum est: *Iuravit dominus nec poenitebit eum.* Haec igitur in hunc modum postquam obsignavit, pluribus fabulis delenit per plures libros, et ita ad Bonum ducit initians mystas ineffabilibus mysteriis. Sed ne per plura pergamus, ex uno eius libro ineffabilia ostendemus, qui est, ut ipse opinatur, illustris. Hic autem inscribitur Baruch, in quo unam de multis fabulosam narrationem expositam ab eo declarabimus, quae est apud Herodotum, quam tanquam novam auditoribus aliunde detortam enarrat, ex ipsa omnem orbem doctrinae suae duci ratus.

25. Herodotus igitur Herculem narrat ab Erythea Geryonis armenta agentem in Scythiam venisse, fessum autem peregrinando in desertum locum degressum parumper obdormivisse; somno autem sopito illo non comparuisse equum in quo insidens peregit longam viam. Expergefactus autem quaestionem faciebat in deserto diligentem, reperire connisus equum. Et equum quidem non reperit, puellam autem quandam semivirginem in deserto conspicatus interrogabat, an forte vidisset equum. Puella autem respondit se vidisse quidem, neque tamen monstraturam illi, nisi prius in consuetudinem secum congrederetur Hercules. Erant autem, ut ait Herodotus, superiora eius inguinibus tenus virginis, omne autem infra corpus post

θῶν C 33. *ἄλαλα*] *ἄλλα* C: *τ᾽ἄλλα* susp. M *δὲ*] *καὶ* C 37. *καινήν*] *ξένην* C M 39. *διδασκαλίου* C 40. sqq. Cf. Herodot. 4, 8—10 40. 41. *Ἐρυθρᾶς* C M 46. *τοῦ μὲν*] *τῆς μὲν* C M

μετὰ βουβῶνα φρικτόν τι θέαμα ἐχίδνης. Σπουδῇ δὲ τῆς περὶ τὸν ἵππον εὑρέσεως ὁ Ἡρακλῆς πείθεται τῷ θηρίῳ· ἔγνω γὰρ αὐτὴν καὶ ἐποίησεν ἐγκύμονα, καὶ προεῖπεν αὐτῇ μετὰ τὴν γνῶσιν, ὅτι ἔχει κατὰ γαστρὸς ἐξ αὐτοῦ τρεῖς ὁμοῦ παῖδας, οἵτινες ἔσονται ἐπιφανεῖς. Ἐκέλευσε δὲ αὐτοῖς γεννωμένοις ὀνόματα θεῖναι τὴν τεκοῦσαν, Ἀγάθυρσον, Γελωνὸν καὶ Σκύθην. Λαβὼν δὲ τούτου μισθὸν τὸν ἵππον παρὰ τῆς θηριώδους κόρης, ἀπηλλάττετο φέρων καὶ τὰς βοῦς. Μακρὸς δὲ ὁ μετὰ ταῦτα μῦθος Ἡροδότῳ, χαιρέτω δὲ τὸ νῦν. Τίνα δὲ τὰ Ἰουστίνῳ δοκοῦντα, μετάγοντι τὸν μῦθον εἰς τὴν τῶν ὅλων γέννησιν, ἡμεῖς διηγησόμεθα.

26. *Οὗτος φησίν· Ἦσαν τρεῖς ἀρχαὶ τῶν ὅλων ἀγέννητοι, ἀρρενικαὶ δύο, θηλυκὴ μία. Τῶν δὲ ἀρρενικῶν ἡ μέν τις καλεῖται ἀγαθός, αὐτὸ μόνον οὕτως λεγόμενος, προγνωστικὸς τῶν ὅλων. Ἡ δὲ ἑτέρα πατὴρ πάντων τῶν γεννητῶν, ἀπρόγνωστος [καὶ ἄγνωστος] καὶ ἀόρατος. Ἡ δὲ θήλεια ἀπρόγνωστος, ὀργίλη, δίγνωμος, δίσωμος, κατὰ πάντα τῇ κατὰ τὸν Ἡροδότου μῦθον ἐμφερής, μέχρι βουβῶνος παρθένος, ἔχιδνα δὲ τὰ κάτω, ὥς φησιν Ἰουστῖνος. Καλεῖται δὲ Ἐδὲμ αὕτη ἡ κόρη καὶ Ἰσραήλ. Αὗται, φησίν, αἱ ἀρχαὶ τῶν ὅλων, ῥίζαι καὶ πηγαί, ἀφ᾽ ὧν τὰ πάντα ἐγένετο· ἄλλο δὲ ἦν οὐδέν. Ἰδὼν οὖν ὁ πατὴρ τὴν μιξοπάρθενον ἐκείνην ἀπρόγνωστος ὢν τὴν Ἐδέμ, ἦλθεν εἰς ἐπιθυμίαν αὐτῆς· Ἐλωεὶμ δέ, φησίν, καλεῖται οὗτος | ὁ πατήρ· οὐδὲν δ᾽ ἧττον ἐπεθύμησε καὶ ἡ Ἐδὲμ τοῦ Ἐλωείμ, καὶ συνήγαγεν αὐτοὺς ἡ ἐπιθυμία εἰς μίαν φιλίας εὔνοιαν. Γεννᾷ δὲ ἀπὸ τῆς συνόδου τῆς τοιαύτης ὁ πατὴρ ἐκ τῆς Ἐδὲμ ἑαυτῷ ἀγγέλους δώδεκα. Ὀνόματα δέ ἐστι τῶν πατρικῶν ἀγγέλων τάδε· Μιχαήλ, Ἀμήν, Βαρούχ, Γαβριήλ, Ἠσαδδαῖος. . . . Καὶ τῶν μητρικῶν ἀγγέλων, ὧν ἐποίησεν ἡ Ἐδέμ, ὁμοίως ὑποτέτακται τὰ ὀνόματα· ἔστι δὲ ταῦτα, Βάβελ, Ἀχαμῶθ, Νάας, Βήλ, Βελίας, Σατάν, Σαήλ, Ἀδωναῖος, Καυΐθαν, Φαραώ, Καρκαμενώς, Λάθεν. Τούτων τῶν εἰκοσιτεσσάρων ἀγγέλων οἱ μὲν πατρικοὶ τῷ πατρὶ συναίρονται καὶ πάντα ποιοῦσι κατὰ τὸ θέλημα αὐ-*

59. *ἀπηλάττετο* C 60. *τὸ νῦν*] *τὸν νοῦν* C 61. *μετάγοντα* C 63. sqq. Cfr. Epitomen infra l. X, 15. p. 322—24 ed. Ox. 64. *ἡ*] *εἰ* C 65. *λεγόμενος*] *λεγόμενον* infra p. 322, 37 66. *πατὴρ*] *μήτηρ* C M. Cf. infra p. 322, 38 67. *καὶ ἄγνωστος* Epitome p. 322, 39: om C M *θήλεια* Epitome p. 322, 40: *θῆλυς* C M 68.

inguina horribile quoddam spectrum viperae. Cupidine autem reperiendi equi obsequitur beluae Hercules; cognovit enim eam et fecit gravidam, et praedixit ei post cognitionem habere illam ex se in utero tres simul filios, qui quidem futuri sint illustres. Iussit autem ubi nati forent nomina illis ponere parentem Agathyrsum, Gelonum et Scytham. Nactus autem huius muneris gratiam equum a bestiali virgine discedebat cum bobus suis. Longa autem post haec fabula est Herodoto, valeat autem in praesens. Quae autem Iustino placeant transferenti fabulam illam in universorum creationem nos enarrabimus.

26. Hic ait: Erant tria principia universorum ingenerata, mascula duo, femininum unum. Masculorum autem unum vocatur Bonus, ipsum hoc solum vocatus, praesciens universorum. Alterum autem pater omnium generatorum, non praesciens et ignarus et visu carens. Femininum autem non praesciens, iracundum, bimens, bicorpor, per omnia virgini quae est in Herodotea fabula simile, inguinibus tenus virgo, vipera autem infra, ut ait Iustinus. Vocatur autem haec virgo Edem et Israël. Haec, inquit, principia universorum, radices et fontes, unde omnia extiterunt, aliud autem erat nihil. Cum igitur vidit semivirginem illam pater non praesciens ille Edem, venit in cupiditatem eius. Elohim autem vocatur hic pater. Non autem minus et Edem tenebatur cupiditate Elohim, et conduxit eos cupiditas in unum amoris congressum. Generat autem ex congressu tali pater ex Edem sibimet ipsi angelos duodecim. Nomina autem sunt paternorum angelorum haec: Michaël, Amen, Baruch, Gabriel, Esaddaeus . . . . Et maternorum angelorum quos peperit Edem similiter subiuncta sunt nomina. Sunt autem haec: Babel, Achamoth, Naas, Bel, Belias, Satan, Saël, Adonaeus, Leviathan, Pharao, Carcamenos, Lathen. Horum viginti quattuor angelorum paterni patrem co-

δίγνωμος Epitome p. 322, 41: *ἀγνώμων* C M 72. *πάντα* Epitome p. 323, 46: *ὄντα* C M 75. *δ'* om C 76. *εὔνοιαν*] *εὐνήν* R. Scottus. Videtur vox integra esse; nam Hippolytus respexerit scripturam receptam in loco 1 Cor. 7, 3 iam a Scotto laudatam: *ὀφειλομένην εὔνοιαν,* qui euphemismus quidam erat pro voc. *ὀφειλήν.* 81. *Βαβελαχαμῶς* C: *Βάβελ, Ἀχαμῶς* M 82. *Καυΐθαν*] *Λευϊαθάν?* *Φαραώθ* C M 84. *συναιροῦνται* C

τοῦ· οἱ δὲ μητρικοὶ τῇ μητρὶ Ἐδέμ· τούτων δὲ τῶν ἀγγέλων ὁμοῦ πάντων τὸ πλῆθος ὁ παράδεισος, φησίν, ἐστί, περὶ οὗ λέγει Μωσῆς· Ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, τουτέστι κατὰ πρόσωπον τῆς Ἐδέμ, ἵνα βλέπῃ τὸν παράδεισον ἡ Ἐδέμ, τουτέστι τοὺς ἀγγέλους, διὰ παντός. Τούτου τοῦ παραδείσου ἀλληγορικῶς οἱ ἄγγελοι κέκληνται ξύλα, καὶ ἔστι τὸ ξύλον τῆς ζωῆς ὁ τρίτος τῶν πατρικῶν ἀγγέλων Βαρούχ, τὸ δὲ ξύλον τοῦ εἰδέναι γνῶσιν καλοῦ καὶ πονηροῦ ὁ τρίτος τῶν μητρικῶν ἀγγέλων, ὁ Νάας. Οὕτως γὰρ λέγει δεῖν τὰ Μωσέως ἑρμηνεύειν, λέγων· περιεσταλμένως αὐτὰ εἶπεν ὁ Μωϋσῆς διὰ τὸ μὴ πάντας χωρεῖν τὴν ἀλήθειαν. Γενομένου δέ, φησί, τοῦ παραδείσου ἐξ εὐαρεστήσεως κοινῆς Ἐλωεὶμ καὶ Ἐδέμ, οἱ τοῦ Ἐλωεὶμ ἄγγελοι λαβόντες ἀπὸ τῆς καλλίστης γῆς, τουτέστιν οὐκ ἀπὸ τοῦ θηριώδους μέρους τῆς Ἐδέμ, ἀλλὰ ἀπὸ τῶν ὑπὲρ βουβῶνα ἀνθρωποειδῶν καὶ ἡμέρων χωρίων | τῆς γῆς ποιοῦσι τὸν ἄνθρωπον. Ἐκ δὲ τῶν θηριωδῶν μερῶν, φησί, γίνονται τὰ θηρία καὶ τὰ λοιπὰ ζῷα. Τὸν ἄνθρωπον οὖν ἐποίησαν σύμβολον τῆς ἑνότητος αὐτῶν καὶ εὐνοίας, καὶ κατατίθενται τὰς ἑαυτῶν δυνάμεις εἰς αὐτόν, Ἐδὲμ μὲν τὴν ψυχήν, Ἐλωεὶμ δὲ τὸ πνεῦμα. Καὶ γίνεται οἱονεὶ σφραγίς τις αὕτη καὶ φιλίας ὑπόμνημα καὶ σύμβολον αἰώνιον τοῦ γάμου τῆς Ἐδὲμ καὶ τοῦ Ἐλωεὶμ ἄνθρωπος, ὁ Ἀδάμ. Ὁμοίως δὲ καὶ ἡ Εὔα γέγονε, φησίν, ὥσπερ Μωσεῖ γέγραπται, εἰκὼν καὶ σύμβολον, σφραγὶς εἰς αἰῶνα φυλαχθησομένη τῆς Ἐδέμ· κατετέθη τε ὁμοίως καὶ ἐν τῇ Εὔᾳ τῇ εἰκόνι ψυχὴ μὲν ἀπὸ τῆς Ἐδέμ, πνεῦμα δὲ ἀπὸ τοῦ Ἐλωείμ. Καὶ ἐδόθησαν ἐντολαὶ αὐτοῖς· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ κατακληρονομήσατε τὴν γῆν, τουτέστι τὴν Ἐδέμ, οὕτω γὰρ θέλει γεγράφθαι. Πᾶσαν γὰρ τὴν ἑαυτῆς δύναμιν οἱονεί τινα οὐσίαν ἐν γάμῳ ἡ Ἐδὲμ προσήνεγκε τῷ Ἐλωείμ. Ὅθεν, φησί, κατὰ μίμησιν ἐκείνου τοῦ πρώτου γάμου προῖκα προσφέρουσι μέχρι σήμερον αἱ γυναῖκες τοῖς ἀνδράσι, θείῳ τινὶ καὶ πατρικῷ νόμῳ πειθόμεναι τῷ γενομένῳ πρὸς Ἐλωεὶμ τῆς Ἐδέμ. Κτισθέντων δὲ πάντων, ὡς γέγραπται παρὰ τῷ Μωϋσῇ, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτῇ, εἰς τέτταρας ἀρχὰς διῃρέθησαν οἱ δώδεκα τῆς μητρὸς ἄγγελοι, καὶ καλεῖται τούτων ἕκαστον τεταρ-

87. 88. 1 Mos. 2, 8 93. Οὗτος C M λέγει δεῖν] λέγεται C M

mitantur et omnia perficiunt ex voluntate eius, materni autem matrem Edem. Horum autem angelorum simul omnium multitudo paradisus est, inquit, de quo ait Moses: *Plantavit deus paradisum in Edem orientem versus,* hoc est versus faciem Edem, ut spectet paradisum Edem, hoc est angelos, in perpetuum. Huius paradisi allegorice angeli vocantur ligna, et est lignum vitae tertius paternorum angelorum, Baruch; lignum autem habendi cognitionem boni et mali tertius maternorum angelorum, Naas. Ita enim ait Mosis verba interpretanda esse dicens: Circumloquendo ea extulit Moses, quippe cum non omnes assequantur veritatem. Facto autem, inquit, paradiso ex complacito communi Elohim et Edem, Elohim angeli, sumentes a pulcherrima terra, hoc est non a bestiali parte Edem, sed ex partibus supra inguina homini similibus et cicuribus terrae faciunt hominem. Ex bestialibus autem partibus, inquit, gignuntur bestiae et reliqua animalia. Hominem igitur fecerunt exemplum unitatis suae et caritatis et deponunt suas uterque potestates in eo, et Edem quidem animum, Elohim autem spiritum. Et existit hoc tanquam sigillum quoddam et amoris monimentum et exemplum aeternum nuptiarum Edem et Elohim, homo, qui est Adam. Pariter autem etiam Eva facta est, inquit, ut scriptum est Mosi, imago et exemplum, sigillum in perpetuum custodiendum illius Edem. Depositaque est pariter etiam in Eva, imagine, anima quidem ab illa Edem, spiritus autem ab Elohim, et data sunt imperata iis: *Augemini et multiplicamini et sortimini terram,* hoc est Edem; sic enim vult scriptum esse. Omnem enim potestatem suam tanquam aliquam dotem in nuptiis Edem attulit Elohim. Unde, inquit, per imitationem primarum illarum nuptiarum dotem afferunt hodieque mulieres viris divinae cuidam et patriae legi obsecutae, quae lex sancita est inter Edem et Elohim. Conditis autem omnibus, ut scriptum est apud Mosen, et caelo et terra et iis, quae in eis insunt, in quattuor imperia divisi sunt duodecim

94. *περιεσταλμένος* C 99. *τῶν ὑπὲρ*] *τὸν ὑπὲρ* 3. *ἐποίησε* C M 4. *αὐτόν*] *ἑαυτόν* C 9. *φυλαχθησόμενος* C 12. 13. 1 Mos. 1, 28. *Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς κ. τ. λ.* 17. *θείῳ τινὶ* bis in Cod. M 20. *αὐτῇ* R. Scottus: *ἀρχῇ* C M

τημόριον ποταμός, Φεισὼν καὶ Γεὼν καὶ Τίγρις καὶ Εὐφράτης, ὥς, φησί, λέγει Μωϋσῆς· οὗτοι ἐμπεριέρχονται οἱ δώδεκα ἄγγελοι εἰς τέτταρα μέρη συμπεριπεπλεγμένοι καὶ διέπουσι τὸν κόσμον, σατραπικήν τινα ἔχοντες κατὰ τοῦ κόσμου παρὰ τῆς Ἐδὲμ ἐξουσίαν. Μένουσι δὲ οὐκ ἀεὶ ἐπὶ τῶν τόπων τῶν αὐτῶν, ἀλλ' οἱονεὶ ἐν χορῷ κυκλικῷ ἐμπεριέρχονται, | ἀλλάσσοντες τόπον ἐκ τόπου καὶ παραχωροῦντες ἐν χρόνοις καὶ διαστήμασι τοὺς τόπους τεταγμένους ἑαυτοῖς. Ὅταν δὲ ἐπικρατῇ τῶν τόπων ὁ Φεισών, λιμός, στενοχωρία, θλῖψις ἐν ἐκείνῳ τῷ μέρει τῆς γῆς γίνεται· φειδωλὸν γὰρ τὸ παράταγμα τῶν ἀγγέλων τούτων· ὁμοίως καὶ ἑκάστου μέρους τῶν τεσσάρων, κατὰ τὴν ἑκάστου δύναμιν καὶ φύσιν, κακοὶ καιροὶ καὶ νόσων στάσεις. Καὶ τοῦτο εἰσαεὶ κατὰ τὴν ἐπικράτησιν τῶν τεταρτημορίων ὡσπερεὶ ποταμῶν ῥεῦμα κακίας κατὰ θέλησιν τῆς Ἐδὲμ ἀδιαλείπτως τὸν κόσμον περιέρχεται. Γέγονε δὲ ἡ τῆς κακίας ἀνάγκη ἐκ τοιαύτης τινὸς αἰτίας· κατασκευάσας καὶ δημιουργήσας Ἐλωεὶμ ἐκ κοινῆς εὐαρεστήσεως τὸν κόσμον, ἀναβῆναι ἠθέλησεν εἰς τὰ ὑψηλὰ μέρη τοῦ οὐρανοῦ καὶ θεάσασθαι, μή τι γέγονε τῶν κατὰ τὴν κτίσιν ἐνδεῶς, συμπαραλαβὼν τοὺς ἰδίους ἀγγέλους μετ' αὐτοῦ, ἦν γὰρ ἀνωφερής, καταλιπὼν τὴν Ἐδὲμ κάτω, γῆ γὰρ οὖσα ἐπακολουθεῖν ἄνω τῷ συζύγῳ οὐκ ἠθέλησεν. Ἐλθὼν οὖν ὁ Ἐλωεὶμ ἐπὶ τὸ πέρας ἄνω τοῦ οὐρανοῦ, καὶ θεασάμενος φῶς κρεῖττον ὑπὲρ ὃ αὐτὸς ἐδημιούργησεν εἶπεν· Ἀνοίξατέ μοι πύλας, ἵνα εἰσελθὼν ἐξομολογήσωμαι τῷ κυρίῳ· ἐδόκουν γὰρ ἐγὼ κύριος εἶναι. Φωνὴ αὐτῷ ἀπὸ τοῖ φωτὸς ἐδόθη λέγουσα· Αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσέρχονται δι' αὐτῆς· καὶ ἀνεῴχθη παραχρῆμα ἡ πύλη, καὶ εἰσῆλθεν ὁ πατὴρ δίχα τῶν ἀγγέλων πρὸς τὸν ἀγαθὸν καὶ εἶδεν, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Τότε λέγει αὐτῷ ὁ ἀγαθός· Κάθου ἐκ δεξιῶν μου. Ὁ δὲ πατὴρ λέγει πρὸς τὸν ἀγαθόν· Ἔασόν με κύριε καταστρέψαι τὸν κόσμον, ὃν | πεποίηκα· τὸ πνεῦμα γάρ μου ἐνδέδεται εἰς τοὺς ἀνθρώπους, καὶ θέλω αὐτὸ ἀπολαβεῖν. Τότε λέγει αὐτῷ ὁ ἀγαθός· Οὐδὲν δύνασαι κα–

23. ἐμπεριέχονται C M 25. ἀστραπικήν C 27. ἐμπεριέχονται C M 29. τεταγμένων C 34. ἐπικράτησιν] ἐπίκρασιν C 34. 35. ὡσπερεὶ] ὡς περὶ C: ὥσπερ M 41. Ἐδὲμ κάτω, γῆ] Ἐδέμ,

matris angeli, et vocatur horum quodque quadrans amnis Phison et Gehon et Tigris et Euphrates, ut, inquit, dicit Moses. Hi circumvagantur duodecim angeli in quattuor partes inter se complicati et gubernant mundum, satrapicam quandam obtinentes in mundum ab Edem acceptam potestatem. Manent autem non semper in locis iisdem, sed tanquam in choro cyclico circumvagantur, mutantes locum ex loco et cedentes certis temporibus et intervallis loca sibi constituta. Quando autem imperium tenet locorum Phison, fames, angustiae, miseria in illa parte terrae oriuntur. Parca (*φειδωλὸν*) enim iuxta-collocatio horum angelorum. Pariter etiam singularum partium quattuor illarum ex singularum vi et natura mala tempora et morborum irritationes. Et hoc in perpetuum secundum imperia illorum quadrantium tanquam amnium flumen malitiae ex voluntate Edem nunquam intermisso cursu mundum circumit. Extitit autem malitiae necessitas ex tali quadam causa. Cum comparasset et fabricatus esset Elohim ex communi complacito mundum, ascendere voluit in alta caeli et contemplari, num aliquid desideraretur in rebus a se conditis, assumptis una secum angelis suis (ferebatur enim sursum), relicta Edem infra; terra enim quoniam erat, sequi sursum coniugem nolebat. Postquam igitur venit Elohim ad extremum supra caeli et adspexit lucem superiorem illa, quam ipsa fabricaverat, dixit: *Aperite mihi portas, ut, ubi intravero, confitear domino, opinabar enim ego dominus esse.* Vox ei ab luce reddita est dicens: *Haec porta domini, iusti intrant per eam,* et patefacta est ilico porta et intravit pater absque angelis ad Bonum et vidit, *quae oculus non vidit nec auris audivit nec in cor hominis ascenderunt.* Tum dicit ei Bonus: *Conside ad dexteram meam.* Pater autem dicit Bono: *Sine me, domine, pervertere mundum, quem feci; spiritus enim meus illigatus est in homines, et volo eum recipere.* Tum dicit ei Bonus: *Nihil potes mali facere, cum apud*

κατώγη C: *'Εδέμ, κατωφερὴς* M 42. *οὖσαν* C 44. sqq. Cf. Ps. 117, 19. 20: *'Ανοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. Αὕτη ἡ πύλη τοῦ κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.* 50. 51. 1 Cor. 2, 9. Cf. supra p. 216, 24 sqq. ubi *οὐδὲ* pro *καὶ* — *οὐκ* legitur. 52. Ps. 109, 1. 53. *τὸν κόσμον*] *ἐς τὸν κόσμον* susp. M 55. *ἀνθρώπους* Bernaysius: *οὐρανούς* C M

κοποιῆσαι παρ' ἐμοὶ γενόμενος, ἐκ κοινῆς γὰρ εὐαρεστήσεως ἐποιήσατε τὸν κόσμον σύ τε καὶ ἡ Ἐδέμ. ἔασον οὖν τὴν Ἐδὲμ ἔχειν τὴν κτίσιν μέχρις οὗ βούλεται· σὺ δὲ μένε παρ' ἐμοί. Τότε γνοῦσα ἡ Ἐδὲμ ὅτι καταλέλειπται ὑπὸ τοῦ Ἐλωείμ, λυπηθεῖσα παρέστησεν αὐτῇ τοὺς ἰδίους ἀγγέλους καὶ εὐπρεπῶς ἐκόσμησεν ἑαυτήν, εἴ πως εἰς ἐπιθυμίαν ἐλθὼν ὁ Ἐλωεὶμ κατέλθῃ πρὸς αὐτήν. Ὡς δὲ κρατηθεὶς τῷ ἀγαθῷ ὁ Ἐλωεὶμ οὐκέτι κατῆλθε πρὸς τὴν Ἐδέμ, προσέταξεν ἡ Ἐδὲμ τῇ Βάβελ, ἥτις ἐστὶν Ἀφροδίτη, μοιχείας καὶ χωρισμοὺς γάμων κατασκευάσαι ἐν ἀνθρώποις, ἵνα ὡς αὐτὴ κεχώρισται ἀπὸ τοῦ Ἐλωείμ, οὕτω καὶ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ τὸ ὂν ἐν τοῖς ἀνθρώποις τοῖς χωρισμοῖς τοῖς τοιούτοις βασανίζηται λυπούμενον, καὶ πάσχῃ τὰ αὐτὰ ὁποῖα καὶ ἡ Ἐδὲμ καταλελειμμένη. Καὶ δίδωσιν ἐξουσίαν ἡ Ἐδὲμ μεγάλην τῷ τρίτῳ ἀγγέλῳ αὐτῆς τῷ Νάας, ἵνα πάσαις κολάσεσι κολάζῃ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ τὸ ὂν ἐν τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ πνεύματος ᾖ κολαζόμενος ὁ Ἐλωεὶμ ὁ καταλιπὼν παρὰ τὰς συνθήκας τὰς γενομένας αὐτῶν τὴν σύζυγον. Ἰδὼν ταῦτα ὁ πατὴρ Ἐλωεὶμ ἐκπέμπει τὸν Βαρούχ, τὸν τρίτον ἄγγελον τῶν ἑαυτοῦ, εἰς βοήθειαν τῷ πνεύματι τῷ ὄντι ἐν τοῖς ἀνθρώποις. Πάλιν ἐλθὼν οὖν ὁ Βαροὺχ ἔστη ἐν μέσῳ τῶν ἀγγέλων τῆς Ἐδέμ, τουτέστιν ἐν μέσῳ τοῦ παραδείσου (παράδεισος γὰρ οἱ ἄγγελοι, ὧν μέσος ἔστη), καὶ παρήγγειλε τῷ ἀνθρώπῳ, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, ἀπὸ δὲ τοῦ [ξύλου τοῦ] γινώσκειν τὸ καλὸν καὶ το πο|νηρὸν μὴ φαγεῖν, ὅπερ ἐστὶν ὁ Νάας, τουτέστι τοῖς μὲν ἄλλοις ἀγγέλοις πείθεσθαι τοῖς ἕνδεκα τῆς Ἐδέμ, πάθη μὲν γὰρ ἔχουσιν οἱ ἕνδεκα, παρανομίαν δὲ οὐκ ἔχουσιν· ὁ δὲ Νάας παρανομίαν ἔσχε· προσῆλθε γὰρ τῇ Εὔᾳ ἐξαπατήσας αὐτὴν καὶ ἐμοίχευσεν αὐτήν, ὅπερ ἐστὶ παράνομον· προσῆλθε δὲ καὶ τῷ Ἀδὰμ καὶ ἔσχεν αὐτὸν ὡς παῖδα, ὅπερ ἐστὶ καὶ αὐτὸ παράνομον· ἔνθεν γέγονε μοιχεία καὶ ἀρσενοκοιτία. Ἀπὸ τότε ἐπεκράτησε τὰ κακὰ τοῖς ἀνθρώποις καὶ τὰ ἀγαθὰ ἐκ μιᾶς ἀρχῆς γενόμενα τῆς τοῦ πατρός. Ἀναβὰς γὰρ πρὸς τὸν ἀγαθὸν ὁ πατὴρ ὁδὸν ἔδειξε τοῖς ἀναβαίνειν θέλουσιν. Ἀποστὰς δὲ τῆς Ἐδὲμ ἀρχὴν κακῶν ἐποίησε τῷ πνεύματι τῷ ἐν τοῖς

59. μέχρις οὗ] μέχρι C M 64. καὶ οὐκέτι C 67. πνεῦμα

me sis; ex communi enim complacito fecistis mundum et tu et Edem; sinito igitur Edem habere mundum donec volet, tu autem mane apud me. Tum intelligens Edem se desertam esse ab Elohim, dolore correpta ad latus suum posuit suos sibi angelos et decore ornavit sese, si forte Elohim in cupiditatem sui veniens descenderet ad se. Ubi autem victus a Bono Elohim non iam descendit ad Edem, imperavit Edem Babel, quae est Venus, adulteria et divortia nuptiarum instituere in hominibus, ut, sicut ipsa repudiata sit ab Elohim, sic etiam spiritus Elohim, qui est in hominibus, divortiis eiusmodi vexetur atque angatur et patiatur eadem, qualia et Edem derelicta. Et largitur Edem magnam potentiam tertio angelo suo Naas, ut omnibus poenis puniat spiritum Elohim, qui est in hominibus, ut per spiritum puniatur Elohim, qui deseruit contra pactiones inter eos factas coniugem. Haec cum vidit pater Elohim, emittit Baruch, tertium angelorum suorum, in auxilium spiritus, qui est in hominibus. Rursus igitur Baruch constitit in mediis angelis Edem, hoc est in medio paradiso (paradisus enim angeli, quibus in mediis constitit), et annuntiavit homini: *Ab omni ligno paradisi edendo vesceris, ab eo autem, quod est cognoscendo bonum et malum, noli vesci*, id quod est Naas, hoc est, obsequendum esse reliquis angelis undecim Edem, passiones enim habent undecim illi, iniustitiam autem non habent; Naas autem iniustitiam habuit, accessit enim ad Evam deceptam a sese et vitiavit eam, id quod est iniustum, accessit autem etiam ad Adam abususque eo est tanquam puero, id quod et ipsum est iniustum. Hinc venit scortatio et masculorum concubitus. Exinde dominata sunt mala in hominibus et bona ex eodem fonte orta patris. Postquam enim ascendit ad Bonum pater, viam monstravit ascensuris, postquam autem discessit ab Edem principium malorum fecit spiritui, qui est in hominibus. Mis-

om C M Cf. infra lin. 72. 68. 69. *βασανίζεται* C 74. *αὐτῶν*] *αὐτῷ* C M 76. 77. *ἀνθρώποις. Πάλιν ἐλθὼν*] *ἀνθρώποις πᾶσιν. Ἐλθὼν* C M 79—82. 1 Mos. 2, 17. Cfr. supra p. 208, 91 sqq. 81. *τοῦ ξύλου τοῦ*] *τοῦ* C: *τοῦ τοῦ* M 92. *τῷ πνεύματι τῷ ἐν τοῖς ἀνθρώποις*] *τῷ πνεύματι τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς* C: *τῷ πνεύματι τ. πατρ. τοῦ ἐν τοῖς ἀνθρώποις* susp. M: *τῷ πνεύματι τοῦ πατρ. τῷ ἐν τοῖς ἀνθρώποις* Bernaysius.

ἀνθρώποις. Ἐπέμφθη οὖν ὁ Βαροὺχ πρὸς τὸν Μωσέα, καὶ δι' αὐτοῦ ἐλάλησε τοῖς υἱοῖς Ἰσραήλ, ὅπως ἐπιστραφῶσι πρὸς τὸν ἀγαθόν. Ὁ δὲ τρίτος ὁ . . . . . διὰ τῆς ψυχῆς ἀπὸ τῆς Ἐδὲμ οἰκούσης εἰς τὸν Μωσέα, ὥσπερ καὶ εἰς πάντας ἀνθρώπους, τὰς ἐντολὰς τοῦ Βαροὺχ ἐπεσκίασε καὶ τὰς ἰδίας ἐποίησεν ἀκούεσθαι· διὰ τοῦτο ἡ ψυχὴ κατὰ τοῦ πνεύματος τέτακται, καὶ τὸ πνεῦμα κατὰ τῆς ψυχῆς. Ἡ μὲν γὰρ ψυχή ἐστιν Ἐδέμ, τὸ δὲ πνεῦμα Ἐλωείμ, ἑκάτερα ὄντα ἐν πᾶσιν ἀνθρώποις καὶ θήλεσι καὶ ἄρρεσι. Πάλιν μετὰ ταῦτα ἐπέμφθη ἐπὶ τοὺς προφήτας ὁ Βαρούχ, ἵνα διὰ τῶν προφητῶν ἀκούσῃ τὸ πνεῦμα τὸ ἐν τοῖς ἀνθρώποις κατοικοῦν καὶ φύγῃ τὴν Ἐδὲμ καὶ τὴν πλάσιν τὴν πονηράν, ὥσπερ ἔφυγεν ὁ πατὴρ Ἐλωείμ· ὁμοίως καὶ [διὰ τῶν προφητῶν] τῇ αὐτῇ ἐπινοίᾳ ὁ Νάας διὰ τῆς ψυχῆς τῆς ἐνοικούσης ἐν τῷ ἀνθρώπῳ σὺν τῷ πνεύματι τοῦ πατρὸς ὑπέσυρε τοὺς προφήτας, καὶ ὑπεσύρησαν | πάντες, καὶ οὐκ ἠκολούθησαν τοῖς λόγοις τοῦ Βαρούχ, οὓς ἐνετείλατο Ἐλωείμ. Τὸ τελευταῖον ἐξ ἀκροβυστίας προφήτην ἐπελέξατο Ἐλωεὶμ τὸν Ἡρακλέα καὶ ἔπεμψεν, ἵνα τοὺς δώδεκα ἀγγέλους τῆς Ἐδὲμ καταγωνίσηται καὶ ἐλευθερώσῃ τὸν πατέρα ἀπὸ τῶν δώδεκα ἀγγέλων τῆς κτίσεως τῶν πονηρῶν. Ταῦτά ἐστι τα δώδεκα ἆθλα τοῦ Ἡρακλέους, ἃ κατηγωνίσατο ὁ Ἡρακλῆς τῇ τάξει, ἀπὸ τοῦ πρώτου ἕως ἐσχάτου, λέοντα καὶ ὕδραν καὶ κάπρον καὶ τὰ ἑξῆς. Τῶν ἐθνῶν γὰρ εἶναι ταῦτα τὰ ὀνόματα, ἃ μετωνόμασται, φασίν, ἀπὸ τῆς ἐνεργείας τῶν μητρικῶν ἀγγέλων. Ὡς δ' ἐδόκει κατηγωνίσθαι, προσπλέκεται αὐτῷ ἡ Ὀμφάλη, ἥτις ἐστὶ Βάβελ ἢ Ἀφροδίτη, καὶ ὑποσύρει τὸν Ἡρακλέα καὶ ἀποδιδύσκει τὴν δύναμιν αὐτοῦ, τὰς ἐντολὰς τοῦ Βαρούχ, ἃς ἐνετείλατο Ἐλωείμ, καὶ μετενδιδύσκει τὴν ἰδίαν αὐτῆς στολήν, τουτέστι τὴν δύναμιν τῆς Ἐδὲμ τῆς κάτω δυνάμεως, καὶ οὕτως ἀτελὴς ἐγένετο τοῦ Ἡρακλέους ἡ προφητεία καὶ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ τελευταῖον ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως πέμπεται ὁ Βαρούχ, καταπεμφθεὶς πάλιν ὑπὸ τοῦ Ἐλωείμ, καὶ ἐλθὼν εἰς Ναζαρὲτ εὗρε τὸν Ἰησοῦν, υἱὸν τοῦ Ἰωσὴφ καὶ Μαρίας, βόσκοντα πρόβατα, παιδάριον δυωδεκαετές, καὶ ἀναγγέλλει αὐτῷ ἀπ' ἀρχῆς πάντα ὅσα ἐγένετο ἀπὸ τῆς Ἐδὲμ

95. Post verba *τρίτος ὁ* quaedam excidisse videntur 96. *οἰκούσης* C: *ἠκούσης* M 98. Cf. Galat. 5, 17: *ἡ γὰρ σὰρξ ἐπιθυμεῖ (στρατεύεται*

sus igitur est Baruch ad Mosen et per eum locutus est filiis Israël, ut converterentur ad Bonum. Tertius autem (angelus Edem) per animam ab Edem habitantem in Mose, sicut etiam in omnibus hominibus, praecepta Baruch obscuravit et sua ipsius fecit ut audirentur. Propterea anima exadversum spiritui collocata est et spiritus animae. Anima enim est Edem, spiritus autem Elohim, quorum utrumque est in omnibus hominibus et femininis et masculis. Rursus post haec missus est ad prophetas Baruch, ut per prophetas audiret spiritus in hominibus habitans et fugeret Edem et ficturam pravam, uti fugit pater Elohim. Pariter etiam eodem consilio Naas per animam inhabitantem in homine cum spiritu patris allexit prophetas et allecti sunt omnes et non obsecuti sunt dictis Baruch, quae iniunxerat Elohim. Ad extremum e praeputio prophetam delegit Elohim Herculem et misit ut duodecim angelos Edem luctando devinceret et liberaret patrem a duodecim angelis creaturae pravis. Hi sunt duodecim labores Herculis, quos peregit Hercules ordine, a primo ad extremum, devincens leonem et hydram et aprum et deinceps. Ethnicorum enim esse haec nomina, quae repetita esse aiunt ab opera maternorum angelorum. Ubi autem sibi visus est omnes labores peregisse, sese applicat ad eum Omphale, quae quidem est Babel sive Venus, et blandiendo capit Herculem et exuit potestatem eius, praecepta Baruch, quae mandaverat Elohim, et redinduit suam ipsius vestem, hoc est potestatem Edem, infra potestatis, et ita eventu caruerunt Herculis prophetia et opera eius. Ad extremum autem diebus Herodis regis mittitur Baruch, demissus rursus ab Elohim, et cum advenit Nazareth, reperit Iesum, filium Iosephi et Mariae, pascentem oves, puerulum duodecim annorum, et annuntiat ei ab initio omnia quaecunque facta sunt ab Edem et Elohim et posthac futura, et dixit: *Omnes ante te prophe-*

Orig. 3, 330 d) *κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται κ. τ. λ.* 4. *ἀνθρώποις*] Bernaysius: *οὐρανοῖς* C M *φύγῃ*] *φυγὸν* C M 6. *διὰ τῶν προφητῶν*] uncis inclusimus, quippe quae sententiam turbent, fortasse male iterata ex superioribus 7. *ψυχῆς*] *εὐχῆς* C M 8. *ὑπέσυρε*] *ἐπέσυρε* C: *ἐπεσύρετο* susp. M *ὑπεσύρησαν*] *ἐπεσύρησαν* C 9. *τοῖς λόγοις*] *οἱ λόγοι* C 18. *δ'* om C M 19. *ἢ*] *ἡ* C M

καὶ τοῦ Ἐλωεὶμ καὶ τὰ μετὰ ταῦτα ἐσόμενα, καὶ εἶπε· Πάντες οἱ πρὸ σοῦ προφῆται ὑπεσύρησαν. Πειράθητι οὖν, Ἰησοῦ, υἱὲ ἀνθρώπου, μὴ ὑποσυρῆναι, ἀλλὰ κήρυξον τοῦτον τὸν λόγον τοῖς ἀνθρώποις καὶ ἀνάγγειλον αὐτοῖς τὰ περὶ τοῦ πατρὸς καὶ τὰ περὶ τοῦ ἀγαθοῦ, καὶ ἀνάβαινε πρὸς τὸν ἀγαθὸν καὶ κάθου ἐκεῖ μετὰ τοῦ πάντων ἡμῶν πατρὸς Ἐλωείμ. Καὶ ὑπήκουσε τῷ ἀγ|γέλῳ ὁ Ἰησοῦς εἰπών, ὅτι κύριε ποιήσω πάντα, καὶ ἐκήρυξεν. Ὑποσῦραι οὖν ὁ Νάας καὶ τοῦτον ἠθέλησε . . . . πιστὸς γὰρ ἔμεινε τῷ Βαρούχ. Ὀργισθεὶς οὖν ὁ Νάας, ὅτι αὐτὸν ὑποσῦραι οὐκ ἠδυνήθη, ἐποίησεν αὐτὸν σταυρωθῆναι. Ὁ δὲ καταλιπὼν τὸ σῶμα τῆς Ἐδὲμ πρὸς τὸ ξύλον, ἀνέβη πρὸς τὸν ἀγαθόν. Εἰπὼν δὲ τῇ Ἐδέμ· Γύναι, ἀπέχεις σου τὸν υἱόν, τουτέστι τόν ψυχικὸν ἄνθρωπον καὶ τὸν χοϊκόν, αὐτὸς δὲ εἰς χεῖρας παραθέμενος τὸ πνεῦμα τοῦ πατρός, ἀνῆλθε πρὸς τὸν ἀγαθόν. Ὁ δὲ ἀγαθός ἐστι Πρίαπος, ὁ πρίν τι εἶναι ποιήσας· διὰ τοῦτο καλεῖται Πρίαπος, ὅτι ἐπριοποίησε τὰ πάντα. Διὰ τοῦτο, φησίν, εἰς πάντα ναὸν ἵσταται, ὑπὸ πάσης τῆς κτίσεως τιμώμενος καὶ ἐν ταῖς ὁδοῖς βαστάζων τὰς ὀπώρας ἐπάνω αὐτοῦ, τουτέστι τοὺς καρποὺς τῆς κτίσεως, ὧν αἴτιος ἐγένετο, πριοποιήσας τὴν κτίσιν πρότερον οὐκ οὖσαν. Ὅταν οὖν, φησίν, ἀκούσητε λεγόντων ἀνθρώπων, ὅτι κύκνος ἐπὶ τὴν Λήδαν ἦλθε καὶ ἐτεκνοποίησεν ἐξ αὐτῆς, ὁ κύκνος ἐστὶν ὁ Ἐλωείμ, καὶ ἡ Λήδα ἡ Ἐδέμ. Καὶ ὅταν λέγωσιν οἱ ἄνθρωποι, ὅτι ἀετὸς ἦλθεν ἐπὶ τὸν Γανυμήδην, ὁ ἀετός ἐστιν ὁ Νάας, ὁ δὲ Γανυμήδης ὁ Ἀδάμ· καὶ ὅταν λέγωσιν, ὅτι ὁ χρυσὸς ἦλθεν ἐπὶ τὴν Δανάην καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς, ὁ χρυσός ἐστιν ὁ Ἐλωείμ, Δανάη δὲ ἐστιν ἡ Ἐδέμ. Ὁμοίως δὲ κατὰ τὸν αὐτὸν τρόπον πάντας τοὺς τοιούτους λόγους μύθους ἐμφερεῖς ὄντας παρατιθέμενοι διδάσκουσιν. Ὅταν οὖν προφῆται λέγωσιν· Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ, κύριος ἐλάλησεν, οὐρανὸν λέγει, | φησί, τὸ πνεῦμα τὸ ἐν τῷ ἀνθρώπῳ, τὸ τοῦ Ἐλωείμ, γῆν δὲ τὴν ψυχὴν τὴν ἐν τῷ ἀνθρώπῳ σὺν τῷ πνεύματι, κύριον δὲ τὸν Βαρούχ, Ἰσραὴλ δὲ τὴν Ἐδέμ· Ἐδὲμ γὰρ λέγεται καὶ Ἰσραὴλ ἡ σύζυγος τοῦ Ἐλωείμ. Οὐκ ἔγνω με, φησίν, Ἰσραήλ, εἰ γὰρ ἐγνώκει, ὅτι πρὸς

29. καὶ τὰ om C   30. ἐπεσύρησαν C   38. Post ἠθέλησε

tae capti sunt. Operam igitur dato, Iesu, fili hominis, ne capiaris, sed nuntiato hunc sermonem hominibus et renuntiato illis quae sunt patris et quae sunt Boni et ascende ad Bonum et considito illic cum omnium nostrum patre Elohim. Et obediit angelo Iesus fatus: *O domine, faciam omnia*, et renuntiavit. Decipere igitur Naas etiam hunc voluit, [sed Iesus obedire ei noluit], fidelis enim mansit Baruch. Iratus igitur Naas, quod eum decipere non potuit, fecit ut in crucem suffigeretur. Ille autem, relicto corpore Edem in cruce, ascendit ad Bonum. Dicens autem ad Edem: *Mulier, habes tuum tibi filium*, hoc est animalem hominem et choicum; ipse autem deposito in manus patris spiritu ascendit ad Bonum. Bonus autem est Priapus, is qui antequam quidquam esset fecit. Propter hoc vocatur Priapus, quoniam prius fecit omnia. Propterea, inquit, in omni templo statuitur, ab omni natura honoratus et in viis portans fructus auctumnales a se suspensas, hoc est fructus creaturae, quorum auctor extitit, quoniam prius fecit creaturam antea non existentem. Ubi igitur audictis, inquit, dicentes homines cygnum venisse ad Ledam et generasse ex ea, cygnus est Elohim et Leda Edem. Et cum dicunt homines aquilam venisse ad Ganymedem, aquila est Naas, Ganymedes autem Adam, et ubi dicunt aurum venisse ad Danaam et generasse ex ea, aurum est Elohim, Danaë autem est Edem. Similiter autem in eundem modum omnes tales sermones, fabulas consimiles iuxta ponentes, tradunt. Quando igitur prophetae dicunt: *Audi caelum et aures arrige, terra, dominus locutus est*, caelum dicit, inquit, spiritum qui est in homine ab Elohim, terram autem animam quae est in homine cum spiritu, dominum autem Baruch, Israël autem Edem. Edem enim vocatur et Israël coniux Elohim. *Non cognovit me*, inquit, *Israël, si enim cognovisset me apud Bonum esse, non puniturus*

fort. addendum: *ἀλλὰ Ἰησοῦς ἀκολουθῆσαι αὐτῷ οὐκ ἠθέλησε.* M 41. 42. Cf. Ev. Io. 19, 26: *Γύναι, ἴδε ὁ υἱός σου.* 49. *πρότερον*] *πρῶτον* C M 53. *Γαννυμήδην* bis C 57. 58. *μύθους ἐμφερεῖς ὄντας*] *μύθους ἐμφέροντας* C: *μύθοις ἐμφέροντας* M 59. *λέγουσιν* C 59. 60. Ies. 1, 2: *Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν* 61. *ἀνθρώπῳ*] *οὐρανῷ* C M 65. Cf. Ies. 1, 3: *Ἰσραὴλ δέ με οὐκ ἔγνω* *ἔγνω με*] *ἐγνώκει* C M

τῷ ἀγαθῷ εἰμί, οὐκ ἂν ἐκόλαζε τὸ πνεῦμα τὸ ἐν τοῖς ἀνθρώποις διὰ τὴν πατρικὴν ἄγνοιαν.

27. Ἐντεῦθεν γέγραπται δὲ καὶ ὅρκος ἐν τῷ πρώτῳ βιβλίῳ τῷ ἐπιγραφομένῳ Βαρούχ, ὃν ὁρκίζουσι τοὺς κατακούειν μέλλοντας τούτων τῶν μυστηρίων καὶ τελεῖσθαι παρὰ τῷ ἀγαθῷ· ὃν ὅρκον, φησίν, ὤμοσεν ὁ πατὴρ ἡμῶν Ἐλωεὶμ παρὰ τῷ ἀγαθῷ γενόμενος, καὶ οὐ μετεμελήθη ὀμόσας, περὶ οὗ γέγραπται, φησίν, Ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται. Ἔστι δὲ ὁ ὅρκος οὗτος· Ὀμνύω τὸν ἐπάνω πάντων, τὸν ἀγαθόν, τηρῆσαι τὰ μυστήρια ταῦτα καὶ ἐξειπεῖν μηδενί, μηδὲ ἀνακάμψαι ἀπὸ τοῦ ἀγαθοῦ ἐπὶ τὴν κτίσιν. Ἐπειδὰν δὲ ὀμόσῃ τοῦτον τὸν ὅρκον, εἰσέρχεται πρὸς τὸν ἀγαθὸν καὶ βλέπει, ὅσα ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, καὶ πίνει ἀπὸ τοῦ ζῶντος ὕδατος, ὅπερ ἐστὶ λουτρὸν αὐτοῖς, ὡς νομίζουσι, πηγὴ ζῶντος ὕδατος ἁλλομένου. Διακεχώρισται γάρ, φησίν, ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἔστιν ὕδωρ τὸ ὑποκάτω τοῦ στερεώματος τῆς πονηρᾶς κτίσεως, ἐν ᾧ λούονται οἱ χοϊκοὶ καὶ ψυχικοὶ ἄνθρωποι, καὶ ὕδωρ ἐστὶν ὑπεράνω τοῦ στερεώματος τοῦ ἀγαθοῦ ζῶν, ἐν ᾧ λούονται οἱ πνευματικοὶ ζῶντες ἄνθρωποι, ἐν ᾧ ἐλούσατο Ἐλωεὶμ καὶ λουσάμενος οὐ μετεμελήθη. Καὶ ὅταν λέγῃ, φησίν, ὁ προφήτης λαβεῖν ἑαυτῷ | γυναῖκα πορνείας, διότι πορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθε τοῦ κυρίου, τουτέστιν ἡ Ἐδὲμ ἀπὸ τοῦ Ἐλωείμ, ἐν τούτοις, φησίν, ὁ προφήτης σαφῶς λαλεῖ τὸ ὅλον μυστήριον, καὶ οὐκ ἀκούεται διὰ τὴν κακίαν τοῦ Νάας. Κατὰ τὸν αὐτὸν ἐκεῖνον τρόπον καὶ τὰς ἄλλας λαλιὰς προφητικὰς ὁμοίως παράδουσι διὰ πλειόνων βιβλίων, ἔστι δὲ αὐτοῖς προηγουμένως βιβλίον ἐπιγραφόμενον Βαρούχ, ἐν ᾧ ὅλην τὴν τοῦ μύθου αὐτῶν διαγωγὴν ὁ ἐντυχὼν γνώσεται. Πολλαῖς μὲν οὖν αἱρέσεσιν ἐντυχών, ἀγαπητοί, οὐδενὶ τούτου κακῷ χείρονι ἐνέτυχον. Ἀληθῶς δέ, ὥσπερ λέγεται, κατὰ τὸν αὐτοῦ Ἡρακλέα δεῖ μιμησαμένους ἐκκαθᾶραι τὴν Αὐγείου κόπρον, μᾶλλον δὲ ἀμάραν, εἰς ἣν ἐμπεσόντες οἱ τούτου ἐχόμενοι οὐ πώποτε ἀποπλυθήσονται, ἀλλ' οὐδὲ ἀνακύψαι δυνήσονται.

66. *ἀνθρώποις* Bernaysius: *οὐρανοῖς* C M 67. *Ἐντεῦθεν* quod claudebat caput superius huc retraximus 70. *ὤμοσεν*] *ὠνόμασεν* C 72. 73. Psalm. 109, 4. 73. *οὗτος*] *οὕτως* C M 73.

erat spiritum, qui est in hominibus per paternam ignorantiam.

27. Hinc autem scriptum est etiam iusiurandum in primo libro qui inscribitur Baruch, quo obstringunt eos, qui audire volunt haec mysteria et initiari apud Bonum, quod iusiurandum, inquit, iuravit pater noster Elohim, cum ad Bonum venisset, nec poenituit eum iurisiurandi, quo de patre scriptum est, inquit: *Iuravit dominus, nec poenitebit eum.* Est autem iusiurandum hoce: *Iuro per eum, qui est super omnia, Bonum, me custoditurum haec mysteria nec cuiquam edicturum, nec reflexurum a Bono ad creaturam.* Ubi autem hoc iusiurandum iuravit, intrat ad Bonum et cernit *quidquid oculus non vidit nec auris audivit nec in cor hominis ascendit,* et bibit a viva aqua, id quod est lavacrum illis, ut arbitrantur, fons vivae aquae salientis. Discretum enim est inter aquam et aquam, et est aqua infra firmamentum pravae creaturae, in quo lavantur choici et animales homines, et aqua est supra firmamentum Boni viva, in qua lavantur spirituales vivi homines, in qua lavabatur Elohim et postquam laverat non poenituit eum. Et quando, inquit, dicit propheta: *Sumito tibi mulierem scortationis, quoniam scortando divortium faciet terra a domino,* hoc est Edem ab Elohim, in his, inquit, propheta aperte eloquitur omne mysterium, nec auditur propter malitiam Naas. Ad eundem illum modum etiam alia dicta prophetica similiter deflectunt per complures libros. Est autem iis praecipue liber inscriptus Baruch, in quo omnem fabulae eorum expositionem reperient qui incident. Quanquam igitur in multas incidi haereses, dilecti, in nullum hoc malo saevius incidi. Revera autem, sicuti dicitur, secundum illius Herculem oportet imitatos Augiae expurgare stabulum, vel ut rectius dicam, sentinam, in quam cum inciderunt qui sunt ab eo non unquam abluentur, immo ne caput quidem tollere poterunt.

74. *πάντων, τὸν ἀγαθὸν*] *πάντα τὸν ἀγαθὸν* pr C: *πάντων τῶν ἀγαθῶν* corr C M 77—79 1 Cor. 2, 9 80. *πηγὴ — ἁλλομένου*] Ev. Io. 4, 14. coll. v. 10 80—84. Cf. 1 Mos. 1, 6. 7 84. *ὑπεράνω*] *ὑπὸ ἄνω* C 87. sqq. Hos. 1, 2: *Βάδιζε, λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας, διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου.* 92. *ἄλλας λαλιάς*] *ἄλλας* C M *παρά-δουσι*] *παραδιδοῦσι* C M 94. 95. *ὁ ἐντυχὼν*] *ὁ εὖ τυχὼν* C 96. 97. *λέγεται*] *λέγει καὶ ὁ* C M, qui *καλὸς* susp. pro *κατὰ* 98. *ἀνεχόμενοι* C M 99. *ἀποπληθήσονται* C

28. Ἐπεὶ γοῦν καὶ τὰ Ἰουστίνου τοῦ ψευδογνωστικοῦ ἐπιχειρήματα ἐξεθέμεθα, δοκεῖ καὶ τὰς τῶν ἀκολούθων αἱρέσεων δόξας ἐν ταῖς ἑξῆς βίβλοις ἐκθέσθαι, μηδένα δὲ καταλιπεῖν ἀνέλεγκτον αὐτῶν, τῶν ὑπ' αὐτῶν λεγομένων παρατιθεμένων, ὄντων ἱκανῶν πρὸς παραδειγματισμόν, εἰ καὶ μόνον ἐκρηθείη τὰ ἀπόκρυφα παρ' αὐτοῖς καὶ ἄρρητα, ἃ μόλις μετὰ πολλοῦ πόνου μυοῦνται οἱ ἄφρονες. Ἴδωμεν οὖν τί καὶ Σίμων λέγει.|

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

ΒΙΒΛΙΟΝ ϛ΄.

---

1. Τάδε ἔνεστιν ἐν τῇ ἕκτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου.

2. Τίνα τὰ Σίμωνι τετολμημένα, καὶ ὅτι ἐκ μαγικῶν καὶ ποιητικῶν τὸ δόγμα κρατύνει.

3. Τίνα ὁ Οὐαλεντῖνος δογματίζει, καὶ ὅτι ἐκ γραφῶν οὐ συνίσταται αὐτοῦ τὸ δόγμα, ἀλλὰ ἐκ τῶν Πλατωνικῶν καὶ Πυθαγορικῶν δογμάτων.

4. Καὶ τίνα τὰ Σεκούνδῳ καὶ Πτολεμαίῳ καὶ Ἡρακλέωνι δοκοῦντα, ὡς καὶ αὐτοὶ τοῖς αὐτοῖς, οἷς οἱ Ἕλληνες σοφοί, ἐχρήσαντο ἄλλοις ῥήμασι.

5. Τίνα τὰ Μάρκῳ καὶ Κολαρβάσῳ νομισθέντα, καὶ ὅτι τινὲς αὐτῶν μαγείαις καὶ ἀριθμοῖς Πυθαγορείοις ἔσχον.

6. Ὅσα μὲν οὖν ἐδόκει τοῖς ἀπὸ τοῦ ὄφεως τὰς ἀρχὰς παρειληφόσι καὶ κατὰ τελείωσιν τῶν χρόνων εἰς φανερὸν τὰς δόξας ἑκουσίως προενεγκαμένοις, ἐν τῇ πρὸ ταύτης βίβλῳ οὔσῃ πέμπτῃ τοῦ ἐλέγχου τῶν αἱρέσεων ἐξεθέμην. Νυνὶ δὲ καὶ τῶν ἀκολούθων τὰς γνώμας οὐ | σιωπήσω, ἀλλ' οὐδὲ μίαν ἀνέλεγκτον καταλείψω, εἴγε δυνατὸν πάσας ἀπομνημονεῦσαι καὶ τὰ τούτων ἀπόρρητα ὄργια, ἃ δικαίως ὄργια κλητέον· οὐ γὰρ

4. ἀνέλεκτον C ὑπ' αὐτῶν] ὑπ' αὐτὸν C 5. ἐκκριθείη C 6. παρ' αὐτῆς C 7. μύονται C 10. ἄλλοις] ἀλλ' ἄλλοις? quanquam sententia potius requirere videtur: ἀλλ' ἄλλος ἄλλοις 12. ἔσχον] ἐνέσχον vel ἐσχόλαζον M: προσέσχον? 14. περειληφόσι C

28. Postquam igitur etiam Iustini pseudognostici conamina exposuimus, placet etiam comparium haeresium opiniones in libris deinceps exponere, nullum autem relinquere irrefutatum eorum, dum apponimus ab iis dicta, sufficientia illa ad exemplum, etiamsi solum edicantur recondita apud eos et arcana, quae aegre cum multo labore initiantur imprudentes. Videamus igitur quid etiam Simon dicat.

REFUTATIONIS OMNIUM HAERESIUM
LIBER SEXTUS.

---

1. Haec insunt in sexto libro refutationis omnium haeresium.

2. Quaenam sint Simonis conamina, et eius dogma ex magicis et poëticis vim habere.

3. Quaenam Valentinus doceat, cuius dogma non constare ex scripturis, sed ex Platonicis et Pythagoreis placitis.

4. Et quaenam placuerint Secundo et Ptolemaeo et Heracleoni, ut et ipsi iisdem quibus Graecorum philosophi usi sint, sed aliis verbis.

5. Quaenam Marci et Colarbasi decreta fuerint, et quosdam eorum ad magicas artes et numeros Pythagoreos sese applicuisse.

6. Quotquot igitur sententiae placuerint iis, qui a serpente initia doctrinae suae assumpserunt et progressu temporum in apertum commenta sua sponte prodiderunt, in eo libro, qui hunc praecedit isque refutationis haeresium quintus est, exposui. Iam vero ne eorum quidem qui subsecuti sunt sententias silebo, sed ne unam quidem irrefutatam omittam, si quidem fieri potest, ut omnes commemorem eorumque arcana orgia, quae merito orgia appellanda sunt; non enim profecto

τελείωσιν Bunsenius (*Hippolytus and his age* 2. ed. 1, 350): μείωσιν C M 15. ἑκουσίως] ἀνοσίως Bunsenius l. l. προσενεγκαμένοις C M 16. τοὺς ἐλέγχους C M

μακρὰν ἀπέχουσιν ὀργῆς τοιαῦτα τετολμηκότες, ἵνα καὶ τῇ ἐτυμολογίᾳ χρήσωμαι.

7. Δοκεῖ οὖν καὶ τὰ Σίμωνος τοῦ Γιττηνοῦ, κώμης τῆς Σαμαρείας, νῦν ἐκθέσθαι, παρ᾽ οὗ καὶ τοὺς ἀκολούθους δείξομεν ἀφορμὰς λαβόντας ἑτέροις ὀνόμασιν ὅμοια τετολμηκέναι. Οὗτος ὁ Σίμων μαγείας ἔμπειρος ὢν καὶ τὰ μὲν παίξας πολλοὺς κατὰ τὴν Θρασυμήδους τέχνην, ᾧ τρόπῳ ἄνωθεν ἐξεθέμεθα, τὰ δὲ καὶ διὰ δαιμόνων κακουργήσας, θεοποιῆσαι ἑαυτὸν ἐπεχείρησεν, ἄνθρωπος γόης καὶ μεστὸς ἀπονοίας, ὃν ἐν ταῖς Πράξεσιν οἱ ἀπόστολοι ἤλεγξαν· οὗ πολλῷ σοφώτερον καὶ μετριώτερον Ἄψεθος ὁ Λίβυς ὀρεχθεὶς θεὸς νομισθῆναι ἐν Λιβύῃ ἐπεχείρησεν, οὗ τὸν μῦθον οὐ πολύ τι ἀπεμφαίνοντα τῆς Σίμωνος τοῦ ματαίου ἐπιθυμίας, δοκεῖ διηγήσασθαι ὄντα ἄξιον τῆς τούτου ἐπιχειρήσεως.

8. Ἄψεθος ὁ Λίβυς ἐπεθύμησε θεὸς γενέσθαι· ὡς δὲ πολυπραγμονῶν πάνυ ἀπετύγχανε τῆς ἐπιθυμίας, ἠθέλησε κἂν δοκεῖν γεγονέναι, καὶ ἔδοξέ γε ὡς ἀληθῶς χρόνῳ πλείονι γεγονέναι θεός. Ἔθυον γὰρ οἱ ἀνόητοι Λίβυες αὐτῷ ὡς θείᾳ τινὶ δυνάμει, νομίζοντες ἄνωθεν ἐξ οὐρανοῦ πεπιστευκέναι φωνῇ. Συναθροίσας γὰρ εἰς ἕνα καὶ τὸν αὐτὸν οἰκίσκον ὄρνιθας πλείστους ψιττακοὺς κατέκλεισεν· εἰσὶ δὲ πλεῖστοι κατὰ τὴν Λιβύην ψιττακοί, καὶ ἐναργῶς μιμούμενοι πάνυ τὴν ἀνθρωπίνην φωνήν. Οὗτος χρόνῳ διαθρέψας τοὺς ὄρνεις ἐδίδαξε | λέγειν· Ἄψεθος θεός ἐστιν. Ὡς δὲ ἤσκησαν οἱ ὄρνιθες χρόνῳ πολλῷ καὶ τοῦτο ἔλεγον, ὅπερ ᾤετο λεχθὲν θεὸν εἶναι ποιήσειν νομίζεσθαι τὸν Ἄψεθον, τότε ἀνοίξας τὸ οἴκημα εἴασεν ἄλλον ἀλλαχόσε τοὺς ψιττακούς. Πετομένων δὲ τῶν ὀρνίθων ἐξῆλθεν ὁ φθόγγος εἰς πᾶσαν τὴν Λιβύην, καὶ τὰ ῥήματα αὐτῶν διῆλθε μέχρι τῆς Ἑλληνικῆς γῆς, καὶ οὕτως οἱ Λίβυες καταπλαγέντες ἐπὶ τῇ τῶν ὀρνίθων φωνῇ τό τε πραχθὲν ὑπὸ τοῦ Ἀψέθου πανούργευμα μὴ ἐννοήσαντες, θεὸν εἶχον τὸν Ἄψεθον. Τῶν δὲ Ἑλλήνων τις ἀκριβῶς ἐννοήσας τὸ σόφισμα τοῦ νενομισμένου θεοῦ διὰ τῶν αὐτῶν ἐκείνων ψιττακῶν οὐκ

22. Γιττηνοῦ] Γειττηνοῦ corr C M: Γειττινοῦ pr C. Cf. Steph. Byz. et Io. Cleric. ad *Constitutt. apostol.* VI, 7 25. μαγείαν C 26. Cf. supra l. IV, 28—41. p. 89 sqq. 27—29. Cf. Actt. 8, 9—24. 30. Ἄψεθος ὁ Λίβυς] Cf. Apostolius *Proverbb.* s. v. Ψαφῶν M. Maximus Tyrius *Diss.* XXXV prorsus similia de Psaphone quodam Libye

longe absunt ab ira (divina) qui talia conati sunt, ut etiam veriloquio utar.

7. Placet igitur etiam Simonis Gittenensis, qui vicus est Samariae, nunc exponere placita, a quo etiam sectatores demonstrabimus initiis sumptis aliis nominibus consimilia conatos esse. Hic Simon magicae artis peritus et partim multos decipiens Thrasymedis arte, quomodo supra exposuimus, partim etiam ope daemonum mala machinatus deificare semet instituit, homo praestigiator et plenus ineptiarum, quem in Actis apostoli convicerunt, quo multo sapientius et modestius Apsethus Libys concupiscens pro deo haberi in Libya agressus est, cuius fabulam non admodum illam a Simonis vani illius cupiditate abludentem placet enarrare, quippe quae digna sit huiusce conamine.

8. Apsethus Libys concupivit deus fieri; cum autem nihil non conatus prorsus excidisset ausis, nitebatur vel videri factus esse, et visus est profecto re vera lapsu temporis factus esse deus. Sacrificabant enim insani Libyes illi tanquam divinae cuidam potestati, opinati superne de caelo lapsae voci se credere. Congregavit enim in unam eandemque aediculam aves plurimas psittacos easque inclusit. Sunt autem permulti per Libyam psittaci et accurate admodum humanam vocem imitantes. Hic satis diu aves postquam nutrivit docuit fari: *Apsethus deus est.* Postquam autem exercuerunt aves satis diu idque fabantur quod ille opinabatur dictum effecturum esse, ut crederetur deus esse Apsethus, tum aperta aedicula alium aliorsum avolare psittacos sivit. Volantibus autem avibus exiit vox in omnem Libyam et voces illorum penetraverunt usque ad Graecam terram, et ita Libyes perculsi avium voce et fraudem ab Apsetho commissam ignorantes pro deo habebant Apsethum. Graecorum autem quidam accurate perspectis malis artibus hominis pro deo scilicet venditati per eosdem illos

narrat, nisi quod ultima desiderantur. Maximum Tyrium exscripsit Apostolius *Cent.* XVIII, 48. p. 730. *ed. Leutsch*, qui similem narrationem affert de Hannone Carthaginiensi ex Aeliano *V. Hist.* XIV, 30. Cf. etiam Iustin. XXI, 4 et Plin. *Nat. Hist.* VIII, 16 37. *αὐτῷ ὡς*] *αὐτῷ* C M, qui *δυνάμει* delendum esse censet 44. *ᾤετο*] *ᾤετο τὸ* C 50. *ἐνοήσαντες* C

ἐλέγχει μόνον, ἀλλὰ καὶ ἀφανίζει τὸν ἀλαζόνα καὶ φορτικὸν ἐκεῖνον ἄνθρωπον. Μετεδίδαξε δὲ ὁ Ἕλλην καθείρξας πολλοὺς ἀπὸ τῶν ψιττακῶν λέγειν· Ἄψεθος ἡμᾶς κατακλείσας ἠνάγκασε λέγειν, Ἄψεθος θεός ἐστιν. Ἀκούσαντες δὲ οἱ Λίβυες τῆς παλινῳδίας τῶν ψιττακῶν, πάντες ὁμοθυμαδὸν συνελθόντες κατέκαυσαν τὸν Ἄψεθον.

9. Οὕτως ἡγητέον Σίμωνα τὸν μάγον ἀπεικάζοντας τῷ Λίβυϊ τάχιον ἀνθρώπῳ γενομένῳ οὕτως θεῷ. Εἰ δὲ ἔχει τὰ τῆς εἰκόνος ἀκριβῶς, καὶ πέπονθεν ὁ μάγος πάθος τι παραπλήσιον Ἀψέθῳ, ἐπιχειρήσωμεν μεταδιδάσκειν τοῦ Σίμωνος τοὺς ψιττακούς, ὅτι Χριστὸς οὐκ ἦν Σίμων ὁ ἑστώς, στάς, στησόμενος· ἀλλ' ἄνθρωπος ἦν ἐκ σπέρματος, γέννημα γυναικός, ἐξ αἱμάτων καὶ ἐπιθυμίας σαρκικῆς καθάπερ καὶ οἱ λοιποὶ γεγεννημένος· καὶ ὅτι ταῦθ' οὕτως ἔχει, προϊόντος τοῦ λόγου ῥᾳδίως ἐπιδείξομεν. Λέγει δὲ ὁ Σίμων μεταφράζων τὸν νόμον| Μωϋσέως ἀνοήτως τε καὶ κακοτέχνως· Μωσέως γὰρ λέγοντος, ὅτι ὁ θεὸς πῦρ φλέγον ἐστὶ καὶ καταναλίσκον, δεξάμενος τὸ λεχθὲν ὑπὸ Μωσέως οὐκ ὀρθῶς, πῦρ εἶναι τῶν ὅλων λέγει τὴν ἀρχήν, οὐ νοήσας τὸ εἰρημένον, ὅτι θεὸς οὐ πῦρ, ἀλλὰ πῦρ φλέγον καὶ καταναλίσκον, οὐκ αὐτὸν διασπῶν μόνον τὸν νόμον Μωσέως, ἀλλὰ καὶ τὸν σκοτεινὸν Ἡράκλειτον συλαγωγῶν. Ἀπέραντον δὲ εἶναι δύναμιν ὁ Σίμων προσαγορεύει τῶν ὅλων τὴν ἀρχήν, λέγων οὕτως· Τοῦτο τὸ γράμμα ἀποφάσεως φωνῆς καὶ ὀνόματος ἐξ ἐπινοίας τῆς μεγάλης δυνάμεως τῆς ἀπεράντου. Διὸ ἔσται ἐσφραγισμένον, κεκρυμμένον, κεκαλυμμένον, κείμενον ἐν τῷ οἰκητηρίῳ, οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται. Οἰκητήριον δὲ λέγει εἶναι τὸν ἄνθρωπον τοῦτον τὸν ἐξ αἱμάτων γεγεννημένον, καὶ κατοικεῖν ἐν αὐτῷ τὴν ἀπέραντον δύναμιν, ἣν ῥίζαν εἶναι τῶν ὅλων φησίν. Ἔστι δὲ ἡ ἀπέραντος δύναμις, τὸ πῦρ, κατὰ τὸν Σίμωνα οὐδὲν ἁπλοῦν, καθάπερ οἱ πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ τέσσαρα στοιχεῖα καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλὰ γὰρ εἶναι τὴν τοῦ πυρὸς διπλῆν τινὰ

60. Nisi amplior corruptela subest, legendum certe *τάχιον* [*ἢ*] *ἀνθρώπῳ γενομένῳ ὄντως θεῷ*, de Christo; confer sequentia. M 67. *μεταφράζων*] *μεταφράσσων* C: *μεταφράσων* M 68. *Μωϋσέως*] *Μωύσεος* C 69. Cf. 5 Mos. 4, 24: *Ὅτι κύριος ὁ θεός σου πῦρ καταναλίσκον ἐστὶν αὐτός, θεὸς ζηλώτης*. c. 9, 3. 2 Mos. 24, 17 *φλέγων* —

psittacos non coarguit modo, sed etiam perimit hominem illum gloriosum et inanem. Contra autem docuit homo Graecus, qui multos ex psittacis in cavea inclusisset, dicere: *Apsethus cum nos inclusisset coëgit dicere, Apsethus deus est.* Audita autem Libyes recantatione psittacorum omnes unanimiter congressi combusserunt Apsethum.

9. Eodem modo statuendum est de Simone, quem citius comparaveris cum Libye illo, quam cum aliquo revera deo sed qui assumpserit humanam speciem. Sin autem haec comparatio accurate quadrat et passus est magus passionem quandam Apsetho similem, experiamur redocere Simonis psittacos Christum non fuisse Simonem, qui stat, stetit, stabit, sed hominem illum fuisse ex semine, subolem mulieris, ex sanguine et concupiscentia carnali sicuti etiam reliquos natum; et haec ita sese habere procedente sermone facile evincemus. Dicit autem Simon traducens legem Moysis insipienter et malitiose. Cum Moses enim dicit: *deus ignis comburens et consumens est,* assumpto eo, quod Moses dixerat, non recte, ignem dicit principium esse omnium, non perspecto eo, quod dictum est, deum non ignem, sed ignem comburentem et consumentem esse, in quo non solum legem Mosis pervertit, sed etiam tenebricosum Heraclitum compilavit. Infinitam autem esse potestatem Simon appellat universorum principium his verbis usus: *Hic liber revelationis vocis et nominis ex intelligentia magnae potestatis infinitae. Quapropter erit obsignatus, absconditus, velatus, repositus in habitaculo, ubi radix universorum fundata est.* Habitaculum autem dicit esse hominem hunc ex sanguine natum, et inhabitare in eo infinitam illam potestatem, quam radicem esse universorum ait. Est autem infinita potestas, quae est ignis, secundum Simonem non simplex quiddam, sicuti plerique, qui dicunt simplicia esse quattuor elementa, et ignem simplicem esse censuerunt, sed ignis scilicet duplicem esse quan-

καταναλίσκων pr C: *φλέγων — καταναλίσκον* corr C 70. sqq. Cf. cum his et sequentibus Theodoret. *Haer. fab.* 1, 1 et Epitomen infra l. X, 12 p. 318. 319 ed. Ox. 72. *φλέγων — καταναλίσκων* pr C: *φλέγον — καταναλίσκων* corr C 74. *συλλαγωγῶν* C 75—79. Cf. supra p. 168, 22—25. 76. *φωνῆς — ἐπινοίας.* Cf infra c. 12 p. 240, 35. 36. 77. *τοῦ ἀπεράντου* C

τὴν φύσιν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι κρυπτόν, τὸ δέ τι φανερόν· κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τοῦ πυρός, καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Ἔστι δὲ τοῦτο, ὅπερ Ἀριστοτέλης δυνάμει καὶ ἐνεργείᾳ καλεῖ ἢ Πλάτων νοητὸν καὶ αἰσθητόν. Καὶ τὸ μὲν φανερὸν τοῦ πυρὸς πάντα ἔχει ἐν ἑαυτῷ ὅσα ἄν τις ἐπινοήσῃ ἢ καὶ λάθῃ παραλιπὼν τῶν ὁρατῶν. Τὸ δὲ κρυπτὸν πᾶν | ὅ, τι ἐννοήσει τις νοητὸν καὶ πεφευγὸς τὴν αἴσθησιν ἢ καὶ παραλείπει μὴ διανοηθείς. Καθόλου δέ ἐστιν εἰπεῖν, πάντων τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν, ὧν ἐκεῖνος κρυφίων καὶ φανερῶν προσαγορεύει, ἔστι θησαυρὸς τὸ πῦρ τὸ ὑπερουράνιον, οἱονεὶ δένδρον μέγα ὡς τὸ δι' ὀνείρου βλεπόμενον τῷ Ναβουχοδονόσορ, ἐξ οὗ πᾶσα σὰρξ τρέφεται. Καὶ τὸ μὲν φανερὸν εἶναι τοῦ πυρὸς νομίζει τὸ πρέμνον, τοὺς κλάδους, τὰ φύλλα, τὸν ἔξωθεν αὐτῷ περικείμενον φλοιόν. Ἅπαντα, φησί, ταῦτα τοῦ μεγάλου δένδρου ἀναφθέντα ἀπὸ τῆς παμφάγου τοῦ πυρὸς ἀφανίζεται φλογός. Ὁ δὲ καρπὸς τοῦ δένδρου ἐὰν ἐξεικονισθῇ καὶ τὴν ἑαυτοῦ μορφὴν ἀπολάβῃ, εἰς ἀποθήκην τίθεται, οὐκ εἰς τὸ πῦρ. Γέγονε μὲν γάρ, φησίν, ὁ καρπός, ἵνα εἰς τὴν ἀποθήκην τεθῇ, τὸ δὲ ἄχυρον, ἵνα παραδοθῇ τῷ πυρί, ὅπερ ἐστὶ πρέμνον, οὐκ αὐτοῦ χάριν ἀλλὰ τοῦ καρποῦ γεγενημένον.

10. *Καὶ τοῦτό ἐστι, φησί, τὸ γεγραμμένον ἐν τῇ γραφῇ· Ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. Εἰ δὲ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον, δέδεικται, φησίν, ὅτι ξύλον οὐκ ἄλλο τι ἀλλ' ἢ ἄνθρωπος ἐστίν. Ἀλλὰ περὶ τῆς ἐκκρίσεως αὐτοῦ καὶ διακρίσεως ἱκανῶς, φησίν, εἴρηκεν ἡ γραφή, καὶ πρὸς διδασκαλίαν ἀρκεῖ τοῖς ἐξεικονισμένοις τὸ λεχθέν· ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα σαρκὸς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. Ῥῆμα δέ, φησίν, ἐστὶ | κυρίου τὸ ἐν στόματι γεννώμενον ῥῆμα καὶ λόγος, ἄλλη δὲ χωρίον γενέσεως οὐκ ἔστι.*

11. *Τοιούτου δὲ ὄντος, ὡς δι' ὀλίγων εἰπεῖν, κατὰ τὸν*

90. *Πλάττων* C 92. *τῶν ὁρατῶν*] *τὸν ἀόρατον* C 93. *πεφευγῶς* C *ἢ*] *εἰ* C M 94. *ὄντων*] *ὅλων* C 95. *κρυφίως — φανερῶς* C M 97. *ὡς τὸ*] *ὡς* C *τὸν Ναβουχοδονόσορ* C. Cf. Da-

dam naturam, eiusque duplicis quidem naturae alterum vocat absconditum, alterum manifestum; latere autem abscondita illa in manifestis ignis et manifesta ignis ab absconditis extitisse. Est autem hoc idem, quod Aristoteles *potestate* et *efficientia* vocat, vel Plato *intelligibile* et *sensibile.* Et manifestum quidem ignis habet in se quaecunque quis percipiet aut forte praetermiserit rerum sensibilium; absconditum autem quidquid quis percipiet intelligibile et effugiens sensum; vel etiam praetermittit, quia non perspexit. Universe autem licet dicere: omnium quae extant, et sensibilium et intelligibilium, quae ille abscondita et manifesta appellat, thesaurus est ignis supercaelestis, veluti arbor vasta tanquam ea, quae per somnium apparuit Nabuchodonosori, ex qua omnis caro nutritur. Et manifestum quidem ignis arbitratur esse stirpem, ramos, folia, extrinsecus eam cingentem corticem. Omnia, inquit, haec magnae illius arboris incensa ab omnia comburenti ignis pessumdantur flamma. Sed fructus arboris ubi effigiatus erit et suam speciem nactus erit, in apotheca reponitur, non abiicitur in ignem. Nascitur enim, inquit, fructus qui in apotheca reponatur, palea autem, ut traducatur igni, quae est stirps, non sui causa, sed propter fructum nata.

10. Et hoc, ait, est illud quod scriptum est in scriptura: *Vinea enim domini Sabaoth domus Israël est et vir Iuda germen eius delectabile.* Sin homo Iuda germen delectabile, demonstratum est, inquit, arborem nihil esse aliud nisi hominem. Sed de secretione eius et discretione satis, inquit, dixit scriptura, et ad instructionem sufficit iis, qui effigiati sunt, id quod dictum est: *Omnis caro faenum et omnis gloria carnis tanquam flos faeni. Exaruit faenum et flos eius decidit; verbum autem domini manet in aeternum.* Verbum autem, inquit, domini est in ore quod natum est verbum et logus, alias autem sedes generationis non extat.

11. Cum autem, ut paucis defungamur, ex sententia Si-

niel. 4, 7—9 99. τὸν] τῶν C αὐτῷ] αὐτῶν C M 4. ἀπολάβῃ] ἀπολαύῃ C 5. 6. Cf. Matth. 3, 12; Luc. 3, 17 7. γεγεννημένον corr C 9—11. Ies. 5, 7. 15—18. 1 Petr. 1, 24. 25, ubi legitur διότι pro ὅτι et δόξα αὐτῆς pro δόξα σαρκός. 19. ἄλλῃ δὲ] ἀλλ' ᾗ C: ἄλλο δὲ sive οὗ vel ᾧ ἄλλο M 20. ὀλίγον C

Σίμωνα τοῦ πυρός, καὶ πάντων τῶν ὄντων ὁρατῶν καὶ ἀοράτων, ὡσαύτως ἐνήχων καὶ ἀνήχων, ἀριθμητῶν καὶ ἀριθμῶν, ἐν τῇ Ἀποφάσει τῇ μεγάλῃ καλεῖ τέλειον νοερόν, οὕτως ὡς ἕκαστον τῶν ἀπειράκις ἀπείρως ἐπινοηθῆναι δυναμένων καὶ λαλεῖν καὶ διανοεῖσθαι καὶ ἐνεργεῖν, οὕτως ὡς φησὶν Ἐμπεδοκλῆς·

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα [δῖον], ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
καὶ [στοργῇ] στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

12. *Πάντα γάρ, φησίν, ἐνόμιζε τὰ μέρη τοῦ πυρὸς τὰ ὁρατὰ καὶ τὰ ἀόρατα φρόνησιν ἔχειν καὶ νώματος αἶσαν. Γέγονεν οὖν ὁ κόσμος ὁ γεννητὸς ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δέ, φησί, γενέσθαι τοῦτον τὸν τρόπον. Ἓξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γεννήσεως λαβὼν ὁ γεννητὸς ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου· γεγονέναι δὲ τὰς ῥίζας φησὶ κατὰ συζυγίας ἀπὸ τοῦ πυρός, ἅστινας ῥίζας καλεῖ νοῦν καὶ ἐπίνοιαν, φωνὴν καὶ ὄνομα, λογισμὸν καὶ ἐνθύμησιν· εἶναι δὲ ἐν ταῖς ἓξ ῥίζαις ταύταις πᾶσαν ὁμοῦ τὴν ἀπέραντον δύναμιν δυνάμει, οὐκ ἐνεργείᾳ. Ἥντινα ἀπέραντον δύναμιν φησὶ τὸν ἑστῶτα, στάντα, στησόμενον. Ὃς ἐὰν μὲν ἐξεικονισθῇ ὢν ἐν ταῖς ἓξ δυνάμεσιν, ἔσται οὐσίᾳ, δυνάμει, μεγέθει, ἀπο|τελέσματι μία καὶ ἡ αὐτὴ τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει, καὶ οὐδὲν ὅλως ἔχουσα ἐνδεέστερον ἐκείνης τῆς ἀγεννήτου καὶ ἀπαραλλάκτου καὶ ἀπεράντου δυνάμεως· ἐὰν δὲ μείνῃ τῇ δυνάμει μόνον ἐν ταῖς ἓξ δυνάμεσι καὶ μὴ ἐξεικονισθῇ, ἀφανίζεται, φησί, καὶ ἀπόλλυται οὕτως ὡς ἡ δύναμις ἡ γραμματικὴ ἢ γεωμετρικὴ ἐν ἀνθρώπου ψυχῇ. Προσλαβοῦσα γὰρ ἡ δύναμις τέχνην φῶς τῶν γινομένων γίνεται, μὴ προσλαβοῦσα δὲ ἀτεχνία καὶ σκότος, καὶ ὡς ὅτε οὐκ ἦν, ἀποθνήσκοντι τῷ ἀνθρώπῳ συνδιαφθείρεται.*

13. *Τῶν δὲ ἓξ δυνάμεων τούτων καὶ τῆς ἑβδόμης τῆς μετὰ τῶν ἓξ καλεῖ τὴν πρώτην συζυγίαν νοῦν καὶ ἐπίνοιαν, οὐρανὸν καὶ γῆν· καὶ τὸν μὲν ἄρσενα ἄνωθεν ἐπιβλέπειν καὶ*

22. *ὡσαύτως*] *ὧν αὐτὸς* C M *ἀνήχων*] *ἤχων* C M *ἀριθμητῶν καὶ*] *καὶ ἀριθμητῶν* C M 23. *τέλειον νοερόν*] *τελείων νοερῶν* C M 26. sqq. vs. 321 sqq. Karsten, vs. 333 sqq. Stein. *δὲ ὕδωρ* C 27. *δῖον* om C 28. *στοργῇ* om C *δέ τε*] *ἐπὶ* C 30. *ὁρατὰ καὶ τὰ* om C M. Cf. infra p. 319, 30. 31 ed. Ox. *νώματος αἶσαν*] *γνώμην ἴσην* C M. Cf. infra l. VII, 29. p. 252, 9 ed. Ox. 33. Post

monis ita comparatus sit ignis, cumque sit omnia vel visibilia vel non visibilia, pariterque vocalia et non vocalia, numerabiliaque et numeri: in Revelatione magna appellat perfectum rationale, ita ut unumquodque eorum, quae infinitis vicibus comprehendi cogitatione possunt, et loquatur et intelligat et agat, ita ut ait Empedocles:

Terra enim terram conspicimus, aqua autem aquam,
Aethere autem aetherem divinum, sed igni ignem saevum,
Et amicitiam amicitia, discordiam autem pariter discordia tristi.

12. Omnes enim, inquit, arbitrabatur partes ignis et visibiles et invisibiles sensum habere et intelligentiae sortem. Extitit igitur mundus qui generatus est a non generato igni. Coeptus autem est fieri, inquit, in hunc modum. Sex radices easque primas principii generationis sumpsit is qui generatus est a principio ignis illius. Extitisse autem ait radices per coniugationem ab igni, quas quidem radices appellat *mentem* et *intelligentiam*, *vocem* et *nomen*, *ratiocinationem* et *cogitationem*. Esse autem in sex his radicibus omnem simul infinitam illam potestatem potestate, non effectione. Quam infinitam potestatem dicit eum qui stat, stetit, stabit. Qui cum effigiatus erit ubi erit in sex illis potestatibus, erit re, vi, magnitudine, perfectione una eademque quae est non generata et infinita potestas. Sin autem manebit sola potestate in sex potestatibus et non effigiabitur, evanescit, inquit, et perit ita ut potestas grammatica vel geometrica in animo hominis. Adepta enim potestas artem lux rerum generatarum existit, non autem adepta inertia et tenebrae, et pariter atque tum cum non erat cum moriente homine simul perit.

13. Potestatum autem harum sex et septimae illius, quae est cum his, appellat primam coniugationem mentem et intelligentiam, caelum et terram, et illud quidem, quod virilis

γεννητὸς fort. add. *γέγονεν* M. Sed obstat, quod infra p. 319, 33. 34 prorsus eadem recurrunt 35. *συζυγίας*] Infra p. 319, 35. 36 *συζυγίαν* 36. *ὄνομα*] *ἔννοιαν* Theodoretus l. l. 39. *στάντα* om C. Cf. infra p. 242, 60 et alibi *Ὃς*] *Ὡς* C M 42. *καὶ* ante *οὐδὲν* in marg. C 43. *ἀπαραλάκτου* C *καὶ* ante *ἀπεράντου* om C M. Cf. infra p. 319, 43. 46. *ἢ*] *ἡ* C M. Cf. infra p. 319, 46. 48. *ὅτε*] *ὅτι* C

προνοεῖν τῆς συζύγου, τὴν δὲ γῆν ὑποδέχεσθαι κάτω τοὺς ἀπὸ τοῦ οὐρανοῦ νοεροὺς καταφερομένους τῇ γῇ συγγενεῖς καρπούς. Διὰ τοῦτο, φησίν, ἀποβλέπων πολλάκις ὁ λόγος πρὸς τὰ ἐκ νοὸς καὶ ἐπινοίας γεγεννημένα, τουτέστιν ἐξ οὐρανοῦ καὶ γῆς, λέγει· Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ὁ δὲ λέγων ταῦτα, φησίν, ἡ ἑβδόμη δύναμίς ἐστίν, ὁ ἑστώς, στάς, στησόμενος· αὐτὸς γὰρ αἴτιος τούτων τῶν καλῶν, ὧν ἐπῄνεσε Μωσῆς καὶ εἶπε καλὰ λίαν. Ἡ δὲ φωνὴ καὶ τὸ ὄνομα, ἥλιος καὶ σελήνη. Ὁ δέ λογισμὸς καὶ ἡ ἐνθύμησις, ἀὴρ καὶ ὕδωρ. Ἐν δὲ τούτοις ἅπασιν ἐμμέμικται καὶ κέκραται, ὡς ἔφην, ἡ μεγάλη δύναμις ἡ ἀπέραντος, ὁ ἑστώς.

14. Μωσέως οὖν εἰρηκότος· Ἓξ ἡμέραις ἐν αἷς ὁ θεὸς | ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, τὸν εἰρημένον τρόπον μετοικονομήσας ὁ Σίμων ἑαυτὸν θεοποιεῖ. Ὅταν οὖν λέγωσιν, ὅτι εἰσὶ τρεῖς ἡμέραι πρὸ ἡλίου καὶ σελήνης γεγενημέναι, αἰνίσσονται νοῦν καὶ ἐπίνοιαν, τουτέστιν οὐρανὸν καὶ γῆν, καὶ τὴν ἑβδόμην δύναμιν τὴν ἀπέραντον. Αὗται γὰρ αἱ τρεῖς δυνάμεις εἰσὶ πρὸ πασῶν τῶν ἄλλων γενόμεναι. Ὅταν δὲ λέγωσι· Πρὸ πάντων τῶν αἰώνων γεννᾷ με, περὶ τῆς ἑβδόμης, φησί, δυνάμεως τὰ τοιαῦτα λέγεται εἶναι. Ἑβδόμη δὲ αὕτη δύναμις, ἥτις ἦν δύναμις ὑπάρχουσα ἐν τῇ ἀπεράντῳ δυνάμει, ἥτις γέγονε πρὸ πάντων τῶν αἰώνων, αὕτη ἐστί, φησίν, ἡ ἑβδόμη δύναμις, περὶ ἧς λέγει Μωσῆς· Καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· τουτέστι, φησί, τὸ πνεῦμα τὸ πάντα ἔχον ἐν ἑαυτῷ, εἰκὼν τῆς ἀπεράντου δυνάμεως, περὶ ἧς ὁ Σίμων λέγει· Εἰκὼν ἐξ ἀφθάρτου μορφῆς, κοσμοῦσα μόνη πάντα. Αὕτη γὰρ ἡ δύναμις, ἡ ἐπιφερομένη ἐπάνω τοῦ ὕδατος ἐξ ἀφθάρτου, φησί, γεγενημένη μορφῆς κοσμεῖ μόνη πάντα. Τοιαύτης οὖν τινὸς καὶ παραπλησίου τῆς κατασκευῆς τοῦ κόσμου γενομένης παρ᾽ αὐτοῖς, ἔπλασε, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς λαβών· ἔπλασε δὲ οὐχ ἁπλοῦν, ἀλλὰ διπλοῦν κατ᾽ εἰκόνα καὶ

53. ὑποδέχεται C 56. ἐπιννοίας C 57—59. Jes. 1, 2. 60. ὁ ante ἑστώς om C M 61. Cf. 1 Mos. 1, 31 65—67. 1 Mos. 2, 2 καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ,

sexus sit, desuper adspicere et curam gerere comparis, terram autem recipere infra qui a caelo rationales deferantur terrae cognatos fructus. Hanc ab causam, inquit, despectans saepenumero logus ad ea, quae nascuntur ex mente et intelligentia, hoc est ex caelo et terra, dicit: *Audite caeli et auribus percipe terra, quoniam dominus locutus est: Filios generavi et exaltavi, ipsi autem spreverunt me.* Qui autem haec dicit, ait, septima potestas est, is qui stat, stetit, stabit; ipse enim auctor horum bonorum, quae laudavit Moses et dixit valde bona. Vox autem et nomen sol et luna. Ratiocinatio autem et cogitatio aër et aqua. In his autem omnibus immixta et temperata est, ut dixi, magna illa potestas infinita, stans.

14. Cum Moses igitur dixerit: *Sex diebus in quibus deus fecit caelum et terram et septimo die requievit ab omnibus operibus suis*, eo quo diximus modo haec Simon aliter dispensando semet deificat. Quando igitur dicunt (Simoniani) tres esse dies ante solem et lunam natos, indigitant mentem et intelligentiam, hoc est caelum et terram, et septimam potestatem infinitam illam. Hae enim tres potestates sunt ante reliquas omnes natae. Quando autem dicunt: *Ante omnia saecula generat me,* de septima, inquit, potestate haec dicuntur valere. Septima autem haec potestas, quae erat potestas existens in infinita illa potestate, quae quidem extitit ante omnia saecula, haec, inquit, est septima illa potestas, de qua dicit Moses: *Et spiritus dei ferebatur super aquas*, hoc est, inquit, spiritus habens in se omnia, imago infinitae illius potestatis, de qua Simon dicit: *Imago ex incorrupta forma, sola ordinans omnia.* Haec enim potestas, quae fertur super aquas, ex incorrupta, inquit, nata forma sola ordinat omnia. Cum igitur talis quaedam et consimilis fabrica mundi illis extiterit, finxit, inquit, deus hominem limo sumpto de terra, finxit autem non simplicem sed duplicem ad imaginem et similitudinem. Imago autem est spiritus qui fertur super aquas, qui ubi non effigiatus erit, cum mundo peribit, cum potestate tantum maneat et

ὧν ἐποίησε, coll. 2 Mos. 20, 11 *Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.* 73. 74. Fort. e Proverbb. Salom. 8, 23—25. 77. 78. 1 Mos. 1, 2 79. *τὸ πάντα ἔχον*] *τῷ πάντα ἔχειν* C 85—87. Cf. 2 Mos. 2, 7 coll. 1 Mos. 1, 26. 27.

καθ᾽ ὁμοίωσιν. Εἰκὼν δέ ἐστι τὸ πνεῦμα τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος, ὃ ἐὰν μὴ ἐξεικονισθῇ, μετὰ τοῦ κόσμου ἀπολεῖται, δυνάμει μεῖναν μόνον καὶ μὴ ἐνεργείᾳ γενόμενον. Τοῦτο ἐστί, φησί, τό εἰρημένον· Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Ἐὰν δὲ ἐξεικονισθῇ καὶ γένηται ἀπὸ στιγμῆς ἀμερίστου, ὡς γέγραπται ἐν τῇ | Ἀποφάσει, τὸ μικρὸν μέγα γενήσεται. Τὸ δὲ μέγα ἔσται εἰς τὸν ἄπειρον αἰῶνα καὶ ἀπαράλλακτον, τὸ μηκέτι γινόμενον. Πῶς οὖν καὶ τίνα τρόπον, φησί, πλάσσει τὸν ἄνθρωπον ὁ θεός; Ἐν παραδείσῳ, οὕτως γὰρ αὐτῷ δοκεῖ. Ἔστω, φησί, παράδεισος ἡ μήτρα, καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς ἡ γραφὴ διδάξει ὅτε λέγει· Ἐγώ εἰμι ὁ πλάσσων σε ἐν μήτρᾳ μητρός σου. Καὶ τοῦτο γὰρ οὕτω θέλει γεγράφθαι. Τὸν παράδεισον, φησίν, ἀλληγορῶν ὁ Μωσῆς τὴν μήτραν εἴρηκεν, εἴπερ δεῖ τῷ λόγῳ πιστεύειν. Εἰ δὲ πλάσσει ὁ θεὸς ἐν μήτρᾳ μητρὸς τὸν ἄνθρωπον, τουτέστιν ἐν παραδείσῳ, ὡς ἔφην, ἔστω παράδεισος ἡ μήτρα, Ἐδὲμ δὲ τὸ χωρίον, ποταμὸς ἐκπορευόμενος ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον ὁ ὀμφαλός. Οὗτος, φησίν, ἀφορίζεται ὁ ὀμφαλὸς εἰς τέσσαρας ἀρχάς, ἑκατέρωθεν γὰρ τοῦ ὀμφαλοῦ δύο εἰσίν ἀρτηρίαι παρατεταμέναι, ὀχετοὶ πνεύματος, καὶ δύο φλέβες, ὀχετοὶ αἵματος. Ἐπειδὰν δέ, φησίν, ἀπὸ τοῦ Ἐδὲμ χωρίου ἐκπορευόμενος ὁ ὀμφαλὸς ἐμφυῇ τῷ γενομένῳ κατὰ τὸ ἐπιγάστριον, ὃν κοινῶς πάντες προσαγορεύουσιν ὀμφαλόν .... αἱ δὲ δύο φλέβες, δι᾽ ὧν ῥεῖ καὶ φέρεται ἀπὸ τοῦ Ἐδὲμ τοῦ χωρίου τὸ αἷμα κατὰ τὰς καλουμένας πύλας τοῦ ἥπατος, αἵτινες τὸ γεννώμενον τρέφουσιν· αἱ δὲ ἀρτηρίαι, ἃς ἔφημεν ὀχετοὺς εἶναι πνεύματος, ἑκατέρωθεν περιλαβοῦσαι τὴν κύστιν κατὰ τὸ πλατὺ ὀστοῦν, πρὸς τὴν μεγάλην συνάπτουσιν ἀρτηρίαν, τὴν κατὰ ῥάχιν καλουμένην ἀορτήν, καὶ οὕτως διὰ τῶν παραθύρων ἐπὶ τὴν καρδίαν ὁδεῦσαν τὸ πνεῦμα κίνησιν ἐργάζεται τῶν ἐμβρύων. Πλαττόμενον γὰρ τὸ βρέφος ἐν τῷ παραδείσῳ οὔτε τῷ στόματι τροφὴν | λαμβάνει, οὔτε ταῖς ῥισὶν ἀναπνέει· ἐν ὑγροῖς γὰρ ὑπάρχοντι αὐτῷ παρὰ πόδας ἦν ὁ θάνατος εἰ ἀνέπνευσεν· ἐπεσπάσατο γὰρ ἂν ἀπὸ τῶν ὑγρῶν καὶ ἐφθάρη. Ἀλλὰ γὰρ ὅλον περιέσφιγκται τῷ καλουμένῳ χιτῶνι ἀμνίῳ, τρέφεται δὲ δι᾽ ὀμφαλοῦ καὶ διὰ τῆς κατὰ ῥάχιν, ὡς ἔφην, τὴν τοῦ πνεύματος οὐσίαν λαμβάνει.

87. τοῦ ἐπιφερομένου C 90. 91. 1 Cor. 11, 32. 93. 94.

non efficientia existat. Hoc, inquit, est illud quod dictum est: *Ne una cum mundo condemnemur.* Ubi autem effigiabitur et existet a puncto indiviso, sicuti scriptum est in Revelatione, parvum evadet magnum. Magnum autem illud erit in omne aevum et immutatum, utpote quod amplius non fiat. Qui igitur et quomodo, inquit, fingit hominem deus? In paradiso, sic enim ei placet. Esto, inquit, paradisus uterus, idque esse verum scriptura docebit, quando dicit: *Ego sum qui formo te in utero matris tuae.* Etenim hoc ita scriptum vult. Paradisum, inquit, per allegoriam Moses uterum dixit, siquidem licet logo credere. Si vero format deus in utero matris hominem, hoc est in paradiso, ut dicebam, esto paradisus uterus, Edem autem regio illa, fluvius egrediens ex Edem ad irrigandum paradisum umbilicus. Hic, inquit, dividitur umbilicus in quattuor capita. Ab utraque enim parte umbilici duae sunt arteriae iuxta tensae, canales spiritus, et duae venae, canales sanguinis. Ubi autem, inquit, ex Edem regione egrediens umbilicus increscet nascenti circa epigastrium, quem communi usu universi appellant umbilicum . . . . duae autem illae venae, per quas fluit et fertur ab Edem regione sanguis per portas, quae dicuntur hepatis, quae nascens alunt; arteriae autem illae, quas diximus canales esse sanguinis, ab utraque parte amplexae vesicam circa pelvim magnam arteriam contingunt, hoc est quae per dorsum vocatur aortam, et ita per ostia in cor permeans spiritus motum efficit uterinorum. Dum enim formatur infans in paradiso, neque ore alimentum accipit, neque naribus respirat; in humidis enim versanti erat ei ante pedes mors si respiraret, duxisset enim ex humidis et peremtus esset. Verumenimvero circumvolutus est totus tunica, quae dicitur amnium, alitur autem per umbilicum, et per dorsalem, ut dicebam, arteriam spiritus essentiam accipit.

ἀπαράλακτον C 95. *πλάσεις* C 97. 98. Fort. cfr. Ierem. 1, 5: *Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ.* 98. *ὁ πλάσων* C 4. sqq. Cf. 1 Mos. 2, 10 *Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς.* 4. *ποτίζει* C 7. *παρατεταγμέναι* C M 8—10. *Ἔπειτα — ἐμφύεται* signo lacunae omisso susp. Christ. Petersen, coll. Galeno *in Hippocr. De Alimento* p. 290 *ed. Chart.* VI. p. 387 *Kühn.* XV. 10. Signavimus lacunam hoc potius loco quam post *ἐπιγάστριον*, ubi M 14. *περιλαβοῦσαι*] *μὲν λαβοῦσαι* C: *συλλαβοῦσαι* M: *μεταλαβοῦσαι* R. Scottus.

15. Ὁ οὖν ποταμός, φησίν, ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ εἰς τέσσαρας ἀφορίζεται ἀρχάς, ὀχετοὺς τέσσαρας, τουτέστιν εἰς τέσσαρας αἰσθήσεις τοῦ γεννωμένου, ὅρασιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν καὶ ἁφήν. Ταύτας γὰρ ἔχει μόνας τὰς αἰσθήσεις ἐν τῷ παραδείσῳ πλασσόμενον τὸ παιδίον. Οὗτος, φησίν, ἐστὶν ὁ νόμος, ὃν ἔθηκε Μωσῆς, καὶ πρὸς τοῦτον αὐτὸν τὸν νόμον γέγραπται τῶν βιβλίων ἕκαστον, ὡς αἱ ἐπιγραφαὶ δηλοῦσι. Τὸ πρῶτον βιβλίον Γένεσις· ἤρκει, φησί,, πρὸς γνῶσιν τῶν ὅλων ἡ ἐπιγραφὴ τοῦ βιβλίου. Αὕτη γάρ, φησίν, ἐστὶν ἡ Γένεσις ὅρασις, εἰς ἣν ἀφορίζεται ποταμοῦ σχίσις ἡ μία. Ἐθεάθη γὰρ ὁ κόσμος ἐν ὁράσει. Ἡ ἐπιγραφὴ βιβλίου δευτέρου Ἔξοδος. Ἔδει γὰρ τὸ γεννηθέν, τὴν Ἐρυθρὰν διοδεῦσαν θάλασσαν, ἐλθεῖν ἐπί τὴν ἔρημον (Ἐρυθρὰν δὲ λέγει, φασί, τὸ αἷμα), καὶ γεύσασθαι πικρὸν ὕδωρ. Πικρὸν γάρ, φησίν, ἐστὶ τὸ ὕδωρ τὸ μετὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὅπερ ἐστὶν ὁδὸς τῆς κατὰ τὸν βίον γνώσεως τῶν ἐπιπόνων ὁδευομένη καὶ πικρῶν. Στραφὲν δὲ ὑπὸ Μωσέως, τουτέστι τοῦ λόγου, τὸ πικρὸν ἐκεῖνο γίνεται γλυκύ. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κοινῇ πάντων ἐστὶν ἀκοῦσαι κατὰ τοὺς ποιητὰς λεγόντων·

Ῥίζῃ μὲν μέλαν [ἔσκε], γάλακτι δὲ εἴκελον ἄνθος·|
μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.

16. Ἀρκεῖ, φησί, τὸ λεχθὲν ὑπὸ τῶν ἐθνῶν πρὸς ἐπίγνωσιν τῶν ὅλων τοῖς ἔχουσιν ἀκοὰς [τῆς ἀ]κοῆς· τούτου γάρ, φησίν, ὁ γευσάμενος τοῦ καρποῦ ὑπὸ τῆς Κίρκης οὐκ ἀπεθηριώθη μόνος, ἀλλὰ καὶ τοὺς ἤδη τεθηριωμένους τῇ δυνάμει χρώμενος τοῦ τοιούτου καρποῦ εἰς τὸν πρῶτον ἐκεῖνον τὸν ἴδιον αὐτῶν ἀνέπλασε καὶ ἀνετύπωσε καὶ ἀνεκαλέσατο χαρακτῆρα. Πιστὸς δὲ ἀνὴρ καὶ ἀγαπώμενος ὑπὸ τῆς φαρμακίδος ἐκείνης διὰ τὸν γαλακτώδη καὶ θεῖον ἐκεῖνον καρπόν, φησίν, εὑρίσκεται. Λευϊτικὸν ὁμοίως τὸ τρίτον βιβλίον, ὅπερ ἐστὶν ἡ ὄσφρησις ἢ ἀνοπνοή. Θυσιῶν γάρ ἐστι καὶ προσφορῶν ὅλον ἐκεῖνο τὸ βιβλίον. Ὅπου δέ ἐστι θυσία, ὀσμή τις εὐωδίας ἀπὸ τῆς θυσίας διὰ τῶν θυμιαμάτων γίνεται· περὶ ἣν εὐωδίαν ὄσφρη-

27. Delendum ἀκοήν, ut ex sequentibus liquido apparet. M; quod secus est. 31. αἱ ante ἐπιγραφαὶ om C M 35. Ἡ ἐπιγραφὴ] Αὖ γραφὴ C: Αὖ ἐπιγραφὴ susp. M 36. sqq. Cf. cum his 2 Mos. 15,22—26

cebat docebat exhortari inter se Pythagoreos colligare fasciculum vestis stragulae, hoc est paratos esse ad mortem. *Ignem gladio noli scrutari,* iratum hominem dicendo noli irritare; igni enim similis est iratus, gladio autem sermo. *Verriculum noli supergredi,* noli parvam rem despicere. *Palmam in aedibus noli plantare,* aemulationem in aedibus noli excitare; pugnae enim et discordiae est palma signum. *A sedili noli edere,* illiberalem artem noli tractare, ne servias corpori quod est caducum, sed confice tibi victum a litteris; poteris enim et alere corpus et animam efficere meliorem. *A solido pane noli mordere,* opes tuas ne minueris, sed ab reditu vive, custodito autem opes tuas tanquam panem illibatum. *Fabis noli vesci,* regimen urbis ne acceperis; fabis enim sortiebantur magistratus illo tempore.

28. Haec igitur et his similia Pythagorei docent, quos imitati haeretici magna quaedam quibusdam videntur dicere. Conditorem autem esse universorum quae facta sunt dicit Pythagorea doctrina magnum geometram et arithmetam solem, eumque fixum esse in universo mundo veluti in corporibus animam, ut ait Plato. Ignis enim est sol ut anima, corpus autem terra. Seorsum autem ab igne nihil unquam cerni posset neque comprehendi sine aliquo solido, solidum autem nil sine terra: unde ex igne et terra, aëre in medio collocato, deus universi condidit corpus. Numerat autem, inquit, et metitur mundum sol in hunc fere modum. Mundus visibilis est unus, de quo nunc loquimur. Divisit autem eum tanquam arithmeticus quidam et geometra in partes duodecim. Suntque his partibus nomina: Aries, Taurus, Gemini, Cancer, Leo, Virgo, Libra, Scorpius, Sagittarius, Capricornus, Aquarius, Pisces. Rursus duodecim partium quamque dividit in partes triginta, quae quidem sunt dies mensis. Rursus triginta partium quam-

Roeperus: *διαφθορᾶς* C M   92. Cf. Plutarch *Quaest. Rom.* 112   94. *τῶν βίων ἀπόλογον* C   95. 96. Suidas s. v. *Ἀναξίμανδρος: ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν*   99. 1. *ἐκείνων τῶν χρόνων* C   4. *γενομένων*] *λεγομένων* C M   7. *ἥλιος ὡς* Roeperus: *ἥλιος* C: *ἥλιος καὶ* s. *ἢ* susp. M   8. *σῶμα δὲ γῆ* Roeperus: *σῶμα σελήνη* C M   *χωρισθέντων* C   15. 16. *δίδυμος* C   19. *αὖ τῶν*] *αὐτῶν τῶν* C

εἰς λεπτὰ ἑξήκοντα καὶ τῶν λεπτῶν λεπτὰ καὶ ἔτι λεπτότερα. Καὶ τοῦτο ἀεὶ ποιῶν καὶ μὴ παυόμενος, ἀλλ' ἀθροίζων ἐκ τούτων τῶν μοιρῶν τῶν διῃρημένων καὶ ποιῶν ἐνιαυτόν, καὶ αὖθις ἀναλύων καὶ διαιρῶν τὸ συγκείμενον τὸν μέγαν ἐνιαυτὸν ἀπεργάζεται κόσμου.

29. Τοιαύτη τις, ὡς ἐν κεφαλαίοις εἰπεῖν ἐπελθόντα, ἡ Πυθαγόρου καὶ Πλάτωνος συνέστηκε δόξα, ἀφ' ἧς Οὐαλεντῖνος, οὐκ ἀπὸ τῶν εὐαγγελίων τὴν αἵρεσιν τὴν ἑαυτοῦ συναγαγών, ὡς ἐπιδείξομεν, δικαίως Πυθαγορικὸς καὶ Πλατωνικός, οὐ Χριστιανὸς λογισθείη. Οὐαλεντῖνος τοίνυν καὶ Ἡρακλέων καὶ Πτολεμαῖος καὶ πᾶσα ἡ τούτων σχολή, οἱ Πυθαγόρου καὶ Πλάτωνος μαθηταί, ἀκολουθήσαντες τοῖς καθηγησαμένοις, ἀριθμητικὴν τὴν | διδασκαλίαν τὴν ἑαυτῶν κατεβάλοντο. Καὶ γὰρ τούτων ἔστιν ἀρχὴ τῶν πάντων μονὰς ἀγέννητος, ἄφθαρτος, ἀκατάληπτος, ἀπερινόητος, γόνιμος καὶ πάντων τῆς γενέσεως αἰτία τῶν γενομένων· καλεῖται δὲ ὑπ' αὐτῶν ἡ προειρημένη μονὰς πατήρ. Διαφορὰ δέ τις εὑρίσκεται πολλὴ παρ' αὐτοῖς· οἱ μὲν γὰρ αὐτῶν, ἵν' ᾖ παντάπασι καθαρὸν τὸ δόγμα τοῦ Οὐαλεντίνου Πυθαγορικόν, ἄθηλυν καὶ ἄζυγον καὶ μόνον τὸν πατέρα νομίζουσιν εἶναι· οἱ δὲ ἀδύνατον νομίζοντες δύνασθαι ἐξ ἄρρενος μόνου γένεσιν ὅλως τῶν γεγενημένων γενέσθαι τινός, καὶ τῷ πατρὶ τῶν ὅλων, ἵνα γένηται πατήρ, σιγὴν ἐξ ἀνάγκης συναριθμοῦσι τὴν σύζυγον. Ἀλλὰ περὶ μὲν σιγῆς, πότερόν ποτε σύζυγός ἐστιν ἢ οὐκ ἔστιν, αὐτοὶ πρὸς αὐτοῖς τοῦτον ἐχέτωσαν τὸν ἀγῶνα. Τὰ δὲ νῦν αὐτοὶ ἡμεῖς φυλάττοντες τὴν Πυθαγόρειον ἀρχήν, μίαν οὖσαν καὶ ἄζυγον, ἄθηλυν, ἀπροσδεῆ, μνημονεύσαντες ὡς ἐκεῖνοι διδάσκουσιν ἐροῦμεν. Ἦν ὅλως, φησί, γεννητὸν οὐδέν, πατὴρ δὲ ἦν μόνος ἀγέννητος, οὐ τόπον ἔχων, οὐ χρόνον, οὐ σύμβουλον, οὐκ ἄλλην τινὰ κατ' οὐδένα τῶν τρόπων νοηθῆναι δυναμένην οὐσίαν· ἀλλὰ ἦν μόνος, ἠρεμῶν, ὡς λέγουσι, καὶ ἀναπαυόμενος αὐτὸς

21. 22. ἐκ τούτων τῶν] ἐκ τοῦ τῶν C: ἐκ τούτων M 23. 24. ἐνιαυτὸν — κόσμου Roeperus: ἀθάνατον — κόσμον C M 33. τούτοις? 33. Cum his et quae sequuntur cf. Epitome infra l. X, c. 13. p. 319. sq. ed. Ox. et Iren. *c. haer.* I, 1 sqq. 36. sqq. Cf. Iren. I, 11, 5. p. 56 ed. *Massuet:* καὶ γὰρ περὶ αὐτοῦ τοῦ βυθοῦ (qui idem est ac πατήρ, cf. infra p. 319) πολλαὶ καὶ διάφοροι γνῶμαι παρ' αὐτοῖς· οἱ μὲν γὰρ αὐτὸν ἄζυγον λέγουσιν, μήτε ἄρρενα, μήτε θήλειαν, μήτε ὅλως ὄντα τι·

que partem dividit in minuta sexaginta et minutorum minuta et vel minima. Et hoc semper faciens nec intermittens unquam, sed coacervans ex divisis his partibus et conficiens annum et rursus resolvens et dividens compositum magnum annum efficit mundi.

29. Talis quaedam, si quidem semel eo delapsi res summas attigimus, Pythagorae et Platonis constat ratio, a qua Valentinus, non ex evangeliis haeresin suam concinnans, ut demonstrabimus, iure suo Pythagoreus et Platonicus, non Christianus existimabitur. Valentinus igitur et Heracleo et Ptolemaeus et universa horum schola, Pythagorae et Platonis discipuli, secuti duces suos arithmeticam pro fundamento disciplinae suae posuerunt. Etenim horum est principium rerum universarum monas non-generata, non intercidens, non comprehensa, cogitatione non percipienda, genitrix omniumque quae extant causa existentiae. Vocatur autem ab iis quam diximus monas Pater. Diversitas autem quaedam satis magna repperitur apud eos. Alii enim eorum, ut sit prorsus purum Valentini dogma Pythagoreum, infemineum et iniugum et solum Patrem statuunt esse, alii autem arbitrati fieri non posse, ut ex solo masculo quodam generatio omnino generatorum extiterit, et Patri universorum, quo existat pater, Sigen necessario adnumerant coniugem. Sed de Sige utrum tandem coniux sit necne, ipsi inter se hoc habento certamen. Nunc vero ipsi nos custodientes Pythagoreum principium, quod unum est et iniugum, infemineum, inegenum, commemorantes ut illi docent ostendemus. Erat omnino, inquit, generatum nihil, Pater autem erat solus ingeneratus, non locum habens, non tempus, non consiliatorem, non aliam ullam quae aliqua ratione percipi cogitatione posset essentiam. Sed erat solus, solitarius

ἄλλοι δὲ ἀρρενόθηλυν αὐτὸν λέγουσιν εἶναι, ἑρμαφροδίτου φύσιν αὐτῷ περιάπτοντες. Σιγὴν δὲ πάλιν ἄλλοι συνευνέτιν αὐτῷ προσάπτουσιν, ἵνα γένεται πρώτη συζυγία. 38. *ἄθηλυν* Roeperus: *ἄθηλυ* C M 43. *πρὸς αὐτοῖς*] *πρὸς ἑαυτοῦς* M: an *παρ᾽ αὐτοῖς?* 44. *αὐτοὶ*] *αὐτοῖς* C 45. *οὖσαν*] *οὐσίαν* C M *ἄθηλυ* C M 46. 47. *ἐροῦμεν. Ἦν ὅλως*] *ἐροῦμέν τε ὅλως* C: *ἐροῦμεν. Ὅλως* M 47. *γενητὸν* C 50. 51. *ἠρεμῶν — μόνος*] Iren. 1, 1: *ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ πολλῇ γεγονέναι κ. τ. λ.*

ἐν ἑαυτῷ μόνος. Ἐπεὶ δὲ ἦν γόνιμος, ἔδοξεν αὐτῷ ποτὲ τὸ κάλλιστον καὶ τελεώτατον, ὃ εἶχεν ἐν αὐτῷ, γεννῆσαι καὶ προαγαγεῖν· φιλέρημος γὰρ οὐκ ἦν. Ἀγάπη γάρ, φησίν, ἦν ὅλος, ἡ δὲ ἀγάπη οὐκ ἔστιν ἀγάπη, ἐὰν μὴ ᾖ τὸ ἀγαπώμενον. Προέβαλεν οὖν καὶ ἐγέννησεν αὐτὸς ὁ πατήρ, ὥσπερ ἦν μόνος, νοῦν καὶ ἀλήθειαν, τουτέστι δυάδα, ἥτις κυρία καὶ ἀρχὴ γέγονε | καὶ μήτηρ πάντων τῶν ἐντὸς πληρώματος καταριθμουμένων αἰώνων ὑπ᾽ αὐτῶν. Προβληθεὶς δὲ ὁ νοῦς καὶ ἡ ἀλήθεια ἀπὸ τοῦ πατρός, ἀπὸ γονίμου γόνιμος, προέβαλε καὶ αὐτὸς λόγον καὶ ζωήν, τὸν πατέρα μιμούμενος· ὁ δὲ λόγος καὶ ἡ ζωὴ προβάλλουσιν ἄνθρωπον καὶ ἐκκλησίαν. Ὁ δὲ νοῦς καὶ ἡ ἀλήθεια, ἐπεὶ εἶδον [τοῦ λόγου καὶ τῆς ζωῆς] τὰ ἴδια γεννήματα γόνιμα γεγεννημένα, ηὐχαρίστησαν τῷ πατρὶ τῶν ὅλων καὶ προσφέρουσιν αὐτῷ τέλειον ἀριθμόν, αἰῶνας δέκα. Τούτου γάρ, φησί, τελειότερον ἀριθμοῦ ὁ νοῦς καὶ ἡ ἀλήθεια τῷ πατρὶ προσενεγκεῖν οὐκ ἠδυνήθησαν. Ἔδει γὰρ τέλειον ὄντα τὸν πατέρα ἀριθμῷ δοξάζεσθαι τελείῳ, τέλειος δέ ἐστιν ὁ δέκα, ὅτι πρῶτος τῶν κατὰ πλῆθος γενομένων οὗτος ἐστὶ τέλειος. Τελειότερος δὲ ὁ πατήρ, ὅτι ἀγέννητος ὢν μόνος διὰ πρώτης τῆς μιᾶς συζυγίας τοῦ νοῦ καὶ τῆς ἀληθείας πάσας τὰς τῶν γενομένων προβαλεῖν εὐπόρησε ῥίζας.

30. Ἰδὼν οὖν καὶ αὐτὸς ὁ λόγος καὶ ἡ ζωή, ὅτι ὁ νοῦς καὶ ἡ ἀλήθεια δεδόξακαν τὸν πατέρα τῶν ὅλων ἐν ἀριθμῷ τελείῳ, δοξάσαι καὶ αὐτὸς ὁ λόγος μετὰ τῆς ζωῆς ἠθέλησε τὸν ἑαυτοῦ πατέρα καὶ τὴν μητέρα, τὸν νοῦν καὶ τὴν ἀλήθειαν. Ἐπεὶ δὲ γεννητὸς ἦν ὁ νοῦς καὶ ἡ ἀλήθεια καὶ οὐκ εἶχε τὸ πατρικὸν τέλειον τὴν ἀγεννησίαν, οὐκέτι τελείῳ ἀριθμῷ ὁ λόγος καὶ ἡ ζωὴ δοξάζουσι τὸν ἑαυτῶν πατέρα τὸν νοῦν, ἀλλὰ γὰρ ἀτελεῖ· δώδεκα γὰρ αἰῶνας προσφέρουσιν ὁ λόγος καὶ ἡ ζωὴ τῷ νοῒ καὶ τῇ ἀληθείᾳ. Αὗται γὰρ πρῶται κατὰ Οὐαλεντῖνον ῥίζαι τῶν αἰώνων γεγόνασι, νοῦς καὶ ἀλήθεια, λόγος καὶ ζωή, ἄνθρωπος καὶ ἐκκλησία, δέκα δὲ οἱ τοῦ | νοὸς καὶ τῆς ἀληθείας, δύο καὶ δέκα δὲ οἱ τοῦ λόγου καὶ τῆς ζωῆς, εἴκοσι καὶ ὀκτὼ οἱ πάντες· οἷς καλοῦσιν ὀνόματα ταῦτα· βύθιος καὶ μῖξις, ἀγήρατος καὶ

52. ὃ] ὃν C 53. ὅλως pr C 54. ᾖ] ἦν C 55. ἐγέ-

ut dicunt, et requiescens ipse in semet ipso solus. Quoniam autem erat genitalis, placuit ei aliquando pulcherrimum et perfectissimum, quod habebat in ipso, generare et producere; amans enim solitudinis non erat. Amor enim, inquit, erat totus, amor autem non est amor, nisi sit quod ametur. Proiecit igitur et generavit ipse Pater, uti erat solus, Mentem et Veritatem, hoc est dyadem, quae quidem domina et principium extitit et mater omnium qui intus in Pleromate ab iis computantur aeonum. Proiecta autem Mens et Veritas a Patre, a genitali genitalis, proiecit et ipsa Logum et Vitam Patrem imitata. Logus autem et Vita proiiciunt Hominem et Ecclesiam. Mens autem et Veritas cum viderent suam prolem genitalem genitam esse, grates egerunt Patri omnium et offerunt ei perfectum numerum, aeones decem. Hoc enim, inquit, numero perfectiorem Mens et Veritas Patri offerre non potuerunt. Oportebat enim Patrem, qui perfectus esset, numero celebrari perfecto, perfectus autem est denarius, quia primus eorum qui pluraliter confiunt hic est perfectus. Perfectior autem Pater, quia ingeneratus cum sit solus, per primam unam coniugationem Mentis et Veritatis omnes eorum quae existunt proiicere valuit radices.

30. Cum videret igitur et ipse Logus et Vita Mentem et Veritatem celebravisse Patrem omnium numero perfecto, celebrare et ipse Logus cum Vita voluit suum patrem et matrem Mentem et Veritatem. Quoniam autem generata erat Mens et Veritas, neque habebat paternum perfectum, illud non-generatum esse, non iam perfecto numero Logus et Vita celebrant suum patrem Mentem, verum imperfecto; duodecim aeones enim offerunt Logus et Vita Menti et Veritati. Hae enim primae secundum Valentinum aeonum radices extiterunt: Mens et Veritas, Logus et Vita, Homo et Ecclesia, decem autem Mentis et Veritatis, duodecim autem Logi et Vitae, viginti et octo cuncti. Quibus ponuntur nomina haece: Bythius et Mixis, Ageratus et Heno-

νησεν C *αὐτὸς*] *αὐτὴν* C 57. 58. *κατααριθμουμένων* C 62. 63. Uncinis saepta interpretatio vv. *τὰ ἴδια* esse videntur 77. *γενητὸς* C 78. *τὸν πατρικὸν* C 79. *τῶν ἑαυτῶν* C 80. *ἀτελεῖ*] *ἀνατελεῖ* C M *αἰώνων* C M *προφέρουσιν* C M 83. *δέκα*] *δώδεκα* C M 86. *βύθιος*] *βυθὸς* C M. Cf. Iren. *c. haer.* I, 1, 2. *ἀγήρατος*] *ἀκήρατος* C M. Cf. Iren. l. l.

ἕνωσις, αὐτοφυὴς καὶ ἡδονή, ἀκίνητος καὶ σύγκρασις, μονογενὴς καὶ μακαρία. Οὗτοι οἱ δέκα αἰῶνες, οὓς τινὲς μὲν ὑπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας λέγουσι, τινὲς δὲ ὑπὸ τοῦ λόγου καὶ τῆς ζωῆς. Ἕτεροι δὲ τοὺς δώδεκα ὑπὸ τοῦ ἀνθρώπου καὶ τῆς ἐκκλησίας, ἕτεροι δὲ ὑπὸ τοῦ λόγου καὶ τῆς ζωῆς, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· παράκλητος καὶ πίστις, πατρικὸς καὶ ἐλπίς, μητρικὸς καὶ ἀγάπη, ἀείνους καὶ σύνεσις, ἐκκλησιαστικὸς καὶ μακαριότης, θελητὸς καὶ σοφία. Ἀπὸ δὲ τῶν δεκαδύο ὁ δωδέκατος καὶ νεώτατος πάντων τῶν εἰκοσιοκτὼ αἰώνων, θῆλυς ὢν καὶ καλούμενος σοφία, κατενόησε τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν γεγεννηκότων αἰώνων καὶ ἀνέδραμεν εἰς τὸ βάθος τὸ τοῦ πατρός, καὶ ἐνόησεν, ὅτι οἱ μὲν ἄλλοι πάντες αἰῶνες γεννητοὶ ὑπάρχοντες κατὰ συζυγίαν γεννῶσιν, ὁ δὲ πατὴρ μόνος ἄζυγος ἐγέννησεν. Ἠθέλησε μιμήσασθαι τὸν πατέρα καὶ γεννῆσαι καθ' ἑαυτὴν δίχα τοῦ συζύγου, ἵνα μηδὲν ᾖ ἔργον ὑποδεέστερον τοῦ πατρὸς εἰργασμένη, ἀγνοοῦσα ὅτι ὁ μὲν ἀγέννητος, ὑπάρχων ἀρχὴ τῶν ὅλων καὶ ῥίζα καὶ βάθος καὶ βυθός, δυνατῶς ἔχει γεννῆσαι μόνος, γεννητὴ δὲ οὖσα ἡ σοφία καὶ μετὰ πλείονας γενομένη, τὴν τοῦ ἀγεννήτου δύναμιν οὐ δύναται ἔχειν. Ἐν μὲν γὰρ τῷ ἀγεννήτῳ, φησίν, ἔστι πάντα ὁμοῦ, ἐν δὲ τοῖς γεννητοῖς τὸ μὲν θῆλυ ἔστιν οὐσίας προβλητικόν, τὸ δὲ ἄρρεν μορφωτικὸν τῆς ὑπὸ τοῦ θήλεως προβαλλομένης οὐσίας. Προέβαλεν οὖν ἡ σοφία τοῦτο μόνον ὅπερ | ἠδύνατο, οὐσίαν ἄμορφον καὶ ἀκατασκεύαστον. Καὶ τοῦτο ἐστί, φησίν, ὃ λέγει Μωϋσῆς· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. Αὕτη ἐστί, φησίν, ἡ ἀγαθή, ἡ ἐπουράνιος Ἱερουσαλήμ, εἰς ἣν ἐπηγγείλατο ὁ θεὸς εἰσαγαγεῖν τοὺς υἱοὺς Ἰσραήλ, λέγων· Εἰσάξω ὑμᾶς εἰς γῆν ἀγαθὴν ῥέουσαν μέλι καὶ γάλα.

31. Γενομένης οὖν ἐντὸς πληρώματος ἀγνοίας κατὰ τὴν σοφίαν καὶ ἀμορφίας κατὰ τὸ γέννημα τῆς σοφίας, θό-

87. 88. σύγκρασις] σύγκρισις C M. Cf. Iren. l. l. 88. οἱ δέκα] δώδεκα C M 89. 90. τινὲς δὲ — ζωῆς] Cf. Iren. l. l.: τὸν μὲν λόγον καὶ τὴν ζωὴν μετὰ τὸ προβαλέσθαι τὸν ἄνθρωπον καὶ τὴν ἐκκλησίαν, ἄλλους δέκα αἰῶνας (sc. προβαλεῖν), ὧν τὰ ὀνόματα λέγουσι ταῦτα· βύθιος καὶ μῖξις κ. τ. λ. οὗτοι δέκα αἰῶνες, οὓς καὶ φάσκουσιν ἐκ λόγου καὶ ζωῆς προβεβλῆσθαι. 90. 91. Ἕτεροι δὲ τοὺς δώδεκα — ἐκκλησίας] Cf. Iren. l. l.: τὸν δὲ ἄνθρωπον καὶ αὐτὸν προβαλεῖν μετὰ τῆς ἐκκλησίας αἰῶ-

sis, Autophyes et Hedone, Acinetus et Syncrasis, Monogenes et Macaria. Hi sunt decem illi aeones, quos alii quidem a Mente et Veritate repetunt, alii autem a Logo et Vita. Alii rursus duodecim illos ab Homine et Ecclesia, alii a Logo et Vita, quibus haec nomina gratificantur: Paracletus et Pistis, Patricus et Elpis, Metricus et Agape, Aeinus et Synesis, Ecclesiasticus et Macariotes, Theletus et Sophia. Ex duodecim autem illis duodecimus et natu minimus omnium viginti octo aeonum, qui femininus est et nomine vocatus Sophia, contemplatus multitudinem et potestatem aeonum, qui generavere, recurrit in profunditatem Patris, et sensit reliquos omnes aeones, utpote generatos, per coniugationem generare, patrem autem solum iniugum generavisse. Voluit igitur imitari Patrem et generare per se seorsum a coniuge, ut ne quid inferius Patre opus perfecisset, quippe ignorans, non-generatum illum, cum existat principium universorum et radix et profunditas et imum, posse generare per se ipsum, Sophiam autem, quae sit generata et post plures orta, non-generati potestatem habere non posse. In non-generato enim, inquit, sunt omnia simul, in generatis autem femininum est essentiae proiecticium, masculum autem formativum essentiae a femineo proiectae. Proiecit igitur Sophia hoc solum quod potuit, essentiam informem et inconditam. Et hoc est, inquit, quod ait Moses: *Terra autem erat invisibilis et incondita.* Haec, inquit, est bona illa et caelestis Hierusalem, in quam promisit deus se introducturum filios Israel dicens: *Inducam vos in terram bonam fluentem melle et lacte.*

31. Orta igitur intus in pleromate ignorantia circa Sophiam et informitate circa partum Sophiae, tumultus extitit in

νας δώδεκα, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· παράκλητος καὶ πίστις κ. τ. λ. 93. *πατρικῶς* C M. Cfr. Iren. l. l. *μητρικῶς* C M. Cf. Iren. l. l. 94. *ἀεινοῦς*] *αἰῶνος* C M. Cf. Iren. l. l. 94. 95. *μακαριστὸς* C M 98. *γεγενηκότων* C 2. *Ἠθέλησε δὲ?* an *Ἠθέλησε οὖν?* 3. *γεννῆσαι* Roeperus: *ἐγέννησε* C M *ἧ*] *ἡ* C 6. *γενητὴ* C 8. *ἀγενήτῳ* C 9. *γενητοῖς* C 11. *προσέβαλεν* C M 12. *εὔμορφον* C M *ἀκατασκεύαστον*] *εὐκατάσβεστον* C: *εὐκατασκεύαστον* M 13. 14. 1 Mos. 1, 2. 16. 17. 2 Mos. 33, 3: *καὶ εἰσάξω σε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι,* coll. Cap. 3, 8: *καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι κ. τ. λ.*

ρυβος ἐγένετο ἐν τῷ πληρώματι [οἱ αἰῶνες οἱ γενόμενοι], ὅτι παραπλησίως ἄμορφα καὶ ἀτελῆ γενήσεται τῶν αἰώνων τὰ γεννήματα καὶ φθορά τις καταλήψεται οὐκ εἰς μακράν ποτε τοὺς αἰῶνας. Κατέφυγον οὖν πάντες οἱ αἰῶνες ἐπὶ δέησιν τοῦ πατρός, ἵνα λυπουμένην τὴν σοφίαν ἀναπαύσῃ· ἔκλαιε γὰρ καὶ κατωδύρετο ἐπὶ τῷ γεγενημένῳ ὑπ' αὐτῆς ἐκτρώματι· οὕτω γὰρ καλοῦσιν. Ἐλεήσας οὖν ὁ πατὴρ τὰ δάκρυα τῆς σοφίας καὶ προσδεξάμενος τῶν αἰώνων τὴν δέησιν, ἐπιπροβαλεῖν κελεύει· οὐ γὰρ αὐτός, φησί, προέβαλεν, ἀλλὰ ὁ νοῦς καὶ ἡ ἀλήθεια, Χριστὸν καὶ πνεῦμα ἅγιον εἰς μόρφωσιν καὶ διαίρεσιν τοῦ ἐκτρώματος καὶ παραμυθίαν καὶ διανάπαυσιν τῶν τῆς σοφίας στεναγμῶν. Καὶ γίνονται τριάκοντα αἰῶνες μετὰ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου πνεύματος. Τινὲς μὲν οὖν αὐτῶν ταύτην εἶναι θέλουσι τὴν τριακοντάδα τῶν αἰώνων, τινὲς δὲ συνυπάρχειν τῷ πατρὶ σιγὴν καὶ σὺν αὐτοῖς καταριθμεῖσθαι τοὺς αἰῶνας θέλουσιν. Ἐπιπροβληθεὶς οὖν ὁ Χριστὸς καὶ τὸ ἅγιον πνεῦμα ὑπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας, εὐθέως τὸ ἔκτρωμα τὸ ἄμορφον τοῦτο τῆς σοφίας μονογενὲς| καὶ δίχα συζύγου γεγεννημένον ἀποχωρίζει τῶν ὅλων αἰώνων, ἵνα μὴ βλέποντες αὐτὸ ταράσσωνται διὰ τὴν ἀμορφίαν οἱ τέλειοι αἰῶνες. Ἵν' οὖν μηδ' ὅλως τοῖς αἰῶσι τοῖς τελείοις καταφανῇ τοῦ ἐκτρώματος ἡ ἀμορφία, πάλιν καὶ ὁ πατὴρ ἐπιπροβάλλει αἰῶνα ἕνα τὸν σταυρόν, ὃς γεγεννημένος μέγας, ὡς μεγάλου καὶ τελείου πατρός, εἰς φρουρὰν καὶ χαράκωμα τῶν αἰώνων προβεβλημένος, ὅρος γίνεται τοῦ πληρώματος, ἔχων ἐντὸς ἑαυτοῦ πάντας ὁμοῦ τοὺς τριάκοντα αἰῶνας· οὗτοι γάρ εἰσιν οἱ προβεβλημένοι. Καλεῖται δὲ ὅρος μὲν οὗτος, ὅτι ἀφορίζει ἀπὸ τοῦ πληρώματος ἔξω τὸ ὑστέρημα, μετοχεὺς δέ, ὅτι μετέχει καὶ τοῦ ὑστερήματος, σταυρὸς δέ, ὅτι πέπηγεν ἀκλινῶς καὶ ἀμετανοήτως, ὡς μὴ δύνασθαι μηδὲν τοῦ ὑστερήματος καταγενέσθαι ἐγγὺς τῶν ἐντὸς πληρώματος αἰώνων. Ἔξω οὖν τοῦ ὅρου, τοῦ σταυροῦ, τοῦ μετοχέως ἐστὶν ἡ καλουμένη κατ' αὐτοὺς ὀγδοάς, ἥτις ἐστὶν ἡ ἐκτὸς πληρώματος σοφία, ἣν ὁ Χριστὸς ἐπιπροβληθεὶς ὑπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας ἐμόρφωσε καὶ ἀπειργάσατο τέλειον αἰῶνα, οὐδενὶ τῶν ἐντὸς

20. Seclusimus quae ad explicandum vocabulum *πλήρωμα* ex margine irrepsisse videntur: *Ἐφοβοῦντο γὰρ οἱ αἰῶνες οἱ γεννώμενοι* vel simile quid susp. M 24. *ἔκλεαι* C 33. *τριαντακοντάδα* C 34.

pleromate, ne pariter informia et imperfecta evaderent ea, quae ab aeonibus erant generata, et interitus aliquis corriperet post non multum tempus aliquando aeones. Confugerunt igitur omnes aeones ad precationem Patris, ut maerentem Sophiam placaret. Plorabat enim et ingemebat propter abortivum a se generatum; sic enim appellant. Miseratus igitur Pater lacrimas Sophiae accepta precatione aeonum insuper proiicere iubet. Non enim ipse, inquit, proiecit, sed Mens et Veritas Christum et Spiritum sanctum in formationem et discretionem abortivi et consolationem et placationem Sophiae lamentorum. Et existunt triginta aeones cum Christo et Spiritu sancto. Iam quidam eorum hanc esse volunt triacontadem aeonum, alii autem una existere cum Patre Sigen cum iisque computari aeones volunt. Insuper proiectus igitur a Mente et Veritate Christus et Spiritus sanctus statim abortivum informem hunc Sophiae a se sola et seorsum a coniuge genitum segregat ab universis aeonibus, ne cernentes illum perturbentur per informitatem perfecti aeones. Ut igitur plane non compareat perfectis aeonibus abortivi informitas, rursus et Pater insuper proiicit unum aeonem Staurum, qui cum evasisset magnus, ut a patre magno et perfecto, in custodiam et munimentum aeonum proiectus, Terminus evadit pleromatis, habens in se omnes simul triginta aeones; hi enim sunt illi qui proiecti sunt. Appellatur autem hic Terminus, quoniam extra disterminat a pleromate hysterema, Particeps autem, quoniam participat etiam hysterema, Palus autem, quoniam fixus est immotus et firmus, ut non possit quidquam hysterematis devenire prope aeones, qui sunt intus in pleromate. Extra igitur Terminum, Palum, Participem est quae vocatur ab iis Ogdoas, eaque est Sophia quae extra pleroma est, quam Christus insuper proiectus a Mente et Veritate formavit effecitque, ut perfectus aeon, nulla ex parte iis, qui sunt

σιγὴν] εἰς γῆν C M 38. γεγενημένον C 41. ἐπεὶ προβάλλει C 42. τὸν σταυρός C. De Stauro sive Horo cfr. Iren. *c. haer.* I, 2, 2. 4. et c. 3, 5. 47. μετοχεὺς] μεταγωγεύς appellatur ab Irenaeo l. l. I, 2, 4 et c. 3, 1. 49. ἀμετανοήτως] ἀμετακινήτως Roeperus: ἀμεταβλήτως? 49. 50. καταγενέσθαι] καὶ γενέσθαι C M ἐγγὺς] ἐντὸς ἐγγὺς pr C 53. ὑπὸ] ἀπὸ C M 53. sqq. Cfr. Iren. l. l. I, 4, 1. 54. οὐδενὶ] οὐδέν τι?

πληρώματος χείρονουν .... ον γενέσθαι. Ἐπειδὴ δὲ μεμόρφωτο ἡ σοφία ἔξω, καὶ οὐχ οἷόν τε ἦν ἴσον τὸν Χριστὸν καὶ τὸ ἅγιον [πνεῦμα] ἐκ τοῦ νοὸς προβεβλημένα καὶ τῆς ἀληθείας ἔξω τοῦ πληρώματος μένειν, ἀνέδραμεν ἀπὸ τῆς μεμορφωμένης ὁ Χριστὸς καὶ τὸ ἅγιον πνεῦμα πρὸς τὸν νοῦν καὶ τὴν ἀλήθειαν ἐντὸς τοῦ ὅρου μετὰ τῶν ἄλλων αἰώνων δοξάζων τὸν πατέρα.

32. Ἐπεὶ οὖν μία τις ἦν εἰρήνη καὶ συμφωνία πάντων τῶν ἐντὸς πληρώματος αἰώνων, ἔδοξεν αὐτοῖς μὴ μόνον | κατὰ συζυγίαν δεδοξακέναι αὐτόν, δοξάσαι [δὲ] καὶ διὰ προσφορᾶς καρπῶν πρεπόντων τῷ πατρί. Πάντες οὖν ηὐδόκησαν οἱ τριάκοντα αἰῶνες ἕνα προβαλεῖν αἰῶνα, κοινὸν τοῦ πληρώματος καρπόν, ἵν' ᾖ τῆς ἑνότητος αὐτῶν καὶ τῆς ὁμοφροσύνης καὶ εἰρήνης. Καὶ μόνος ὑπὸ πάντων αἰώνων προβεβλημένος τῷ πατρὶ οὗτος ἐστὶν ὁ καλούμενος παρ' αὐτοῖς κοινὸς τοῦ πληρώματος καρπός. Ταῦτα μὲν οὖν ἐντὸς πληρώματος ἦν οὕτως. Καὶ προβέβλητο ὁ κοινὸς τοῦ πληρώματος καρπός, ὁ Ἰησοῦς (τοῦτο γὰρ ὄνομα αὐτῷ), ὁ ἀρχιερεὺς ὁ μέγας. Ἡ δὲ ἔξω τοῦ πληρώματος σοφία, ἐπιζητοῦσα τὸν Χριστὸν τὸν μεμορφωκότα καὶ τὸ ἅγιον πνεῦμα, ἐν φόβῳ μεγάλῳ κατέστη, ὅτι ἀπολεῖται κεχωρισμένου τοῦ μορφώσαντος αὐτὴν καὶ στηρίσαντος. Καὶ ἐλυπήθη καὶ ἐν ἀπορίᾳ ἐγένετο πολλῇ, λογιζομένη, τίς ἦν ὁ μορφώσας, τί τὸ ἅγιον πνεῦμα, ποῦ ἀπῆλθε, τίς ὁ κωλύσας αὐτοὺς συμπαρεῖναι, τίς ἐφθόνησε τοῦ καλοῦ καὶ μακαρίου θεάματος ἐκείνου. Ἐπὶ τούτοις καθεστῶσα τοῖς πάθεσι τρέπεται ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ ἀπολιπόντος αὐτήν. Δεομένης οὖν αὐτῆς κατηλέησεν ὁ Χριστὸς ὁ ἐντὸς πληρώματος ὢν καὶ οἱ ἄλλοι πάντες αἰῶνες, καὶ ἐκπέμπουσιν ἔξω τοῦ πληρώματος τὸν κοινὸν τοῦ πληρώματος καρπόν, σύζυγον τῆς ἔξω σοφίας καὶ διορθωτὴν παθῶν, ὧν ἔπαθεν ἐπιζητοῦσα τὸν Χριστόν. Γενόμενος οὖν ἔξω τοῦ πληρώματος καρπὸς καὶ εὑρὼν αὐτὴν ἐν πάθεσι τοῖς πρώτοις τέτρασι, καὶ φόβῳ καὶ λύπῃ καὶ ἀπορίᾳ καὶ δεήσει, διωρθώσατο τὰ πάθη αὐτῆς, διορθούμενος δὲ ἑώρα, ὅτι ἀπολέσθαι αὐτὰ αἰώνια ὄντα καὶ τῆς σοφίας ἴδια οὐ καλόν, οὔτε ἐν

55. χείρονουν .... ον] χείρονα νενομισμένον? 56. ἔξω] ἡ ἔξω? M 57. πνεῦμα add. M 60. ὅρου ἢ C 64. αὐτὸν] τὸν υἱόν C M δὲ add. M 65. ηὐδίκησαν C 67. ἑνότητος] νεότητος C M 68.

intus in pleromate, inferior habitus evaderet. Postquam igitur formata erat extra pleroma Sophia, nec fieri poterat, ut pariter Christus et Spiritus sanctus ex Mente proiecti et Veritate extra pleroma manerent, recurrit a formata illa Christus et Spiritus sanctus ad Mentem et Veritatem intra Terminum, una cum reliquis aeonibus magnificans Patrem.

32. Postquam igitur extitit una quaedam pax et concordia omnium intra pleroma aeonum, placuit iis non solum per coniugationem magnificavisse illum, verum magnificare etiam per oblationem frugum aptarum Patri. Omnes igitur consenserunt triginta aeones unum proiicere aeonem tanquam communem pleromatis fructum, ut esset unitatis illorum et consensionis et pacis signum. Et solus ab omnibus aeonibus proiectus Patri hic est, qui appellatur ab illis Communis pleromatis fructus. Haec igitur intra pleroma ita erant comparata. Et proiectus est Communis pleromatis fructus, Iesus (hoc enim nomen illi), pontifex magnus. Quae autem est extra pleroma Sophia requirens Christum, qui formavit, et Spiritum sanctum, in magnum metum coniecta est, ne periret seorsum ab eo, qui formavisset sese et firmavisset. Et maerore affecta est et in multa consternatione versata, reputans, quis esset formator, qui sanctus Spiritus, quo abiisset, quis impediisset quominus adesset, quis invidisset pulcrum illud et divinum spectaculum. In his constituta affectibus vertitur in precationem et supplicationem eius, qui sese dereliquisset. Precantem igitur illam miseratus est Christus, qui intra pleroma est, reliquique omnes aeones et emittunt extra pleroma Communem pleromatis fructum, coniugem extraneae Sophiae et correctorem passionum, quas perpessa est requirens Christum. Egressus igitur e pleromate Communis pleromatis fructus cum repperisset illam in quattuor primis affectibus, et metu et maerore et consternatione et precatione, correxit affectiones eius, corrigens autem videbat interire illas, quae aeternae essent et propriae Sophiae, non decere, neque in affectionibus esse Sophiam huiuscemodi, in metu et maerore, supplicatione, consternatione. Fecit igitur,

Post *εἰρήνης* exciderit *σύμβολον.* 79. *Ἐπὶ*] *Ἐπεὶ* C 79. 80. *καθεσπῶσα* C 86. Ante *καρπός* excidisse videtur *ὁ κοινὸς τοῦ πληρώματος* 87. 88. *διορθώσατο* C

πάθεσιν εἶναι τὴν σοφίαν τοιούτοις, ἐν φόβῳ καὶ λύπῃ,| ἱκετείᾳ, ἀπορίᾳ. Ἐποίησεν οὖν, ὡς τηλικοῦτος αἰὼν καὶ παντὸς τοῦ πληρώματος ἔκγονος, ἐκστῆναι τὰ πάθη ἀπ᾽ αὐτῆς, καὶ ἐποίησεν αὐτὰ ὑποστατικὰς οὐσίας, καὶ τὸν μὲν φόβον ψυχικὴν ἐποίησεν οὐσίαν, τὴν δὲ λύπην ὑλικήν, τὴν δὲ ἀπορίαν δαιμόνων, τὴν δὲ ἐπιστροφὴν καὶ δέησιν καὶ ἱκετείαν ἄνοδον καὶ μετάνοιαν καὶ δύναμιν ψυχικῆς οὐσίας, ἥτις καλεῖται δεξιά. Ὁ δημιουργὸς ἀπὸ τοῦ φόβου· τουτέστιν ὃ λέγει, φησίν, ἡ γραφή· Ἀρχὴ σοφίας φόβος κυρίου. Αὕτη γὰρ ἀρχὴ τῶν τῆς σοφίας παθῶν· ἐφοβήθη γάρ, εἶτα ἐλυπήθη, εἶτα ἠπόρησε, καὶ οὕτως ἐπὶ δέησιν καὶ ἱκετείαν κατέφυγεν. Ἔστι δὲ πυρώδης, φησίν, ἡ ψυχικὴ οὐσία, καλεῖται δὲ καὶ τόπος [μεσότητος] ὑπ᾽ αὐτῶν καὶ ἑβδομὰς καὶ παλαιὸς τῶν ἡμερῶν· καὶ ὅσα τοιαῦτα λέγουσι περὶ τούτου, ταῦτα εἶναι τοῦ ψυχικοῦ, ὅν φασιν εἶναι τοῦ κόσμου δημιουργόν· ἔστι δὲ πυρώδης. Λέγει, φησί, καὶ Μωϋσῆς· Κύριος ὁ θεός σου πῦρ ἐστι φλέγον καὶ καταναλίσκον. Καὶ γὰρ τοῦτο οὕτως γεγράφθαι θέλει. Διπλῆ δέ τις ἐστί, φησίν, ἡ δύναμις τοῦ πυρός· ἔστι γὰρ πῦρ παμφάγον, κατασβεσθῆναι μὴ δυνάμενον ..... Κατὰ τοῦτο τοίνυν τὸ μέρος θνητή τις ἐστὶν ἡ ψυχή, μεσότης τις οὖσα· ἔστι γὰρ ἑβδομὰς καὶ κατάπαυσις. Ὑποκάτω γάρ ἐστι τῆς ὀγδοάδος, ὅπου ἐστὶν ἡ σοφία, ἡμέρα μεμορφωμένη, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπός, ὑπεράνω δὲ τῆς ὕλης, ἧς ἐστι δημιουργός. Ἐὰν οὖν ἐξομοιωθῇ τοῖς ἄνω, τῇ ὀγδοάδι, ἀθάνατος ἐγένετο καὶ ἦλθεν εἰς τὴν ὀγδοάδα, ἥτις ἐστί, φησίν, Ἱερουσαλὴμ ἐπουράνιος, ἐὰν δὲ ἐξομοιωθῇ τῇ ὕλῃ, τουτέστι τοῖς πάθεσι τοῖς ὑλικοῖς, φθαρτὴ ἔσται καὶ ἀπώλετο. |

33. Ὥσπερ οὖν τῆς ψυχικῆς οὐσίας ἡ πρώτη καὶ μεγίστη δύναμις γέγονεν ..... εἰκὼν διάβολος, ὁ ἄρχων τοῦ κόσμου τούτου· τῆς δὲ τῶν δαιμόνων οὐσίας, ἥτις ἐστὶν ἐκ τῆς ἀπορίας, ὁ Βεελζεβούλ, ἡ σοφία ἄνωθεν ἀπὸ τῆς ὀγδοάδος ἐνεργοῦσα

93. ὑποστατικὰς] ὑποστάτας C M 94. οὐσίαν] ἐπιθυμίαν C M 95. ἄνοδον] ὁδὸν C M 97. 98. Psalm. 110, 10. Prov. 1, 7. 9, 10. 2. μεσότητος] om C M. Cf. infra l. 10 et Iren. l. l. I, 5, 3, ubi Ogdoas medietatis locum tenere dicitur 3. εὐδομὰς C παλαιὸς τῶν ἡμερῶν Cf. Daniel. 7, 9. 13. 22. 4. φασιν] φησιν C M 6. 7. Cf. supra p. 236, 69. 9. Lacunam signavimus post δυνάμενον, quae alteram naturam ignis hausit 10. εὐδομὰς C 10. 11. ἑβδομὰς

ut tantus aeon et universi pleromatis suboles, ut discederent affectiones ab illa, reddiditque illas substantiales essentias, et metum quidem animalem reddidit essentiam, maerorem autem materialem, consternationem autem daemonum, conversionem autem et precationem et supplicationem reddidit reditionem et paenitentiam et potestatem animalis essentiae, quae vocatur dextra. Demiurgus a metu; hoc est quod ait, inquit, scriptura: *Timor domini principium Sophiae.* Hoc enim principium Sophiae affectuum. Timebat enim, tum maerebat, deinde consternabatur et ita ad precationem et supplicationem confugit. Est autem ignea, inquit, animalis essentia, appellatur autem et locus medietatis ab iis et hebdomas et vetustus dierum; et quae alia eiusdemmodi de hoc dicunt, haec valere de animali, quem aiunt esse mundi demiurgum; est autem igneus. Dicit, inquit, et Moses: *Dominus deus tuus ignis est comburens et consumens.* Etenim hoc ita scriptum vult. Duplex autem quaedam, inquit, est potestas ignis; est enim ignis omnivorus qui extingui nequeat. . . . . Ex hac igitur parte mortalis quaedam est anima, cum medietas quaedam sit; est enim hebdomas et requies. Est autem subter ogdoadem, ubi est Sophia, dies formatus, et Communis pleromatis fructus, supra materiem autem, cuius est demiurgus. Ubi igitur assimilabitur superioribus illis, hoc est ogdoadi, immortalis evadit venitque in ogdoadem, quae quidem, inquit, est Hierusalem caelestis; ubi autem assimilabitur materiae, hoc est affectibus materialibus, fluxa erit et interit.

33. Siculi igitur animalis essentiae prima et maxima potestas existit . . . . . imago diabolus, rex mundi huius, daemonum autem essentiae, quae quidem est e consternatione, Beelzebul, Sophia superne ab ogdoade operans usque ad hebdo-

καὶ κατάπαυσις] Cf. 1 Mos. 2, 2. *Καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῃ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε.* 12. *ἡμέρα μεμορφωμένη*] *ἡμέρα μορφωμένη* C: *ἡ μεμορφωμένη* R. Scottus. Cf. Ep. Barnab. Cap. 15. et Ignat. Ep. ad Magner. Cap. 9. 13. *ἧς*] *ἥ* C M 14. *οὖν*] om C M 17. *ἔσται*] *ἐστι* Roeperus 19. Exciderunt quaedam ob *ὁμοιοτέλευτον*, ut videtur. M

ἕως τῆς ἑβδομάδος. Οὐδὲν οἶδεν, λέγουσιν, ὁ δημιουργὸς ὅλως, ἀλλ' ἔστιν ἄνους καὶ μωρὸς κατ' αὐτούς, καὶ τί πράσσει ἢ ἐργάζεται, οὐκ οἶδεν. Ἀγνοοῦντι δὲ αὐτῷ, ὅ, τι δὴ ποιεῖ, ἡ σοφία ἐνήργησε πάντα καὶ ἐνίσχυσε, καὶ ἐκείνης ἐνεργούσης αὐτὸς ᾤετο ἀφ' ἑαυτοῦ ποιεῖν τὴν κτίσιν τοῦ κόσμου· ὅθεν ἤρξατο λέγειν· Ἐγὼ ὁ θεός, καὶ πλὴν ἐμοῦ ἄλλος οὐκ ἔστιν.

34. Ἔστιν οὖν ἡ κατὰ Οὐαλεντῖνον τετρακτὺς πηγή τις ἀενάου φύσεως ῥιζώματ' ἔχουσα, καὶ ἡ σοφία, ἀφ' ἧς ἡ κτίσις ἡ ψυχικὴ καὶ ὑλικὴ συνέστηκε νῦν. Καλεῖται δὲ ἡ μὲν σοφία πνεῦμα, ὁ δὲ δημιουργὸς ψυχή, ὁ διάβολος δὲ ὁ ἄρχων τοῦ κόσμου, Βεελζεβοὺλ δ' ὁ τῶν δαιμόνων. Ταῦτά ἐστιν ἃ λέγουσιν. Ἔτι [δὲ] πρὸς τούτοις, ἀριθμητικὴν ποιούμενοι τὴν πᾶσαν αὐτῶν διδασκαλίαν, ὡς προεῖπον, τοὺς ἐντὸς πληρώματος αἰῶνας τριάκοντα πάλιν ἐπιπροβεβληκέναι αὐτοῖς κατὰ ἀναλογίαν αἰῶνας ἄλλους, ἵν' ᾖ τὸ πλήρωμα ἐν ἀριθμῷ τελείῳ συνηθροισμένον. Ὡς γὰρ οἱ Πυθαγορικοὶ διεῖλον εἰς δώδεκα καὶ τριάκοντα καὶ ἑξήκοντα [καὶ λεπτὰ λέπτῶν εἰσὶν ἐκείνοις, δεδήλωται]· οὕτως οὗτοι τὰ ἐντὸς πληρώματος ὑποδιαιροῦσιν. Ὑποδιῄρηται δὲ καὶ τὰ ἐν τῇ ὀγδοάδι, καὶ προβεβλήκασιν ἡ σοφία, ἥτις ἐστὶ μήτηρ πάντων τῶν ζώντων κατ' αὐτούς, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς ο̅ λόγους, οἵτινες εἰσὶν ἄγγελοι | ἐπουράνιοι, πολιτευόμενοι ἐν Ἱερουσαλὴμ τῇ ἄνω, τῇ ἐν οὐρανοῖς· αὕτη γάρ ἐστιν Ἱερουσαλὴμ ἡ ἔξω σοφία, καὶ ὁ νυμφίος αὐτῆς ὁ κοινὸς τοῦ πληρώματος καρπός. Προέβαλε καὶ ὁ δημιουργὸς ψυχάς· αὕτη γὰρ οὐσία ψυχῶν· οὗτός ἐστι κατ' αὐτοὺς Ἀβραὰμ καὶ ταῦτα τοῦ Ἀβραὰμ τὰ τέκνα. Ἐκ τῆς ὑλικῆς οὐσίας οὖν καὶ διαβολικῆς ἐποίησεν ὁ δημιουργὸς ταῖς ψυχαῖς τὰ σώματα. Τοῦτό ἐστι τὸ εἰρημένον· Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Οὗτός ἐστι κατ' αὐτοὺς ὁ ἔσω ἄνθρωπος, ὁ ψυχικός, ἐν τῷ

22. εὐδομάδος C 24. ὅ, τι δὴ] ὅτι δὲ C 27. Cf. Jes. 45, 5 Ὅτι ἐγὼ κύριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ θεός. 5 Mos. 4, 35. 32, 9. 28. Articulus ante κατὰ Οὐαλεντῖνον fort. rectius deletur. πηγή τις] πηγὴ τῆς C M. Cf. supra p. 260, 83. 29. ῥιζωμά τε C 32. δ' Roeperus: om C M 33. δὲ add. M 34. τοὺς Roeperus:

madem. Nihil plane novit, inquiunt, demiurgus, sed est insipidus et stultus secundum eos, et quod facit aut parat non intelligit. Ignoranti autem illi quodcunque facit Sophia operatur omnia et robur indit, illaque operante ipsum suis opibus fabricari se mundum opinatus est: unde orsus est dicere: *Ego sum deus et praeter me alter non est.*

34. Est igitur secundum Valentinum tetractys *fons sempiternae naturae radices habens,* et Sophia, unde conditio animalis et materialis consistit. Vocatur autem Sophia *spiritus,* demiurgus autem *anima,* diabolus autem *rex mundi,* Beelzebul autem *daemonum.* Haec sunt quae dicunt. Praeterea autem arithmeticam facientes suam doctrinam, ut antea dixi, statuunt eos, qui sunt in pleromate, aeones triginta rursus insuper proiecisse sibi ex eadem ratione aeones alios, ut esset pleroma numero perfecto coactum. Ut enim Pythagorei diviserunt in duodecim et triginta et sexaginta: sic hi quae sunt in pleromate subdividunt. Subdivisa autem sunt etiam ea, quae sunt in ogdoade, et proiecerunt Sophia, quae est mater omnium animantium secundum eos, et Communis pleromatis fructus 70 logos, qui sunt angeli caelestes, incolentes in Hierusalem, quae supra est et in caelis. Haec enim Hierusalem est Sophia, quae extra est, et sponsus eius Communis pleromatis fructus. Proiecit etiam demiurgus animas; haec enim essentia animarum. Hic est secundum eos Abraham et Abrahae haec suboles. Ex materiali igitur essentia et diabolica fecit demiurgus animabus corpora. Hoc est illud dictum: *Et formavit deus hominem limo de terro sumpto, et inspiravit in faciem eius spiraculum vitae, et factus est homo in animam viventem.* Hic est secundum eos *interior homo,* animalis, in corpore habitans materiali, quod est *materialis,* caducus, imperfectus, e diabolica essentia formatus. Est autem hic *materialis homo* secundum eos tanquam deversorium vel habitaculum modo animae solius, modo animae et

om C: *προβεβηκέναι* M 35. *ἐπιπροβεβηκέναι* C M 38. Quae uncis inclusimus, in quibus post *ἐκείνοις* exciderit *ὡς*, e margine irrepserunt 40. *προβεβήκασιν* M 41. *ζώντων*] *ζῴων τῶν* C M 42. *ō λόγους*] *ὁ λόγος* C M 45. *κοινὸς*] *κοινωνὸς* C M 47. *Ἀβραὰμ* C 49—52. 1 Mos. 2, 7. 51. *λαβών*] om 1 Mos. 2, 7.

σώματι κατοικῶν τῷ ὑλικῷ, ὅ ἐστιν ὁ ὑλικός, φθαρτός, ἀτέλειος, ἐκ τῆς διαβολικῆς οὐσίας πεπλασμένος. Ἔστι δὲ οὗτος ὁ ὑλικὸς ἄνθρωπος οἱονεὶ κατ' αὐτοὺς πανδοχεῖον ἢ κατοικητήριον ποτὲ μὲν ψυχῆς μόνης, ποτὲ δὲ ψυχῆς καὶ δαιμόνων, ποτὲ δὲ ψυχῆς καὶ λόγων, οἵτινές εἰσι λόγοι ἄνωθεν κατεσπαρμένοι ἀπὸ τοῦ κοινοῦ τοῦ πληρώματος καρποῦ καὶ τῆς σοφίας εἰς τοῦτον τὸν κόσμον, κατοικοῦντες ἐν [σώματι] χοϊκῷ μετὰ ψυχῆς, ὅταν δαίμονες μὴ συνοικῶσι τῇ ψυχῇ. Τοῦτο ἐστί, φησί, τὸ γεγραμμένον ἐν τῇ γραφῇ· Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν θεὸν καὶ πατέρα καὶ κύριον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα δῴη ὑμῖν ὁ θεὸς κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, τουτέστι τὸν ψυχικόν, οὐ τὸν σωματικόν, ἵνα ἐξισχύσητε νοῆσαι, τί τὸ βάθος, ὅπερ ἐστὶν ὁ πατὴρ τῶν ὅλων, καὶ τί τὸ πλάτος, ὅπερ ἐστὶν ὁ σταυρός, ὁ ὅρος τοῦ πληρώματος, ἢ τί τὸ μῆκος, τουτέστι τὸ πλήρωμα τῶν αἰώνων. Διὰ | τοῦτο ψυχικός, φησίν, ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστί· μωρία δέ, φησίν, ἐστὶν ἡ δύναμις τοῦ δημιουργοῦ, μωρὸς γὰρ ἦν καὶ ἄνους, καὶ ἐνόμιζεν αὐτὸς δημιουργεῖν τὸν κόσμον, ἀγνοῶν, ὅτι πάντα ἡ σοφία, ἡ μήτηρ, ἡ ὀγδοὰς ἐνεργεῖ αὐτῷ πρὸς τὴν κτίσιν τοῦ κόσμου οὐκ εἰδότι.

35. Πάντες οὖν οἱ προφῆται καὶ ὁ νόμος ἐλάλησαν ἀπὸ τοῦ δημιουργοῦ, μωροῦ λέγει θεοῦ, μωροὶ οὐδὲν εἰδότες. Διὰ τοῦτο, φησί, λέγει ὁ σωτήρ· Πάντες οἱ πρὸ ἐμοῦ ἐληλυθότες κλέπται καὶ λησταὶ εἰσί, καὶ ὁ ἀπόστολος· τὸ μυστήριον ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη. Οὐδεὶς γάρ, φησί, τῶν προφητῶν εἴρηκε περὶ τούτων οὐδὲν, ὧν ἡμεῖς λέγομεν· ἠγνοεῖτο γάρ· πάντα ..... ἅτε δὴ ἀπὸ μόνου τοῦ δημιουργοῦ λελαλημένα. Ὅτε οὖν τέλος ἔλαβεν ἡ κτίσις, καὶ ἔδει λοιπὸν γενέσθαι τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ, τουτέστι τοῦ δημιουργοῦ, τὴν ἐγκεκαλυμμένην, ἥν, φησίν, ἐγκεκάλυπτο ὁ ψυχικὸς ἄνθρωπος, καὶ εἶχε κάλυμμα ἐπὶ τὴν καρδίαν· ὁπότε οὖν ἔδει ἀρθῆναι τὸ κάλυμμα καὶ ὀφθῆναι ταῦτα τὰ μυστήρια, γεγέννηται ὁ Ἰησοῦς διὰ Μαρίας τῆς παρθένου

54. ὁ ὑλικός] ὑλικός C M 54. 55. ἀτέλειος] τέλειος C: τελέως susp. M 62—69. Cf. Ephes. 3, 14. 16—18: τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα (τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ add. al.:

daemonum, modo animae et logorum, qui quidem logi sunt superne inspersi a Communi pleromatis fructu et Sophia in hunc mundum, habitantes in corpore choico cum anima, quando daemones non cohabitant cum anima. Hoc est, inquit, quod scriptum est in scriptura: *Huius rei gratia flecto genua mea ad deum et patrem et dominum domini nostri Iesu Christi, ut det vobis deus habitare Christum in interiore homine*, hoc est animali, non corporali, *ut possitis intelligere, quid sit profundum,* quod est Pater universorum, *et quae sit latitudo*, quae est Staurus, terminus pleromatis, *aut quae longitudo*, hoc est pleroma aeonum. Propterea *animalis, inquit, homo non percipit ea quae sunt spiritus dei; stultitia est enim illi.* Stultitia autem, inquit, est potestas demiurgi; stultus enim erat et insipidus et opinabatur se ipsum fabricari mundum, ignorans omnia Sophiam, matrem, ogdoadem operari sibi ad fabricationem mundi nihil sentienti.

35. Omnes igitur prophetae et lex locuti sunt per demiurgum, stultum, inquit, deum, stulti nil sentientes. Propterea, inquit, ait Soter: *Omnes, qui ante me venerunt, fures sunt et latrones*, et Apostolus: *mysterium, quod prioribus aevis non innotuit.* Nemo enim, inquit, ex prophetis dixit de his quidquam, quae nos dicimus, ignorabantur enim; omnia . . . utpote per solum demiurgum dicta. Postquam igitur ad finem pervenit creatio, et oportuit deinceps revelari filios dei, hoc est demiurgi, hoc est conditionem velatam, qua, inquit, obvelatus erat animalis homo habuitque velamen super cor — postquam igitur oportuit tolli velamen conspicique haec mysteria, natus est Iesus per Mariam virginem secundum id quod scriptum est: *Spiritus sanctus superveniet in te* (spiritus est So-

παρὰ τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Orig.) . . . *ἵνα δῷ* (*δῴη* al.) *ὑμῖν κατὰ τὸ πλοῦτος τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι* (*γνῶναι* Orig.) *σὺν πᾶσιν τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ ὕψος καὶ βάθος* . . . 65. *ὑμῖν*] *ἡμῖν* C 70—72. 1 Cor. 2, 14. 77. *οἰδότες* C 78. 79. Ev. Jo. 10, 8: *Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶν καὶ λησταί* 79. 80. Cf. Ephes. 3, 9. 10. Rom. 16, 25. 82. Post *πάντα* quaedam excidisse videntur. 88. *γεγένηται* C

κατὰ τὸ εἰρημένον· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ· πνεῦμα ἐστὶν ἡ σοφία· καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· ὕψιστός ἐστιν ὁ δημιουργός· διὸ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται. Γεγέννηται γὰρ οὐκ ἀπὸ ὑψίστου μόνου, ὥσπερ οἱ κατὰ τὸν Ἀδὰμ κτισθέντες ἀπὸ μόνου ἐκτίσθησαν τοῦ ὑψίστου, τουτέστι [τῆς σοφίας καὶ] τοῦ δημιουργοῦ· ὁ δὲ Ἰησοῦς ὁ καινὸς | ἄνθρωπος ἀπὸ πνεύματος ἁγίου, τουτέστι τῆς σοφίας καὶ τοῦ δημιουργοῦ, ἵνα τὴν μὲν πλάσιν καὶ κατασκευὴν τοῦ σώματος αὐτοῦ ὁ δημιουργὸς καταρτίσῃ, τὴν δὲ οὐσίαν αὐτοῦ τὸ πνεῦμα παράσχῃ τὸ ἅγιον, καὶ γένηται λόγος ἐπουράνιος ἀπὸ τῆς ὀγδοάδος γεννηθεὶς διὰ Μαρίας. Περὶ τούτου ζήτησις μεγάλη ἐστὶν αὐτοῖς καὶ σχισμάτων καὶ διαφορᾶς ἀφορμή. Καὶ γέγονεν ἐντεῦθεν ἡ διδασκαλία αὐτῶν διῃρημένη, καὶ καλεῖται ἡ μὲν ἀνατολική τις διδασκαλία κατ' αὐτούς, ἡ δὲ Ἰταλιωτική. Οἱ μὲν ἀπὸ τῆς Ἰταλίας, ὧν ἐστὶν Ἡρακλέων καὶ Πτολεμαῖος, ψυχικόν φασι τὸ σῶμα τοῦ Ἰησοῦ γεγονέναι, καὶ διὰ τοῦτο ἐπὶ τοῦ βαπτίσματος τὸ πνεῦμα ὡς περιστερὰ κατελήλυθε, τουτέστιν ὁ λόγος ὁ τῆς μητρὸς ἄνωθεν τῆς σοφίας, καὶ γέγονε τῷ ψυχικῷ, καὶ ἐγήγερκεν αὐτὸν ἐκ νεκρῶν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· Ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, ἤτοι ψυχικά. Ὁ χοῦς γὰρ ὑπὸ κατάραν ἐλήλυθε. Γῆ γάρ, φησίν, εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Οἱ δ' αὖ ἀπὸ τῆς ἀνατολῆς λέγουσιν, ὧν ἐστὶν Ἀξιόνικος καὶ Ἀρδησιάνης, ὅτι πνευματικὸν ἦν τὸ σῶμα τοῦ σωτῆρος· πνεῦμα γὰρ ἅγιον ἦλθεν ἐπὶ τὴν Μαρίαν, τουτέστιν ἡ σοφία, καὶ ἡ δύναμις τοῦ ὑψίστου, ἡ δημιουργικὴ τέχνη, ἵνα διαπλασθῇ τὸ ὑπὸ τοῦ πνεύματος τῇ Μαρίᾳ δοθέν.

36. *Ταῦτα οὖν ἐκεῖνοι ζητείτωσαν κατ' αὐτοὺς καὶ εἴ τινι ἄλλῳ γένηται φίλον ζητεῖν. Ἀλλ' ἐπιλέγει· ὡς διώρθωτο μὲν τὰ κατὰ τοὺς αἰῶνας ἔσω σφάλματα, διώρθωτο δὲ καὶ κατὰ τὴν ὀγδοάδα, τὴν ἔξω σοφίαν, διώρθωτο δὲ καὶ κατὰ τὴν ἑβδομάδα· (ἐδιδάχθη γὰρ ὑπὸ τῆς σοφίας ὁ δημιουργός, ὅτι*

89—92. Luc. 1, 35: *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ καὶ* (*quapropter* Iren., Cypr., Hilar. Pict.) *τὸ γεννώμενον* [*ἐκ σοῦ*] (Cod. reg. Ephraem. rescr., Cod. Vercellensis evangeliorum Latinus, Cod. Veronensis Lat., Iren., Cypr., Hilar. Pict.) *ἅγιον κληθήσεται υἱὸς θεοῦ.* 92. *Γεγένηται* C M 93. *μόνου*]

phia), *et virtus altissimi obumbrabit tibi* (altissimus est demiurgus), *ideoque quod nascetur ex te sanctum vocabitur.* Generatus enim est non ab altissimo solo, sicut ii, qui secundum Adam creati sunt, a solo creati sunt altissimo, hoc est demiurgo; Iesus autem, novus homo, a spiritu sancto, hoc est Sophia, et demiurgo, ut fabricam quidem et apparitionem corporis eius demiurgus exornaverit, essentiam autem eius spiritus praestiterit sanctus, et extiterit logus caelestis ab ogdoade generatus per Mariam. De hoc quaestio magna est illis et dissidiorum dissensionisque causa, et hinc extitit eorum doctrina bifariam divisa, quarum altera vocatur orientalis secundum eos, altera Italica. Et ii quidem, qui sunt ab Italia, quorum Heracleo est et Ptolemaeus, animale dicunt extitisse corpus Jesu, et propterea in baptismo spiritus tanquam columba devenit, hoc est logus matris superne Sophiae, et cessit animali et suscitavit eum ex mortuis. Hoc est, inquit, illud quod dictum est: *qui suscitavit Christum a mortuis, vivificabit et mortalia corpora vestra,* quae sunt animalia. Limus enim sub devotionem venit. *Pulvis enim es,* inquit, *et in pulverem reverteris.* Rursus illi qui sunt ab oriente dicunt, quorum est Axionicus et Bardesanes, spirituale fuisse corpus salvatoris; spiritus enim sanctus venit super Mariam, hoc est Sophia, et potestas Supremi, demiurgica ars, ut conformaretur quod spiritus Mariae dedisset.

36. Haec igitur illi exquirunto inter se et si cui praeter eos curae sit exquisivisse. Verum superaddit: Ut emendata erant peccata, quae pertinebant ad aeones qui intra sunt, praetereaque emendata erant quae peccata pertinebant ad ogdoadem, Sophiam quae extra est, emendata autem etiam quae ad hebdomadem (edoctus enim est per Sophiam demiurgus ipsum non esse unum solum deum, ut opinabatur, et

μόνον C M 94. *τῆς σοφίας καὶ* ex inferiore loco prave repetita videntur, id quod etiam Millero visum est, nisi quod is *δέ* ante v. *Ἰησοῦς* delet. 95. *ἀπὸ*] *ὁ ἀπὸ* C M 99. *γεννηθεὶς* C 3. *ἀνατολική τις διδασκαλία*] Cf. Clem. Alex. *Fragm.* p. 966 sqq. *Pott.* 8. *γέγονε*] *γέγονε φωνὴ* Roeperus. 9. 10. Rom. 8, 11. 10. *ἤτοι*] *καὶ τὰ* C M 11. 12. 1 Mos. 3, 19. 13. *Ἀξιόνικος*] Cf. Tert. *adv. Valentinian.* c. 4. *Ἀρδησιάνης*] *Βαρδησιάνης* potius, vel *Βαρδησάνης* 18. *ζητήτωσαν* C 19. *ἐπιλέγει*] *ἐπεὶ λέγει* C

οὐκ ἔστιν αὐτὸς θεὸς μόνος, ὡς ἐνό|μιζε, καὶ πλὴν αὐτοῦ ἕτερος οὐκ ἔστιν, ἀλλ' ἔγνω διδαχθεὶς ὑπὸ τῆς σοφίας τὸν κρείττονα· κατηχήθη γὰρ ὑπ' αὐτῆς καὶ ἐμυήθη καὶ ἐδιδάχθη τὸ μέγα τοῦ πατρὸς καὶ τῶν αἰώνων μυστήριον, καὶ ἐξεῖπεν αὐτὸ οὐδενί, τουτέστιν, ὥς φησιν, ὃ λέγει πρὸς Μωϋσῆν· Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ, καὶ τὸ ὄνομα θεοῦ οὐκ ἀπήγγειλα αὐτοῖς, τουτέστι τὸ μυστήριον οὐκ εἶπα, οὐδὲ ἐξηγησάμην, τίς ἐστιν ὁ θεός, ἀλλ' ἐφύλαξα παρ' ἐμαυτῷ ἐν ἀποκρύφῳ τὸ μυστήριον, ὃ ἤκουσα παρὰ τῆς σοφίας)· ἔδει οὖν διωρθωμένων τῶν ἄνω κατὰ τὴν αὐτὴν ἀκολουθίαν καὶ τὰ ἐνθάδε τυχεῖν διορθώσεως. Τούτου χάριν ἐγεννήθη Ἰησοῦς ὁ σωτὴρ διὰ τῆς Μαρίας, ἵνα διορθώσηται τὰ ἐνθάδε, ὥσπερ ὁ Χριστός, ὁ ἄνωθεν ἐπιπροβληθεὶς ὑπὸ τοῦ νοὸς καὶ τῆς ἀληθείας, διωρθώσατο τὰ πάθη τῆς ἔξω σοφίας, τουτέστι τοῦ ἐκτρώματος· καὶ πάλιν ὁ διὰ Μαρίας γεγεννημένος ὁ σωτὴρ ἦλθε διορθώσασθαι τὰ πάθη τῆς ψυχῆς. Εἰσὶν οὖν [κατ' αὐτοὺς] τρεῖς Χριστοί, ὁ ἐπιπροβληθεὶς ὑπὸ τοῦ νοὸς καὶ τῆς ἀληθείας μετὰ τοῦ ἁγίου πνεύματος, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπός, ἰσόζυγος τῆς ἔξω σοφίας, ἥτις καλεῖται καὶ αὐτὴ πνεῦμα ἅγιον ὑποδεέστερον τοῦ πρώτου, καὶ τρίτος ὁ διὰ Μαρίας γεννηθεὶς εἰς ἐπανόρθωσιν τῆς κτίσεως τῆς καθ' ἡμᾶς.

37. *Διὰ πλειόνων νομίζω αὐτάρκως τὴν Οὐαλεντίνου αἵρεσιν Πυθαγόρειον οὖσαν ὑποτετυπῶσθαι. Δοκεῖ δὲ καὶ δι' ἐλέγχων τὰ δοκοῦντα αὐτοῖς ἐκθέμενον παύσασθαι. Πλάτων τοίνυν περὶ τοῦ παντὸς ἐκτιθέμενος μυστήρια γράφει πρὸς Διονύσιον τοιοῦτον τινὰ τρόπον λέγων· | Φραστέον δή σοι δι' αἰνιγμάτων, ἵν' ἄν τι ἡ δέλτος ἢ πόντου [ἢ γῆς] ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ· ὧδε γὰρ ἔχει· περὶ τὸν πάντων βασιλέα πάντα ἐστί, κἀκείνου ἕνεκα πάντα, κἀκεῖνος αἴτιος πάντων τῶν καλῶν. Δεύτερον περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. Τοῦ δὲ βασιλέως πέρι [καὶ] ὧν εἶπον οὐδέν ἐστι τοιοῦτον. Τὸ δὲ μετὰ τοῦτο, ἡ ψυχὴ ἐπιζητεῖ μαθεῖν ὁποῖα*

25. *κατηχήθη*] *κατήχθη* C M 27—29. Cf. 2 Mos. 6, 2. 3. *Ἐγὼ κύριος, καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς.* Infra l. VII. c. 25. p. 238, 35 *ed. Ox.* locus his verbis recurrit: *Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ*

praeter se non esse alium, sed intellexit edoctus a Sophia superiorem, institutus est enim ab ea atque initiatus et edoctus magnum Patris et aeonum mysterium, et elocutus est illud nemini; hoc est, ut ait, quod dicit ad Mosem: *Ego deus Abraham et deus Isaac et deus Iacob, et nomen dei non indicavi eis*, hoc est, mysterium non dixi, nec explicavi quis sit deus, sed custodivi mecum in abscondito mysterium quod audivi a Sophia): — oportebat igitur emendatis supernis secundum eandem necessitatem emendari etiam quae hic sunt. In hanc gratiam natus est Iesus salvator per Mariam, ut emendaret quae hic sunt, veluti Christus, qui erat superne superproiectus a Mente et Veritate, emendavit passiones Sophiae quae extra est, hoc est abortivi, et rursus natus per Mariam salvator venit emendaturus passiones animae. Sunt igitur secundum illos tres Christi: qui est superproiectus a Mente et Veritate una cum spiritu sancto, et Communis pleromatis fructus, coniunx Sophiae quae extra est, quae et ipsa vocatur spiritus sanctus inferior primo, et tertius is, qui natus est per Mariam ad emendationem conditionis quae est secundum nos.

37. Satis superque arbitror Valentini haeresin, quae Pythagorea est, adumbratam esse. Placet autem etiam per exempla placitis eorum expositis finem facere. Igitur Plato de universo exponens mysteria scribit ad Dionysium in hunc fere modum: *Dicendum est igitur tibi per aenigmata, ut si quid tabellae vel mari vel terra accidet, qui eam legerit non intelligat. Sic enim se habet. Circa omnium regem cuncta sunt, et illius gratia omnia, et ille auctor omnium pulcrorum. Circa secundum secunda, tertia circa tertium. Sed circa regem ipsum*

Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τὸ ὄνομα τοῦ θεοῦ οὐκ ἐδήλωσα αὐτοῖς. 29. *θεοῦ*] *μου* C M 32. *διορθωμένων* C 34. *διορθώσηται τὰ* Roeperus: *διορθώσηται* C M 36. *πάθη*] *πλήθη* C M 42. *αὐτὴ*] *αὕτη* C 46. 47. *διελέγχων* C 49. Plat. *Ep.* II. p. 312 d. 50. *αἰνιγμῶν* Pl. *ἵν* † *ἡ* (sic) C *ἢ γῆς* ex Pl. add. M 52. *πάντ᾽ ἐστι, καὶ ἐκείνου* Pl. 53. *καὶ ἐκεῖνο αἴτιον ἁπάντων* Pl. 53. 54. *δεύτερον δὲ περὶ* Pl. 54—58. *ἡ οὖν ἀνθρωπίνη ψυχὴ περὶ αὐτὰ ὀρέγεται μαθεῖν ποῖ᾽ ἄττα ἐστί, βλέπουσα εἰς τὰ αὑτῆς συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. Τοῦ δὴ βασιλέως πέρι καὶ ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτο. τὸ δὴ μετὰ τοῦτο ἡ ψυχή φησιν. Ἀλλὰ ποῖόν τι μὴν τοῦτ᾽ ἐστίν, ὦ παῖ Διονυσίου κ. τ. λ.* 55. *πέρι καὶ ὧν*] *περὶ ὧν* C 56. *Τοῦ δὲ* C *μετὰ τοῦτον* C

ἄττα ἐστί, βλέπουσα εἰς τὰ ἑαυτῆς συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. Τουτέστιν, ὦ παῖ Διονυσίου καὶ Δωρίδος, τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν· μᾶλλον δὲ ἡ περὶ τούτου φροντὶς ἐν τῇ ψυχῇ ἐγγινομένη, ἣν ἐὰν μή τις ἐξαιρεθῇ, τῆς ἀληθείας ὄντως οὐ μή ποτε τύχῃ.. Ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, [ἄκουσον]. Εἰσὶ γὰρ ἄνδρες ταῦτα ἀκηκοότες μαθεῖν [μὲν δυνατοί], δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασανίσαντες πάντῃ πάντως κρῖναι γέροντες ἤδη, οἵ φασι τὰ μὲν τότε πιστὰ εἶναι δόξαντα, νῦν ἄπιστα, τὰ δὲ τότε ἄπιστα, νῦν τοὐναντίον. Πρὸς ταῦτα οὖν σκοπῶν εὐλαβοῦ, μή ποτε σοὶ μεταμελήσῃ τῶνδε ἀναξίως ἐκπεσόντων. Διὰ τοῦτο ἐγὼ περὶ τούτων γέ[γραφα οὐ]δέν, οὐδὲ ἔστι Πλάτωνος σύγγραμμα οὐδέν, οὐδὲ ἔσται πώποτε. Τὰ δὲ νῦν λεγόμενα Σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος. Τούτοις περιτυχὼν Οὐαλεντῖνος ὑπεστήσατο τὸν πάντων βασιλέα, ὃν ἔφη Πλάτων, οὗτος πατέρα καὶ βυθὸν καὶ πᾶσι γῆν τῶν ὅλων αἰώνων. Δεύτερον | περὶ τὰ δεύτερα τοῦ Πλάτωνος εἰρηκότος, τὰ δεύτερα Οὐαλεντῖνος τοῦ ἐντὸς ὅρου τὸν ὅρον ὑπέθετο πάντας αἰῶνας, καὶ τρίτον περὶ τὰ τρίτα τὴν ἔξω τοῦ ὅρου καὶ τοῦ πληρώματος διαταγὴν συνέθηκε πᾶσαν. Καὶ δεδήλωκεν αὐτὴν δι' ἐλαχίστων Οὐαλεντῖνος ἐν ψαλμῷ κάτωθεν ἀρξάμενος, οὐχ ὥσπερ ὁ Πλάτων ἄνωθεν, λέγων οὕτως· Αἰθέρος πάντα κρεμάμενα πνεύματι βλέπω, πάντα δ' ὀχούμενα πνεύματι νοῶ· σάρκα μὲν ἐκ ψυχῆς κρεμαμένην, ψυχὴν δὲ ἀέρος ἐξοχουμένην, ἀέρα δὲ ἐξ αἰθέρος κρεμάμενον, ἐκ δὲ βυθοῦ καρποὺς φερομένους, ἐκ μήτρας δὲ βρέφος φερόμενον· οὕτως ταῦτα νοῶν· σὰρξ ἐστὶν ἡ ὕλη κατ' αὐτούς, ἥτις κρέμαται ἐκ τῆς ψυχῆς τοῦ δη-

60. *φροντὶς*] *ὠδὶς* Pl. 60. 61. *ἐνγινομένη* C: *ἐγγιγνομένη* Pl. 61. *εἰ μή τις ἐξαιρεθήσεται* Pl. 62. *τύχοι* Pl. Hoc loco non exigua pars epistolae silentio praetermissa est. 63. *ἄκουσον* ex Pl. add. M. *ἄνδρες*] *ἄνθρωποι* Pl. *ἀκηκοότες καὶ πλείους* Pl. 64. *μὲν δυνατοὶ* om C: *δυνατοὶ μὲν μαθεῖν* Pl. 64. 65. *βασανίσαι* C 65. *κρίνει γέροντος* C 65—67. *γέροντες ἤδη καὶ οὐκ ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες· οἳ νῦν ἄρτι σφίσι φασί, τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι νῦν πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι· ἃ δὲ τότε πιστότατα νῦν τοὐναντίον* Pl. 68. *τῶνδε*] *τῶν νῦν* Pl. 69—71. *ἐκπε-*

et haec quae dixi nihil est tale. Quod autem post hoc est, animus affectat discere qualia illa sint, aspiciens in ea quae sibi cognata sunt, quorum nihil sufficienter se habet. Haec est, o fili Dionysii et Doridis, quaestio, quae malorum omnium causa est, immo vero cura de hoc in animo insidens, quam si quis non sustulerit, profecto nunquam veritatem assequetur. Quod autem mirabile in eo factum est, audito. Sunt enim homines, qui haec audiverunt, pollentes acumine, pollentes memoria et in examinando et iudicando sollertes, provecti iam aetate, qui affirmant quae olim sibi credibilia visa sint nunc incredibilia esse, tum autem incredibilia visa nunc contra sibi videri. Haec igitur intuens cave, ne quando te poeniteat horum, quae tibi praeter dignitatem exciderint. Propterea ego de hac re conscripsi nihil, nec Platonis extat scriptum ullum, neque existet unquam; quae autem modo dicuntur Socratis sunt, qui virtute conspicuus extitit vel cum iuvenis esset. His cum incidisset Valentinus, pro fundamento posuit quem omnium regem dicit Plato, ipse Patrem et Bythum et Proarcham omnium aeonum. Deinde cum Plato dixerit: *circa secundum secunda*, Valentinus *secunda* Terminum posuit omnesque intra Terminum aeones, et *tertia circa tertium*, quae est extra Terminum et pleroma dispositionem constituit omnem. Et declaravit Valentinus eam brevissime per psalmum, ab imo orsus, non ut Plato a supremo, his verbis: *Ab aethere omnia suspensa spiritu tueor, omnia autem vecta spiritu percipio; carnem quidem ab anima suspensam, animam autem aëre evectam, aërem autem ex aethere suspensum, e bytho autem fructus nascentes, ex utero autem foetum crescentem*, sic haec sentiens: Caro est materia secundum illos, quae pendet ab anima demiurgi; anima

σόντων. Μεγίστη δὲ φυλακὴ τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν· οὐ γάρ ἐστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. Διὰ ταῦτα οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα, οὐδ' ἔστι σύγγραμμα Πλάτωνος οὐδέν, οὐδ' ἔσται. Pl. 71. *τὰ δὲ*] *Ἃ δὲ* C 74. *πᾶσι γῆν*] *σιγῆν* Bernaysius et Roeperus: *πλάστην* R. Scottus: *προαρχὴν?* 76. *τοὺς ἐντὸς ὅρου ὑπέθετο* susp. Roeperus. Verum aegre desideratur ipsius *ὅρου* commemoratio, et in Roeperi coniectura articulus *τοῦ* ante *ὅρου* vix potest abesse. 79. *καὶ αὐτὴν διελεγχί τοῦ* pr C 80. *Αἰθέρος*] *Θέρος* C: *Θέρους* susp. M: *Ἀέρος* R. Scottus 81. 82. *δοχούμενα* C 83. *ἐξειχουμένην* C *αἰθέρος*] *αἴθρης* C M

μιουργοῦ. Ψυχὴ δὲ ἀέρος ἐξοχεῖται, τουτέστιν ὁ δημιουργὸς τοῦ πνεύματος ἔξω πληρώματος. Ἀὴρ δὲ αἰθέρος ἐξοχεῖται, τουτέστιν ἡ ἔξω σοφία τῆς ἐντὸς ὅρου καὶ παντὸς πληρώματος. Ἐκ δὲ βυθοῦ καρποὶ φέρονται, ἡ ἐκ τοῦ πατρὸς πᾶσα προβολὴ τῶν αἰώνων γενομένη. Τὰ μὲν οὖν τῷ Οὐαλεντίνῳ δοκοῦντα ἱκανῶς λέλεκται ...... σχολῆς προκόψασιν ἐξειπεῖν, ἄλλου ἄλλως δογματίσαντος τὰ δόξαντα αὐτοῖς.

38. Σεκοῦνδος μέν τις κατὰ τὸ αὐτὸ ἅμα τῷ Πτολεμαίῳ γενόμενος οὕτως λέγει· τετράδα εἶναι δεξιὰν καὶ τετράδα ἀριστεράν, καὶ φῶς καὶ σκότος· καὶ τὴν ἀποστᾶσαν δὲ καὶ ὑστερήσασαν δύναμιν οὐκ ἀπὸ τῶν τριάκοντα αἰώνων λέγει γεγενῆσθαι, ἀλλὰ ἀπὸ τῶν καρπῶν αὐτῶν. Ἄλλος δέ τις Ἐπιφάνης, διδάσκαλος αὐτῶν οὕτως λέγει· Ἦν ἡ πρώτη ἀρχὴ ἀνεννόητος, ἄρρητός τε καὶ ἀνονόμαστος, ἣν μονότητα καλεῖ· ταύτῃ [δὲ] συνυπάρχ]ειν δύναμιν, ἣν ὀνομάζει ἑνό[τητα]. Αὕτη ἡ ἑνότης ἥ τε μονότης προήκαντο μὴ προέμεναι ἀρχὴν ἐπὶ πάντων νοητὴν ἀγέννητόν τε καὶ ἀόρατον, ἣν μονάδα καλεῖ. Ταύτῃ τῇ δυνάμει συνυπάρχει δύναμις ὁμοούσιος αὐτῇ, ἣν καὶ αὐτὴν

Iren. ap. Epiphan. *Haer.* XXXII. 1. Σεκοῦνδος ..... λέγει εἶναι τὴν πρώτην ὀγδοάδα τετράδα δεξιὰν καὶ τετράδα ἀριστεράν, οὕτως παραδιδοὺς καλεῖσθαι, τὴν μὲν μίαν φῶς, τὴν δὲ ἄλλην σκότος, τὴν δὲ ἀποστᾶσάν τε καὶ ὑστερήσασαν δύναμιν μὴ εἶναι ἀπὸ τῶν τριάκοντα αἰώνων, ἀλλὰ μετὰ τοὺς τριάκοντα αἰῶνας κ.τ.λ.

§. 5. Φασὶ δὲ καὶ οὗτοι, ὡς ἐπὶ τὸ ὑψηλότερον καὶ γνωστικώτερον ἐπεκτεινόμενοι τὴν πρώτην τετράδα οὕτως· Ἔστι τις πρὸ πάντων προαρχὴ προανεννόητος, ἄρρητός τε καὶ ἀνονόμαστος, ἣν ἐγὼ μονότητα ἀριθμῶ· ταύτῃ τῇ μονότητι συνυπάρχει δύναμις, ἣν καὶ αὐτὴν ὀνομάζω ἑνότητα. Αὕτη ἡ ἑνότης ἥ τε μονότης τὸ ἓν οὖσαι προήκαντο μὴ προέμεναι ἀρχὴν ἐπὶ πάντων νοητὴν ἀγέννητόν τε καὶ ἀόρατον, ἣν ἀρχὴν ὁ λόγος μονάδα καλεῖ. Ταύτῃ τῇ μονάδι συνυπάρχει δύναμις ὁμοού-

---

88. αἰθέρος] αἴθρης C M 88. 89. ἐξοχεῖται] ἐξέχεται C M 89. τῆς] τοῦ C M ὅρου] σοροῦ C 91. Excidisse videtur membrum, quod pertinebat ad explicationem verborum ultimorum psalmi 92. Post λέλεκται lacunam signavimus 92. 93. προκόψασιν] προκύψασιν C M 94. Sequentia Hippolytus transtulit ex Irenaeo *c. haer.* I, 11, 2. p. 53. sqq. *ed. Massuet.*, cuius ipsa verba ex Epiphanii *Haer.* XXXII, 1. sqq. deprompta versionemque veteris interpretis sub textu Hip-

autem ex aëre evehitur, hoc est demiurgus e spiritu, qui extra pleroma est; aër autem ex aethere evehitur, hoc est Sophia, quae est extra, ex illa, quae est intra Terminum, et ex universo pleromate; ex bytho autem fructus nascuntur, quae est ex Patre omnis aeonum progenies facta. Quae igitur Valentino placuerunt satis exposita sunt . . . . quorum alii aliter conformaverunt placita sua.

38. Secundus quidam, qui aequalis fuit Ptolemaeo, ita dicit: tetradem esse dextram et tetradem sinistram, et lumen et tenebras, et potestatem vero, quae discessit et defecit, non a triginta illis aeonibus dicit ortam esse, sed a fructibus eorum. Alius autem quidam, Epiphanes, magister eorum ita dicit: Erat primum principium incomprehensibile atque inenarrabile et innominabile, quod Monoteta vocat, cum hac autem una existere potestatem, quam vocat Henoteta. Haec Henotes et haec Monotes non proiiciendo ex se proiecerunt principium rerum omnium intelligibile et non-genitum et invisibile, quod Monada appellat; cum hac autem potestate

---

Iren. *c. haer.* I, 11, 2. Secundus autem primam ogdoadem sic tradidit dicens: Quaternationem esse dextram et quaternationem sinistram et lumen et tenebras, et discedentem autem et destitutam virtutem non a triginta aeonibus dicit fuisse, sed a fructibus eorum.

3. Alius vero quidam, qui et clarus est magister ipsorum, in maius sublime et quasi in maiorem agnitionem extensus, primam quaternationem dixit sic: Est quidem ante omnes Proarche proanennoëtos et inenarrabilis et innominabilis, quam ego Monotetem voco; cum hac Monotete est virtus, quam et ipsam voco Henotetem. Haec Henotes et Monotes cum sint unum, emiserunt, cum nihil emiserint, principium omnium noëton et agenneton et aoraton, quam archem sermo Monada

---

polyti et nostra versione apposuimus. Cf. etiam Tert. *adv. Valentinian.* c. 38. et Theodoret. *Haer. fab.* I, 8. 95. *γενόμενος· οὗτος λέγει* C M 98. sqq. Cf. etiam Tert. l. l. c. 27. 98. *Ἐπιφάνης*] *ἐπιφανὴς* C M 99. *ἀννενόητος* C 1. *ἄρρητός τε καὶ*] *ἄρεντος δὲ καὶ* C *ἀνωνόμαστος* C M *ἦν μονότατα* C 3. *ἥ τε*] *εἴτε* C 4. *νοητὴν*] *νοητῶν* C M *ἀγένητον* C *ἣν ἀρχὴν ὁ λόγος μονάδα* Epiphan., quocum consentit vetus interpres Iren. et Tert. l. l.: quod sermo Monada vocavit. 5. *ὁμοούσιος αὐτῇ*] *ὁμοούσιος· αὕτη* C M 5. 6. *ἦν* —

ὀνομάζω τὸ ἕν. Αὗται αἱ τέσσαρες δυνάμεις προήκαντο τὰς λοιπὰς τῶν αἰώνων προβολάς. Ἄλλοι δὲ πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχέγονον ὀγδοάδα τούτοις τοῖς ὀνόμασιν ἐκάλεσαν· [πρῶτον προαρχήν, ἔπειτα ἀνεννόητον, τὴν δὲ τρίτην ἄρρητον, καὶ τὴν] τετάρτην ἀόρατον. Καὶ ἐκ μὲν τῆς πρώτης προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ τόπῳ ἀρχήν, ἐκ δὲ τῆς ἀνεννοήτου δευτέρῳ καὶ ἕκτῳ [τόπῳ] ἀκατάληπτον, ἐκ δὲ τῆς ἀρρήτου τρίτῳ καὶ ἑβδόμῳ τόπῳ ἀνονόμαστον, ἐκ δὲ τῆς ἀοράτου ἀγέννητον, πλήρωμα τῆς πρώτης ὀγδοάδος. Ταύτας βούλονται τὰς δυνάμεις προϋπάρχειν τοῦ βυθοῦ καὶ τῆς σιγῆς. Πολλαὶ δὲ περὶ αὐτοῦ τοῦ βυθοῦ καὶ διάφοροι γνῶμαι. Οἱ μὲν αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄρρενα μήτε θῆλυν, ἄλλοι δὲ τὴν σιγὴν θήλειαν αὐτῷ συμπαρεῖναι καὶ εἶναι ταύτην πρώτην συζυγίαν. Οἱ δὲ περὶ τὸν Πτολεμαῖον δύο συζύγους αὐτὸν ἔχειν λέγουσιν, ἃς καὶ διαθέσεις καλοῦσιν, ἔννοιαν καὶ θέλησιν· πρῶτον γὰρ ἐνενοήθη τι προβαλεῖν, ὥς φασιν, ἔπειτα ἠθέλησε. Διὸ καὶ τῶν δύο τούτων διαθέσεων καὶ δυνάμεων,

---

σιος αὐτῇ, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ ἕν. Αὗται αἱ δυνάμεις, ἥ τε μονότης καὶ ἑνότης μονάς τε καὶ τὸ ἓν προήκαντο τὰς λοιπὰς προβολὰς τῶν αἰώνων.

§. 7. Ἄλλοι δὲ πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχέγονον ὀγδοάδα τούτοις τοῖς ὀνόμασι κεκλήκασι· πρῶτον προαρχήν, ἔπειτα ἀνεννόητον, τὴν δὲ τρίτην ἄρρητον, καὶ τὴν τετάρτην ἀόρατον. Καὶ ἐκ μὲν τῆς πρώτης προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ ἀρχήν, ἐκ δὲ [τῆς ἀρχῆς] τῆς ἀνεννοήτου δευτέρῳ καὶ ἕκτῳ τόπῳ ἀκατάληπτον, ἐκ δὲ τῆς ἀρρήτου τρίτῳ καὶ ἑβδόμῳ τόπῳ ἀνονόμαστον, ἐκ δὲ τῆς ἀοράτου ἀγέννητον, πλήρωμα τῆς πρώτης ὀγδοάδος. Ταύτας βούλονται τὰς δυνάμεις προϋπάρχειν τοῦ βυθοῦ καὶ τῆς σιγῆς ..... καὶ γὰρ περὶ αὐτοῦ τοῦ βυθοῦ πολλαὶ καὶ διάφοροι γνῶμαι παρ' αὐτοῖς. Οἱ μὲν γὰρ αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄρρενα μήτε θήλειαν μήτε ὅλως ὄντα τι, ἄλλοι δὲ ἀρρενόθηλυν αὐτὸν λέγουσιν εἶναι, ἑρμαφροδίτου φύσιν αὐτῷ περιάπτοντες· σιγὴν δὲ πάλιν ἄλλοι συνευνέτιν αὐτῷ προσάπτουσιν, ἵνα γένηται πρώτη συζυγία...

ὀνομάζων C 7. προσβολάς C 7. sqq. Cf. Tert. l. l. c. 35. 8. ἀρχέγονον] ἀρχαιόγονον C M 9. 10. Uncinis inclusa ex Irenaeo supplevimus 12. τόπῳ om C 13. ἀνωνόμαστον C M 16. σιγῆς] γῆς C M 16. 17. Πολλαὶ — γνῶμαι] Ἄλλοι δὲ περὶ αὐτοῦ τοῦ βυθοῦ ἀδιαφόρως κινούμενοι

una existit potestas eiusdem cum ea essentiae, quam et ipsam voco *τὸ ἕν*. Hae quattuor potestates ex se proiecerunt reliquas aeonum emissiones. Alii autem rursus eorum primam et primigeniam ogdoadem his nominibus appellaverunt: primum Proarcham, deinde Anennoëtum, tertiam Arrhetum et quartam Ahoratum. Et ex prima quidem Proarcha emissam esse primo et quinto loco Archam, ex Anennoëto autem secundo et sexto loco Acataleptum, ex Arrheto autem tertio et septimo loco Anonomastum, ex Ahorato autem Agennetum, complementum primae ogdoadis. Has volunt potestates existere ante Bythum et Sigen. Multae autem de ipso Bytho et diversae sententiae. Alii enim eum iniugum dicunt, neque masculum neque femininum, alii autem Sigen femineam cum ipso adesse et esse hanc primam coniugationem. Ptolemaeus autem et qui sunt ab eo duas coniuges eum habere dicunt, quas et dispositiones vocant, Cogitationem et Voluntatem; primum enim cogitavit aliquid proiicere, deinde voluit. Quapropter et his duabus dis-

---

vocat. Cum hac Monade est virtus eiusdem substantiae ei, quam et eam voco Hen. Hae autem virtutes, id est, Monotes et Henotes et Monas et Hen emiserunt reliquas emissiones aeonum.

5. Alii autem rursus ipsorum primam et archegonon octonationem his nominibus nominaverunt: primum Proarchen, deinde Anennoëton, tertiam autem Arrheton et quartam Aoraton. Et de prima quidem Proarche emissum esse primo et quinto loco Archen, ex Anennoëto secundo et sexto loco Acatalepton, et de Arrheto tertio et septimo loco Anonomaston, et de Aorato autem quarto et octavo loco Agenneton. Pleroma hoc primae ogdoadis. Has volunt virtutes fuisse ante Bython et Sigen . . . . . Etenim de ipso Bytho variae sunt sententiae apud eos. Quidam enim sine coniugatione dicunt eum, neque masculum neque feminam neque omnino aliquid esse, alii autem et masculum et feminam eum dicentes esse hermaphroditi genesim ei donant; Sigen autem rursus alii coniugem ei addunt, ut fiat prima coniugatio.

C M, qui susp. *διαφόρως μυούμενοι* 17. Post *μὲν* ex Irenaeo fort. inserendum *γὰρ*. Cf. etiam Tert. l. l. c. 34. 18. *σὺν παρεῖναι* C 19. sqq. Cf. Tert. l. l. c. 33. 21. *Πρῶτος* C 22. *διαθέσεως καὶ δυνάμεως* C

τῆς τε ἐννοίας καὶ τῆς θελήσεως, ὥσπερ συγκραθεισῶν εἰς ἀλλήλας ἡ προβολὴ τοῦ τε μονογενοῦς καὶ τῆς ἀληθείας κατὰ συζυγίαν ἐγένετο, οὕς τινας τύπους καὶ εἰκόνας τῶν δύο διαθέσεων τοῦ πατρὸς διελθεῖν ἐκ τῶν ἀοράτων ὁρατάς, τοῦ μὲν θελήματος τὸν νοῦν, τῆς δὲ ἐννοίας τὴν ἀλήθειαν· καὶ | διὰ τοῦτο τοῦ ἐπιγεννητοῦ θελήματος ὁ ἄρρην εἰκών, τῆς δὲ ἀγεννήτου ἐννοίας ὁ θῆλυς, ἐπεὶ τὸ θέλημα ὥσπερ δύναμις ἐγένετο τῆς ἐννοίας. Ἐνενοεῖτο μὲν γὰρ ἀεὶ ἡ ἔννοια τὴν προβολήν, οὐ μέντοι γε προβάλλειν αὐτὴ κατ' αὐτὴν ἠδύνατο, ἀλλὰ ἐνενοεῖτο, ὅτε δὲ ἡ τοῦ θελήματος δύναμις [ἐπεγένετο], τότε [ὃ] ἐνενοεῖτο προβάλλει.

39. *Ἄλλος δέ τις διδάσκαλος αὐτῶν Μάρκος, μαγικῆς ἔμπειρος ἃ μὲν διὰ κυβείας ἐνεργῶν, ἃ δὲ καὶ διὰ δαιμόνων ἠπάτα πολλούς. Οὗτος ἔλεγεν ἐν αὐτῷ τὴν μεγίστην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων τόπων εἶναι δύναμιν. Καὶ δὴ πολλάκις λαμβάνων ποτήριον ὡς εὐχαριστῶν, καὶ ἐπὶ πλεῖον ἐκτείνων τὸν λόγον τῆς ἐπικλήσεως πορφύρεον τὸ κέρασμα ἐποίει*

Haer. XXXIII, 1.... *Δύο γὰρ οὗτος* (sc *ὁ Πτολεμαῖος*) *συζύγους τῷ θεῷ τῷ παρ' αὐτοῖς βυθῷ καλουμένῳ ἐπενόησέ τε καὶ ἐχαρίσατο. ταύτας δὲ καὶ διαθέσεσιν* (*διάθεσιν* Cod. reg.) *ἐκάλεσεν, ἔννοιάν τε καὶ θέλημα· καὶ τὴν μὲν ἔννοιαν ἀεὶ συνυπάρξασαν ἐν αὐτῷ, ἐννοουμένην ἀεὶ τὸ τί προβαλέσθαι, τὸ δὲ θέλημα ἐν αὐτῷ ἐπιγινόμενον· πρῶτον γὰρ ἐνενοήθη προβαλεῖν, εἶτά φησιν ἠθέλησε. Διὸ καὶ τῶν δύο διαθέσεων τούτων ἢ καὶ δυνάμεων, δυνάμεις γὰρ αὐτὰς πάλιν καλεῖ, τῆς ἐννοίας καὶ τῆς θελήσεως ὥστε* (*ὥς γε?*) *συγκραθεισῶν εἰς ἀλλήλας τῇ προβολῇ τοῦ μονογενοῦς καὶ τῆς ἀληθείας κατὰ συζυγίαν ἐγένετο, οὕς τινας τύπους καὶ εἰκόνας τῶν δύο διαθέσεων τοῦ πατρὸς προελθεῖν τῶν ἀοράτων ὁρατάς, τοῦ μὲν θελήματος τὴν ἀλήθειαν, τῆς δὲ ἐννοίας τὸν νοῦν, καὶ διὰ τούτου τοῦ θελήματος ὁ μὲν ἄρρην εἰκὼν τῆς ἀγεννήτου ἐννοίας γέγονεν, ὁ δὲ θῆλυς τοῦ θελήματος. Τὸ θέλημα τοίνυν δύναμις ἐγένετο τῆς ἐννοίας. Ἐνενόει μὲν γὰρ ἡ ἔννοια τὴν προβολήν, οὐ μέντοι προβαλεῖν αὐτὴ καθ' ἑαυτὴν ἠδύνατο ἃ ἐνενόει, ὅτε δὲ ἡ τοῦ θελήματος δύναμις ἐπεγένετο, τότε ὃ ἐνενόει προέβαλε.*

---

23. *ὥσπερ συγκραθεισῶν*] *ὡς περικραθεὶς* C: *ὥσπερ κραθεισῶν* M 25. *οὕς τινας*] *ὥς τινας* C M 26. *διελθεῖν*] *προελθεῖν?* 28. *ὁ ἄρρην εἰκών*] *ὁ*

positionibus et potestatibus, et Cogitatione et Voluntate, tanquam commixtis inter se emissio et Monogenis et Veritatis secundum coniugationem facta est, quos quidem typos et imagines duarum illarum dispositionum Patris provenisse ex invisibilibus visibiles, et ex Voluntate quidem Nun, ex Cogitatione autem Veritatem. Et ob hoc adventiciae Voluntatis masculus est imago, non-natae autem Cogitationis femininus, quoniam Voluntas tanquam potestas extitit Cogitationis. Cogitabat enim Cogitatio semper emissionem, neque tamen ipsa poterat emittere per sese, sed cogitabat; postquam autem Voluntatis potestas advenit, tunc quod cogitabat emisit.

39. Alius autem eorum magister Marcus, magicae peritus, partim per praestigias peragens, partim autem etiam per daemones decepit multos. Hic dicebat esse in se summam virtutem ab invisibilibus et innominatis locis redundantem. Et saepe poculum sumens tanquam consecrans, et longius producens sermonem invocationis effecit, ut mixtura purpurea appareret et aliquando rubra, ut opinarentur ii, qui decipiebantur,

---

Cap. 12, 1. Hi vero qui sunt circa Ptolemaeum scientiores duas coniuges habere eum Bython dicunt, quas et dispositiones vocant, Ennoean et Thelesin. Primo enim mente concepit quidquam emittere, sicut dicunt, post deinde voluit. Quapropter duobus his affectibus et virtutibus, id est, Ennoeas et Theleseos velut commixtis in invicem, emissio Monogenis et Aletheiae secundum coniugationem facta est, quos typos et imagines duorum affectuum Patris egressas esse, invisibilium visibiles, Thelematis quidem Nun, Ennoeas autem Aletheian, et propter hoc adventiciae Voluntatis masculus est imago, innatae vero Ennoeae femininus, quoniam Voluntas velut virtus facta est Ennoeae. Cogitabat enim Ennoea semper emissionem, non tamen emittere ipsa per semetipsam poterat quae cogitabat, cum autem Voluntatis virtus advenit, tunc quod cogitabat emisit.

ἀρρενικός C M   29. *ἐπεὶ*] *ἐπὶ* C M   30. *Ἐνενοεῖτο*] *Ἐννοεῖν* C M   32. 33. *ἐπεγένετο* supplevimus ex Irenaeo   33. *ὃ* add. M   34. sqq. Cf. Iren. *c. haer.* I, 13. p. 59 sqq. ed. *Massuet.*   35. *ἐνεργῶν* Christ. Petersen: *δώρων* C M   37. *ἀκατανομάστων* C

φαίνεσθαι καί ποτε ἐρυθρόν, ὡς δοκεῖν τοὺς ἀπατωμένους χάριν τινὰ κατιέναι καὶ αἱματώδη δύναμιν παρέχειν τῷ πόματι. Ὁ δὲ πανοῦργος τότε μὲν πολλοὺς ἔλαθε, νυνὶ δὲ ἐλεγχόμενος παύσεται· φάρμακον γάρ τι τοιαύτην δυνάμενον χρόαν παρασχεῖν λαθραίως ἐνιῶν τῷ κεράσματι ἐπιπολὺ φλυαρῶν ἀνέμενεν, ὅπως τῆς ὑγρότητος μεταλαβὸν λυθῇ καὶ ἀναμιγὲν ἐπιχρωτίσῃ τὸ πόμα. Τὰ δὲ δυνάμενα τοῦτο παρασχεῖν φάρμακα ἐν τῇ κατὰ μάγων βίβλῳ προείπομεν ἐκθέμενοι, ὡς πολλοὺς πλανῶντες ἀφανίζουσιν, οἷς εἰ φίλον περιεργότερον τῷ εἰρημένῳ προσεπισχεῖν, εἴσονται τὴν Μάρκου πλάνην.

40. *Ὃς καὶ ποτήριον μικρότερον κιρνῶν ἐδίδου γυναικὶ εὐχαριστεῖν, αὐτὸς παρεστὼς καὶ ἕτερον κρατῶν ἐκείνου μεῖζον κενόν, καὶ εὐχαριστησάσης τῆς ἀπατωμένης δεξά|μενος ἐπέχει εἰς τὸν μείζω, καὶ πολλάκις ἀντεπιχέων ἕτερον εἰς ἕτερον ἐπέλεγεν οὕτως· Ἡ πρὸ τῶν ὅλων, [ἡ] ἀνεννόητος καὶ ἄρρητος χάρις πληρώσαι σου τὸν ἔσω ἄνθρωπον καὶ πληθύναι ἐν σοὶ τὴν γνῶσιν αὐτῆς, ἐγκατασπείρουσα τὸν κόκκον τοῦ σινάπεως εἰς τὴν ἀγαθὴν γῆν. Καὶ τοιαῦτα τινὰ ἐπειπὼν καὶ ἐκστήσας τήν τε ἀπατωμένην καὶ τοὺς παρόντας ὡς θαυματοποιὸς ἐνομίζετο, τοῦ μείζονος ποτηρίου πληρουμένου ἐκ τοῦ μικροτέρου ὡς καὶ ὑπερχεῖσθαι πλεονάζον. Καὶ τούτου δὲ τὴν τέχνην ὁμοίως ἐν τῇ προειρημένῃ βίβλῳ ἐξεθέμεθα δείξαντες πλεῖστα φάρμακα δυνάμενα αὔξησιν παρασχεῖν ἐπιμιγέντα οὕτως ὑγραῖς οὐσίαις, μάλιστα οἴνῳ κεκερασμένῳ, ὧν ἕν τι φάρμακον ἐν τῷ κενῷ ποτηρίῳ κρύβδην ἐ...ος .... χρισ.. ὡς μηδὲν ἔχον δείξας, ἐπιχέων ἐκ τ .... καὶ ἐπαναχέων, ἀναλυομένου τοῦ φαρμάκου ὑπὸ τῆς τοῦ ὑγροῦ μίξεως, ὄντος φυσώδους, πλεονασμὸς τοῦ κεράσματος ἐγίνετο καὶ ἐπὶ τοσοῦτον ηὔξανεν, ἐς ὅσον ἐπαναχυνόμενον ἐκινεῖτο, τοιαύτης οὔσης τῆς τοῦ φαρμάκου φύσεως· ὃ εἰ ἀπόθοιτό τις πληρωθέν, μετ᾽ οὐ πολὺ εἰς τὸ κατὰ φύσιν μέτρον πάλιν τραπήσεται, τῆς τοῦ φαρμάκου δυνάμεως σβεσθείσης τῇ τοῦ ὑγροῦ παραμονῇ. Διὸ μετὰ σπουδῆς τοῖς παροῦσι προσεδίδου πίνειν, οἱ δὲ ὡς θεῖόν τι καὶ θεῷ μεμελετημένον φρίσσοντες ἅμα καὶ σπεύδοντες ἔπινον.*

44. *λαθρέως* C   45. *μεταβαλὼν* C   45. 46. *ἐπιχωρίσῃ* C
50. *μικρότερον*] *παρ᾽ ἑτέρου* C M   54—57. Haec iisdem verbis apud Iren. *c. haer.* I, 13, 2. p. 61.   54. *ἡ ἀνεννόητος*] *ἀνεννόητος* C M

gratiam quandam descendere et sanguinolentam potestatem praebere potui. Vafer autem ille tum quidem multos decepit, nunc autem convictus desinet. Medicamentum enim, quod talem quendam potest colorem praebere, clam immittens in mixturam, multum nugans exspectabat, ut affectum humido liquesceret et admixtum inficeret potum. Medicamenta autem, quae hoc efficere possunt, in eo libro, qui est contra magos, praediximus, ubi exposuimus, quomodo multos decipientes seducant, quibus si cordi erit accuratius ad ea, quae dicta sunt, animum advertere, cognoscent Marci fraudes.

40. Qui et poculum minus miscens dabat mulierculae ad consecrandum, ipse adsistens et alterum manu tenens illo maius idque vacuum, et postquam consecravit mulier decepta, sumens infundebat in maius et identidem transfundens alterum in alterum addebat haec verba: *Illa, quae est ante omnia, incomprehensibilis et ineffabilis gratia impleat tuum intus hominem et augeat in te intelligentiam sui, inspargens granum sinapis in bonam terram.* Et talia quaedam affatus atque obstupefaciens et deceptam illam et qui adsunt tanquam miraculorum effector habebatur, cum maius poculum ex minore impleretur, ut vel superfunderetur abundans. Atque huius quoque artem in eo libro, quem praediximus, exposuimus, ubi demonstravimus plurima medicamenta posse augmentum praebere, cum in illum modum admixta sint humoribus, maxime vino temperato. Quorum unum aliquod medicamentum in vacuo poculo clanculum postquam sublevit, idque tanquam nihil insit monstravit, et affudit ex minore et rursus affudit, resoluto per mixturam humidi medicamento utpote flatuoso: abundavit mixtura et in tantum crevit, in quantum id quod affusum est movebatur, quoniam ista est medicamenti natura. Quod si quis seponat, non multo post in naturalem mensuram rursus abibit, medicamenti vi extincta humidi remansione. Ideo properanter iis qui aderant praebebat potum, illi autem tanquam divinum quiddam et deo meditatum horrentes simul et aventes bibebant.

Cf. Iren. 61. *ὁμοίως ἐν*] *ὡμοίωσε* 64. 65. Fort. *ἔμπροσθεν ἐπιχρίσας καὶ.* M 65. Fort. *τοῦ ἑτέρου ὀλίγον.* M: *τοῦ μικροτέρου?* 66. *ἀναλυομένου* Roeperus: *ἀναδυομένου* C M 69. *ἀποίθοιτο* C

41. *Τοιαῦτα δὲ καὶ ἕτερα ἐπεχείρει ὁ πλάνος ποιεῖν· διὸ ὑπὸ τῶν ἀπατωμένων ἐδοξάζετο, καὶ ποτὲ αὐτὸς ἐνομίζετο προφητεύειν, ποτὲ δὲ καὶ ἑτέρους ἐποίει, ὅτε μὲν καὶ διὰ δαιμόνων ταῦτα ἐνεργῶν, ὅτε δὲ καὶ κυβεύων, | ὡς προείπομεν. Πολλοὺς τοίνυν ἐξαφανίσας, καὶ πολλοὺς τοιούτους μαθητὰς αὐτοῦ γενομένους προεβίβασεν εὐκόλους μὲν εἶναι διδάξας πρὸς τὸ ἁμαρτάνειν, ἀκινδύνους δὲ διὰ τὸ εἶναι τῆς τελείας δυνάμεως καὶ μετέχειν τῆς ἀνεννοήτου ἐξουσίας· οἷς καὶ μετὰ τὸ βάπτισμα ἕτερον ἐπαγγέλλονται, ὃ καλοῦσιν ἀπολύτρωσιν, καὶ ἐν τούτῳ ἀναστρέφοντες κακῶς τοὺς αὐτοῖς παραμένοντας ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως, ὡς δυναμένους μετὰ τὸ ἅπαξ βαπτισθέντας πάλιν τυχεῖν ἀφέσεως, διὰ τοῦ τοιούτου πανουργήματος συνέχειν δοκοῦσι τοὺς ἀκροατάς, οὓς ἐπὰν νομίσωσι δεδοκιμάσθαι καὶ δύνασθαι φυλάσσειν αὐτοῖς τὰ πιστά, τότε ἐπὶ τοῦτο ἄγουσι μηδὲ τούτῳ μόνῳ ἀρκούμενοι, ἀλλὰ καὶ ἕτερόν τι ἐπαγγελλόμενοι πρὸς τὸ συγκρατεῖν αὐτοὺς τῇ ἐλπίδι, ὅπως ἀχώριστοι ὦσι. Λέγουσι γάρ τι φωνῇ ἀρρήτῳ, ἐπιτιθέντες χεῖρα τῷ τὴν ἀπολύτρωσιν λαβόντι, ὃ φάσκουσιν ἐξειπεῖν εὐκόλως μὴ δύνασθαι, εἰ μή τις εἴη ὑπερδόκιμος, ἢ ὅτε τελευτᾷ πρὸς τὸ οὖς ἐλθὼν λέγει ὁ ἐπίσκοπος. Καὶ τοῦτο δὲ πανούργημα πρὸς τὸ ἀεὶ παραμένειν τοὺς μαθητὰς τῷ ἐπισκόπῳ, γλιχομένους μαθεῖν τὸ τί ποτε εἴη τοῦτο ἐπ' ἐσχάτων λεγόμενον, δι' οὗ [τῶν] τελείων ἔσται ὁ μανθάνων· ἃ τούτου χάριν ἐσιώπησα, μή ποτέ τις κακοηθίζεσθαί με αὐτοὺς νομίσῃ, καὶ γὰρ οὐ τοῦτο ἡμῖν πρόκειται, ἀλλ' ἢ τὸ δεῖξαι, ὅθεν τὰς ἀφορμὰς λαβόντες αὐτοῖς τὰ δόξαντα ἐνεστήσαντο.*

42. *Καὶ γὰρ καὶ ὁ μακάριος πρεσβύτερος Εἰρηναῖος παρρησιαίτερον τῷ ἐλέγχῳ προσενεχθεὶς τὰ τοιαῦτα λούσματα καὶ ἀπολυτρώσεις ἐξέθετο, ἁδρομερέστερον εἰπὼν ἃ πράσσουσιν, οἷς ἐντυχόντες τινὲς αὐτῶν ἤρνην|ται οὕτως παρειληφέναι, ἀεὶ ἀρνεῖσθαι μανθάνοντες. Διὸ φροντὶς ἡμῖν γεγένηται ἀκριβέστερον ἐπιζητῆσαι καὶ ἀνευρεῖν λεπτομερῶς, ἃ καὶ ἐν τῷ πρώτῳ λουτρῷ παραδιδόασι, τὸ τοιοῦτο καλοῦντες, καὶ ἐν τῷ δευτέρῳ, ὃ ἀπολύτρωσιν καλοῦσιν. Ἀλλ' οὐδὲ τὸ ἄρρητον αὐτῶν ἔλαθεν ἡμᾶς. Ταῦτα δὲ συγκεχωρήσθω Οὐαλεντίνῳ καὶ τῇ αὐτοῦ*

76. *ποτὲ*] *ποτὲ μὲν* M 78. *Πολλὰς* C 81. *τὸ κυρίους εἶναι* susp. Roeperus 85. *ἀπολυτρώσεως, ὡς* Roeperus: *ἀπολυτρώσεως* C M 85. 86. Fort. *βαπτισθέντας πεσεῖν πάλιν.* M 86. *διὰ τοῦ* Roeperus: *καὶ διὰ τοῦ* C M

41. Talia vero et alia conabatur praestigiator ille facere, quapropter in eorum quos decepit admiratione erat, et aliquando ipse credebatur vaticinari, aliquando autem et alios instituebat, cum tum per daemones haec peragebat, tum vero et praestigiis, ut praediximus. Multos igitur, quos deceperat, multosque qui tales discipuli eius extiterunt, promovebat pronos esse ad peccandum edocens, immunes autem periculi, quia profiterentur perfectam virtutem et participes essent incomprehensibilis potestatis. Quibus etiam post baptismum alterum pollicentur, quam vocant Redemptionem, et in hoc male corrumpentes eos, qui apud se remanserunt spe Redemptionis, tanquam qui semel baptizati in peccatum relapsi denuo possint absolvi: tali fraude attinere videntur auditores suos, quos ubi arbitrantur probatos esse posseque ipsis arcana sua custodire, tum eo adducunt, et ne in eo quidem acquiescentes, sed etiam aliud quiddam pollicentes ad illos spe mulcendos, ut in perpetuum vinciantur. Loquuntur enim aliquid voce arcana manu imposita ei qui Redemptionem accepit, quod aiunt se facile eloqui non posse, nisi si quis sit maximopere probatus, aut quando moriatur, in aurem insusurret episcopus. Et haec vero fraus eo spectat, ut perpetuo remaneant discipuli apud episcopum, aventes discere, quid tandem sit illud quod in extremo prodatur, quo percepto in ordinem perfectorum evehatur discipulus. Quae eam ob causam tramisi, ne quis me illis obtrectare arbitretur; etenim non hoc nobis propositum est, praeterquam ostendere, unde profecti placita sua condiderint.

42. Etenim et beatus presbyter Irenaeus liberius coarguere illos aggressus tales lavationes et redemptiones exposuit, magis strictim elocutus quae patrant, quibus cum incidissent nonnulli eorum, infitiati sunt ita sese recepisse, quippe qui semper doceantur infitiari. Quamobrem nobis oborta est cura accuratius investigandi et indagandi singulatim, quae et in primo lavacro tradunt, quod ita appellant, et in altero, quod Redemptionem vocant. Sed ne secretum quidem eorum nos fugit. Haec autem concessa sunto Valentino eiusque asseclis.

89. 90. *ἐπαγγελόμενοι* C 96. *τῶν* add. M 98. *κακοηθείζεσθαι* C 1. *συνεστήσαντο* susp. Roeperus 3. 4. Iren. *c. haer.* I, 21. 4. 5. *οἷς ἐντυχόντες*] *οἱ ἐντυχόντες* C M, qui *εἰ καὶ* post *ἐντ.* inserendum censet.

σχολῇ. Ὁ δὲ Μάρκος μιμούμενος τὸν διδάσκαλον καὶ αὐτὸς ἀναπλάσσει ὅραμα, νομίζων οὕτως δοξασθήσεσθαι. Καὶ γὰρ Οὐαλεντῖνος φάσκει ἑαυτὸν ἑωρακέναι παῖδα νήπιον ἀρτιγέννητον, οὗ πυθόμενος ἐπιζητεῖ τίς ἂν εἴη, ὁ δὲ ἀπεκρίνατο λέγων, ἑαυτὸν εἶναι τὸν λόγον· ἔπειτα προσθεὶς τραγικόν τινα μῦθον ἐκ τούτου συνιστᾶν βούλεται τὴν ἐπικεχειρημένην αὐτῷ αἵρεσιν. Τούτῳ τὰ ὅμοια τολμῶν ὁ Μάρκος λέγει ἐληλυθέναι πρὸς αὐτὸν σχήματι γυναικείῳ τὴν τετράδα, ἐπειδή, φησί, τὸ ἄρρεν αὐτῆς ὁ κόσμος φέρειν οὐκ ἠδύνατο, καὶ μηνῦσαι αὐτὴν ἥτις ἦν, καὶ τὴν τῶν πάντων γένεσιν, ἣν οὐδενὶ πώποτε οὔτε θεῶν οὔτε ἀνθρώπων ἀπεκάλυψε, τούτῳ μόνῳ διηγήσασθαι οὕτως εἰποῦσαν· Ὅτε τὸ πρῶτον ὁ πατὴρ αὐτοῦ ὁ ἀνεννόητος καὶ ἀνούσιος, ὁ μήτε ἄρρεν μήτε θῆλυ, ἠθέλησεν αὐτοῦ τὸ ἄρρητον ῥητὸν γενέσθαι καὶ τὸ ἀόρατον μορφωθῆναι, ἤνοιξε τὸ στόμα καὶ προήκατο λόγον ὅμοιον αὐτῷ, ὃς παραστὰς ἐπέδειξεν αὐτῷ ὃ ἦν, αὐτὸς τοῦ ἀοράτου | μορφὴ φανείς. Ἡ δὲ ἐκφώνησις τοῦ ὀνόματος ἐγένετο τοιαύτη· ἐλάλησε λόγον τὸν πρῶτον τοῦ ὀνόματος αὐτοῦ, ἥτις ἦν ἀρχή, καὶ ἦν ἡ συλλαβὴ αὐτοῦ στοιχείων τεσσάρων, ἔπειτα συνῆψε τὴν δευτέραν, καὶ ἦν

Epiphan. *Haer.* XXXIV, 4. .... *αὐτὴν τὴν πανυπερτάτην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων τούτων τετράδα κατεληλυθέναι σχήματι γυναικείῳ πρὸς αὐτόν, ἐπειδή, φησί, τὸ ἄρρεν αὐτῆς ὁ κόσμος φέρειν οὐκ ἠδύνατο, καὶ μηνύσαι αὐτὴ τίς ἦν, καὶ τὴν τῶν πάντων γένεσιν, ἣν οὐδενὶ πώποτε οὐδὲ θεῶν οὐδὲ ἀνθρώπων ἀπεκάλυψε, τούτῳ μονωτάτῳ διηγήσασθαι οὕτως εἰποῦσαν· Ὅτε τὸ πρῶτον ὁ πατὴρ ὤδινεν ὁ ἀνεννόητος καὶ ἀνούσιος, ὁ μήτε ἄρρεν μήτε θῆλυ, ἠθέλησεν αὐτοῦ τὸ ἄρρητον γεννηθῆναι καὶ τὸ ἀόρατον μορφωθῆναι, ἤνοιξε τὸ στόμα καὶ προήκατο λόγον ὅμοιον αὐτῷ, ὃς παραστὰς ὑπέδειξεν αὐτῷ ὃ ἦν, αὐτὸς τοῦ ἀοράτου μορφὴ φανείς. Ἡ δὲ ἐκφώνησις τοῦ ὀνόματος ἐγένετο τοιαύτη· ἐλάλησε λόγον τὸν πρῶτον τοῦ ὀνόματος αὐτοῦ, ἥτις ἦν ἀρχή, καὶ ἦν ἡ συλλαβὴ αὐτοῦ στοιχείων τεσσάρων, ἐπισυνῆψε τὴν δευτέραν, καὶ*

---

13. 14. *ἄρτι γένητον* C 14. *εἴη*] *εἶναι* C 15. *ἑαυτῶν* C *τινα*] *λέγων* pr C 17. Quae sequuntur Hippolytus ex Irenaeo exscripsit, cuius ipsa verba versionemque veterem textui supposuimus

Marcus autem imitatus praeceptorem et ipse confingit visionem, arbitratus se hoc modo celebratum iri. Etenim Valentinus ait sese vidisse infantem recens natum, quem explorans inquirit quisnam sit, is autem respondit affirmavitque sese logum esse; deinde addens tragicam quandam fabulam ex hac constare vult quam instituit haeresin. Cui similia conatus Marcus ait ad sese venisse Tetradem habitu muliebri, (quandoquidem, inquit, virile eius mundus ferre non potuit) et ostendisse sese quae esset, et universorum ortum, quem nemini unquam neque deorum neque hominum revelavisset, huic soli enarravisse, his verbis usam: Cum principio Pater, [cuius pater nemo est] incomprehensibilis ille et insubstantialis, qui neque masculum neque femineum est, vellet ineffabile suum fieri effabile et invisibile figurari, aperuit os et protulit sermonem similem sui, qui prope adstitit et monstravit ei quid esset, idemque invisibilis illius figura apparuit. Elocutio autem nominis talis quaedam extitit: locutus est vocem primam nominis eius, quae quidem erat *ἀρχή,* et erat syllaba eius elementorum quattuor, deinde adiunxit secundam, eaque erat et ipsa quattuor littera-

---

Iren. *c. haer.* I, 14, 1. .... Illam quae est a summis et ab invisibilibus et innominabilibus locis quaternationem descendisse figura muliebri ad eum, (quoniam, inquit, eius masculinum mundus ferre non poterat) et ostendisse quoque semetipsam quae esset, et universorum genesim, quam nemini unquam neque deorum neque hominum revelavit, huic solo enarrasse ita dicentem: Quando primum Pater, cuius pater nemo est, qui est inexcogitabilis et insubstantivus, qui neque masculus neque femina est, voluit suum inenarrabile narrabile fieri et quod invisibile sibi est formari, aperuit os et protulit verbum simile sibi, quod adsistens ostendit ei quod erat ipse, cum invisibilis forma apparuisset. Enunciatio autem nominis facta est talis. Locutus est verbum primum nominis eius: fuit *ἀρχή,* et syllaba eius litterarum quattuor, coniunxit et secundam, et

---

22. *εἰποῦσα* C M   *αὐτοῦ*] *ὤδινεν* Epiphanius. Sed Irenaei lat. textus vitium arguit, cum offert: *cuius pater nemo est*, hoc est: *οὗ πατὴρ οὐδεὶς ἦν*   *ἀνενόητος* C   26. *μορφῇ* C

καὶ αὐτὴ στοιχείων τεσσάρων, ἑξῆς ἐλάλησε τὴν τρίτην, ἥτις ἦν στοιχείων δέκα, καὶ τὴν τετάρτην ἐλάλησε, καὶ ἦν καὶ αὐτὴ στοιχείων δώδεκα. Ἐγένετο οὖν τοῦ ὀνόματος ὅλου ἡ ἐκφώνησις στοιχείων [μὲν] τριάκοντα, συλλαβῶν δὲ τεσσάρων· ἕκαστον δὲ τῶν στοιχείων ἴδια γράμματα καὶ ἴδιον χαρακτῆρα καὶ ἰδίαν ἐκφώνησιν καὶ σχήματα καὶ εἰκόνας ἔχειν, καὶ μηθὲν αὐτῶν εἶναι, ὃ τὴν ἐκείνου καθορᾷ μορφήν, οὗπερ αὐτὸς στοιχεῖόν ἐστιν, οὐδὲ μὴν τὴν τοῦ πλησίον αὐτοῦ ἕκαστον ἐκφώνησιν γινώσκειν, ἀλλ' ὃ αὐτὸς ἐκφωνεῖ, ὡς τὸ πᾶν ἐκφωνοῦντα τὸ ὅλον ἡγεῖσθαι ὀνομάζειν αὐτόν· ἕκαστον γὰρ αὐτῶν μέρος ὄντα τοῦ ὅλου τὸν ἴδιον ἦχον ὡς τὸ πᾶν ὀνομάζειν καὶ μὴ παύσασθαι ἠχοῦντα, μέχρις ὅτου ἐπὶ τὸ ἔσχατον γράμμα τοῦ ἐσχάτου στοιχείου μονογλωττήσαντα καταντῆσαι. Τότε δὲ [καὶ] τὴν ἀποκατάστασιν τῶν ὅλων ἔφη γενέσθαι, ὅταν τὰ πάντα κατελθόντα εἰς τὸ ἓν γράμμα μίαν καὶ τὴν αὐτὴν ἐκφώνησιν ἠχήσῃ, | τῆς τε ἐκφωνήσεως εἰκόνα τὸ ἀμὴν ὁμοῦ λεγόντων ἡμῶν ὑπέθετο εἶναι. Τοὺς δὲ [φθόγγους] ὑπάρχειν τοὺς

ἦν καὶ αὐτὴ στοιχείων τεσσάρων, ἑξῆς ἐλάλησε τὴν τρίτην, καὶ ἦν καὶ αὐτὴ στοιχείων δέκα, καὶ τὴν μετὰ ταῦτα ἐλάλησε, καὶ ἦν καὶ αὐτὴ στοιχείων δεκαδύο. Ἐγένετο οὖν ἡ ἐκφώνησις τοῦ ὅλου ὀνόματος στοιχείων μὲν τριάκοντα, συλλαβῶν δὲ τεσσάρων· ἕκαστον δὲ τῶν στοιχείων ἴδια γράμματα καὶ ἴδιον χαρακτῆρα καὶ ἰδίαν ἐκφώνησιν καὶ σχήματα καὶ εἰκόνας ἔχειν, καὶ μηδὲν αὐτῶν εἶναι, ὃ τὴν ἐκείνου καθορᾷ μορφήν, οὗπερ αὐτὸς στοιχεῖόν ἐστιν, ἀλλὰ οὐδὲ γινώσκει αὐτόν, οὐδὲ μὴν τὴν τοῦ πλησίον αὐτοῦ ἕκαστον ἐκφώνησιν πολιορκεῖ, ἀλλὰ ὃ αὐτὸς ἐκφωνεῖ, ὡς τὸ πᾶν ἐκφωνοῦντα τὸ ὅλον ἡγεῖσθαι ὀνομάζειν· ἕκαστον γὰρ αὐτῶν μέρος ὂν τοῦ ὅλου τὸν ἴδιον ἦχον ὡς τὸ πᾶν ὀνομάζειν καὶ μὴ παύσασθαι ἠχοῦντα, μέχρις ὅτου ἐπὶ τὸ ἔσχατον γράμμα τοῦ ἑκάστου στοιχείου μονογλωσσήσαντος καταστῆσαι. Τότε δὲ καὶ τὴν ἀποκατάστασιν τῶν ὅλων ἔφη γενέσθαι, ὅταν τὰ πάντα κατελθόντα εἰς τὸ ἓν γράμμα μίαν καὶ τὴν αὐτὴν ἐκφώνησιν ἠχήσῃ, ἧς ἐκφωνήσεως εἰκόνα τὸ ἀμὴν ὁμοῦ λεγόντων ἡμῶν ὑπέθετο εἶναι. Τοὺς δὲ φθόγγους ὑπάρχειν τοὺς

---

30. *ἑξῆς ἐλάλησε*] *ἐξελάλησε* C 31. *στοιχείω* C 33. *μὲν* om C 36. *οὗπερ αὐτὸς*] *οὗπερ αὐτὸ* C M. Cf. Iren. 37. *ἐστιν, οὐδὲ μὴν*] *ἐστι, τόνου δὲ μὴν* C 38. *ἀλλ' ὃ αὐτὸς ἐκφωνεῖ*] *ἄλλο*

rum, deinceps locutus est tertiam, quae quidem erat elementorum decem, quartamque elocutus est, eaque erat et ipsa duodecim elementorum. Erat igitur totius nominis elocutio elementorum triginta, syllabarum autem quattuor. Unumquodque autem elementorum suas litteras et suam speciem et suum sonum et figuras et imagines habere, neque ullum eorum esse, quod illius pervideat speciem, cuius ipse elementum est, neque vero vicini sui quemque elocutionem nosse, sed, quod ipse eloquatur, tanquam universum elocutum totum arbitrari appellare eum. Unumquemque enim eorum, cum pars sit universi, suum sonum tanquam totum appellare, nec desinere sonantem, donec ad extremam litteram extremi elementi singulatim eloquens deveniat. Tum autem et redintegrationem universorum dixit fieri, cum cuncta degressa in unam litteram unam eandemque elocutionem sonarent, elocutionisque imaginem *Amen* simul dicentibus nobis statuit esse. Sonos autem esse eos, qui figu-

---

fuit haec litterarum quattuor; post locutus est et tertiam, et fuit haec litterarum X, et eam quae est post haec locutus est, et fuit ipsa litterarum XII. Facta est ergo enunciatio universi nominis litterarum XXX, syllabarum autem quattuor; unumquodque autem elementorum suas litteras et suum characterem et suam enunciationem et figurationes et imagines habere, et nihil eorum esse, quod illius videat formam, quod ipsum super elementum est, sed nec cognoscere eum, sed ne quidem proximi eius unum quodque enunciationem scire, sed quod ipse enunciat, ita omne quod enunciat, illud quod est totum nominet. Unumquodque enim ipsorum, pars existens totius, suum sonum quasi omne nominare, et non cessare sonantia, quoad usque ad novissimam litteram novissimi elementi singulariter enunciata deveniant. Tunc autem et redintegrationem universorum dicit futuram, quando omnia devenientia in unam litteram unam et eandem consonationem sonant, cuius exclamationis imaginem esse *Amen* simul dicentibus nobis tradidit.

μηδὲ ἐκφωνεῖν C: *ἄλλὰ μηδὲ ἐκφωνεῖν* M. Cf. Iren. 38. 39. *τὸ ὅλον*] *ὅτι τὸ* C Cf. Iren. 40. 41. *παύσας* C 42. *μονογλωττήσαντι* C M Cf. Iren. lat. *καὶ* om C M Cf. Iren. 44. 45. *ἐκφώνησιν ἠχήσῃ, τήν τε ἐκφώνησιν ἠχήσῃ* (sic) C 46. *φθόγγους* om C

μορφοῦντας τὸν ἀνούσιον καὶ ἀγέννητον αἰῶνα, καὶ εἶναι τούτους μορφάς, ἃς ὁ κύριος ἀγγέλους εἴρηκε, τὰς διηνεκῶς βλεπούσας τὸ πρόσωπον τοῦ πατρός.

43. Τὰ δὲ ὀνόματα τῶν στοιχείων τὰ κοινὰ καὶ ῥητὰ αἰῶνας καὶ λόγους καὶ ῥίζας καὶ σπέρματα καὶ πληρώματα καὶ καρποὺς ὠνόμασε· τὰ δὲ καθ' ἕνα αὐτῶν καὶ ἑκάστου ἴδια ἐν τῷ ὀνόματι τῆς ἐκ[κλησίας] ἐμπεριεχόμενα νοεῖσθαι. Ὧν στοιχείων τοῦ ἐσχάτου στοιχείου τὸ ὕστερον [γράμμα] φωνὴν προήκατο τὴν ἑαυτοῦ, οὗ ὁ ἦχος ἐξελθὼν [κατ'] εἰκόνα τῶν στοιχείων στοιχεῖα ἴδια ἐγέννησεν, ἐξ ὧν τά τε ἐνταῦθα διακεκοσμῆσθαί φησι, καὶ τὰ πρὸ τούτων γεγενῆσθαι. Τὸ μέντοι γράμμα αὐτό, οὗ ὁ ἦχος ἦν συνεπακολουθῶν τῷ ἤχῳ κάτω, ὑπὸ τῆς συλλαβῆς τῆς ἑαυτοῦ ἀνειλῆφθαι ἄνω λέγει εἰς ἀναπλήρωσιν τοῦ ὅλου, μεμενηκέναι δὲ εἰς τὰ κάτω τὸν ἦχον, ὥσπερ ἔξω ῥιφέντα. Τὸ δὲ στοιχεῖον αὐτό, ἀφ' οὗ τὸ γράμμα σὺν τῇ ἐκφωνήσει τῇ ἑαυτοῦ κατῆλθε | κάτω, γραμμάτων φησὶν εἶναι τριάκοντα, καὶ ἓν ἕκαστον τῶν τριάκοντα γραμμάτων ἐν

μορφοῦντας τὸν ἀνούσιον καὶ ἀγέννητον αἰῶνα, καὶ εἶναι τούτους μορφάς, ἃς ὁ κύριος ἀγγέλους εἴρηκε, τὰς δὲ διηνεκῶς βλεπούσας τὸ πρόσωπον τοῦ πατρός. Τὰ δὲ ὀνόματα τῶν στοιχείων τὰ ῥητὰ καὶ κοινὰ αἰῶνας καὶ λόγους καὶ ῥίζας καὶ σπέρματα καὶ πληρώματα καὶ καρποὺς ὠνόμασε· τὰ δὲ καθ' ἕνα αὐτῶν καὶ ἑκάστου ἴδια ἐν τῷ ὀνόματι τῆς ἐκκλησίας ἐμπεριεχόμενα νοεῖσθαι ἔφη, ὡς στοιχείου τὸ ὕστερον γράμμα φωνὴν προήκατο τὴν αὐτοῦ, οὗ ἦχος ἐξελθὼν κατ' εἰκόνα τῶν στοιχείων στοιχεῖα ἴδια ἐγέννησεν, ἐξ ὧν τά τε ἐνταῦθα κατακεκοσμῆσθαί φησι καὶ τῶν πρὸ τούτων γεγενῆσθαι. Τὸ μέντοι γράμμα αὐτὸ τὸ [sic] ἦχος τῷ ἤχει, οὗ ὁ ἦχος ἦν συνεπακολουθῶν τῷ ἤχει, καὶ τὸ ὑπὸ τῆς συλλαβῆς τῆς ἑαυτοῦ ἀνειλῆφθαι ἄνω λέγειν εἰς ἀναπλήρωσιν τοῦ ὅλου, μεμενηκέναι δὲ εἰς τὰ κάτω τὸν ἦχον, ὥσπερ ἔξω ῥιφέντα. Τὸ δὲ στοιχεῖον αὐτό, ἀφ' οὗ τὸ γράμμα σὺν τῇ ἐκφωνήσει τῇ ἑαυτοῦ συγκατῆλθε κάτω, ὃ γραμμάτων εἶναί φησι τριάκοντα, καὶ ἓν ἕκαστον τῶν

---

47. ἀγένητον C 48. 49. Cf. Matth. 18,10. 50. ῥητὰ] ῥήματα C M 52. ὠνόμασε· τὰ δὲ καθ' ἕνα αὐτῶν] τὸ καθ' ἑαυτῶν C 53. ἴδια] ἰδίᾳ C M 53. 54. νοεῖσθαι. Ὧν στοιχείων τοῦ] νοεῖσθαι τῶν στοιχείων. Τοῦ C M 54.

rent insubstantialem et non generatum aeonem, et esse hos figuras, quas dominus angelos dixit, quae perpetuo cernant faciem Patris.

43. Nomina autem elementorum communia et effabilia Aeones et Logos et Radices et Semina et Pleromata et Fructus appellavit, singula autem eorum et uniuscuiusque propria in nomine Ecclesiae una comprehensa intelligi. Quorum elementorum ultimi posterior littera vocem edidit suam, cuius sonus egressus ad instar elementorum elementa propria generavit, ex quibus et ea quae hic sunt exornata esse ait, et generata quae erant ante haec. Ipsam quidem litteram, cuius sonus simul sequebatur sonum deorsum, a syllaba ipsius receptam esse sursum dicit ad complementum universi, mansisse autem sonum inferne demissum tanquam foras proiectum. Elementum autem ipsum, a quo littera cum pronunciatione sua devenit deorsum, litterarum ait esse triginta, et unamquamque triginta illarum litterarum in sese habere alias litteras, per quas

---

Sonos autem eos esse, qui formant insubstantivum et ingenitum aeona, et esse hos formas, quas dominus angelos dixit, quae sine intermissione vident faciem Patris.

2. Nomina autem elementorum communia et enarrabilia Aeonas et Verba et Radices et Semina et Plenitudines et Fructus vocavit. Singula autem ipsorum et uniuscuiusque propria in nomine Ecclesiae contineri et intelligi ait. Quorum elementorum novissimi elementi ultima littera vocem emisit suam, cuius sonus exiens secundum imaginem elementorum elementa propria generavit, ex quibus et quae sunt hic disposita dicit, et ea, quae sunt ante haec, generata. Ipsam quidem litteram, cuius sonus erat consequens sonum deorsum, a syllaba sua sursum receptam dicit ad impletionem universi, remansisse autem deorsum sonum quasi foras proiectum. Elementum autem ipsum, ex quo littera cum enunciatione sua descendit deorsum, litterarum ait esse XXX, et unamquamque ex his XXX litteris in semetipsa habere alias litteras, per

---

γράμμα om C   55. *κατ' εἰκόνα*] *ἱκανὰ* C: *εἰκόνας* M   57. *διακεκομεῖσθαι* C   59. *κάτω*] *καὶ τῷ* C   60. *τοῦ ὅλου*] *τούτου ὅλου* C   62. *σὺν τῇ*] *συνέστη* C   63. *τριάκοντα,*] *τριάκοντα γραμμάτων,* C

ἑαυτῷ ἔχειν ἕτερα γράμματα, δι' ὧν τὸ ὄνομα τοῦ γράμματος ὀνομάζεται, καὶ μὴν πάλιν τὰ ἕτερα δι' ἄλλων ὀνομάζεσθαι γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων, ὥστε εἰς ἄπειρον ἐκπίπτειν τὸ πλῆθος, ἰδίᾳ τῶν γραμμάτων γραφέντων. Οὕτως δ' ἂν σαφέστερον μάθοι τις τὸ λεγόμενον· Τὸ δέλτα στοιχεῖον γράμματα ἔχει ἐν ἑαυτῷ πέντε, τὸ δέλτα, καὶ τὸ εἶ, καὶ τὸ λάμβδα, καὶ τὸ ταῦ, καὶ τὸ ἄλφα, καὶ αὐτὰ ταῦτα τὰ γράμματα δι' ἄλλων [γράφεται γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων]. Εἰ οὖν ἡ πᾶσα ὑπόστασις τοῦ δέλτα εἰς ἄπειρον ἐκπίπτει, ἀεὶ ἄλλων ἄλλα γράμματα γεννώντων καὶ διαδεχομένων ἄλληλα, πόσῳ μᾶλλον ἐκείνου τοῦ στοιχείου μείζον' εἶναι τὸν πόντον τῶν γραμμάτων; καὶ εἰ τὸ ἓν γράμμα ἄπειρον οὕτως, ὁρᾶτε ὅλου τοῦ ὀνόματος τὸν βυθὸν τῶν γραμμάτων, ἐξ ὧν τὸν προπάτορα ἡ Μάρκου φιλοπονία, μᾶλλον δὲ ματαιοπονία βούλεται συνιστᾶν. Διὸ καὶ τὸν πατέρα ἐπιστάμενον τὸ ἀχώρητον αὐτοῦ δεδωκέναι τοῖς στοιχείοις, ἃ καὶ αἰῶνας καλεῖ, ἑνὶ ἑκάστῳ αὐτῶν τὴν ἰδίαν ἐκφώνησιν ἐκβοᾶν, διὰ τὸ μὴ δύνασθαι ἕνα τὸ ὅλον ἐκφωνεῖν.

44. *Ταῦτα δὲ σαφηνίσασαν αὐτῷ τὴν τετρακτὺν εἶπαι.*|

τριάκοντα γραμμάτων ἐν ἑαυτῷ ἔχειν ἕτερα γράμματα, δι' οὗ τὸ ὄνομα τοῦ γράμματος ὀνομάζεται, καὶ αὖ πάλιν τὰ ἕτερα δι' ἄλλων ὀνομάζεσθαι γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων, ὡς εἰς ἄπειρον ἐκπίπτειν τὸ πλῆθος τῶν γραμμάτων. Οὕτω δ' ἂν σαφέστερον μάθοις τὸ λεγόμενον·

5. *Τὸ δέλτα στοιχεῖον γράμματα ἐν ἑαυτῷ ἔχει πέντε, αὐτὸ δὲ τὸ δέλτα καὶ τὸ ε̅ καὶ τὸ λάμβδα καὶ τὸ ταῦ καὶ τὸ ἄλφα, καὶ ταῦτα πάλιν τὰ γράμματα δι' ἄλλων γράφεται γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων. Εἰ οὖν ἡ πᾶσα ὑπόστασις του δέλτα εἰς ἄπειρον ἐκπίπτει, ἀεὶ ἄλλων ἄλλα γράμματα γεννώντων καὶ διαδεχομένων ἄλληλα, πόσῳ μᾶλλον ἐκείνου τοῦ στοιχείου μεῖζον εἶναι τὸ πέλαγος τῶν γραμμάτων; καὶ εἰ τὸ ἓν γράμμα οὕτως ἄπειρον, ὅρα ὅλου τοῦ ὀνόματος τὸν βυθὸν τῶν γραμμάτων, ἐξ ὧν τὸν προπάτορα ἡ Μάρκου σιγὴ συνεστάναι ἐδογμάτισε. Διὸ καὶ τὸν πατέρα ἐπιστάμενον τὸ ἀχώρητον αὐτοῦ δεδωκέναι τοῖς στοιχείοις, ἃ καὶ αἰῶνας καλεῖ, ἑνὶ ἑκάστῳ αὐτῶν τὴν ἰδίαν ἐκφώνησιν ἐκβοᾶν, διὰ τὸ μὴ δύνασθαι ἕνα τὸ ὅλον ἐκφωνεῖν. Ταῦτα δὲ σαφηνίσασαν αὐτῷ τὴν τε-*

---

67. *ἰδίᾳ — γραφέντων*] *διὰ τῶν γραμμάτων γραφέντος* C Cf. Iren.

nomen litterae appellatur, rursus autem alias illas litteras per alias appellari litteras, et alias has per alias, ut in infinitum evadat multitudo singulatim litteris scriptis. In hunc autem modum apertius discat quispiam id quod dicimus: Delta elementum constat litteris quinque, *Δ, E, Λ, T, Λ,* et hae ipsae litterae aliis scribuntur litteris, et hae aliae rursus aliis. Si igitur universa substantia litterae Delta in infinitum evadit, cum semper aliae litterae alias generent et sese excipiant invicem, quanto magis illius elementi esse maius mare litterarum? Et si una sola littera sic infinita, videte universi nominis profunditatem litterarum, ex quibus Propatorem Marci laboriositas, vel dicam prava sedulitas vult constare. Quapropter Patrem, qui nosset se comprehendi non posse, dedisse elementis, quae et aeones vocat, unicuique illorum proprium sonum effari, quandoquidem unus non possit universum eloqui.

44. His autem expositis Tetractyn ei dixisse: Iam volo

---

quas nomen litterae nominatur, et rursus alias per alias nominari litteras, et alias per alias, ita ut in immensum decidat multitudo litterarum. Sic autem planius disces quod dicitur: Delta elementum litteras habet in se quinque, et ipsum *Δ* et *E* et *Λ* et *T* et *Λ*, et hae rursus litterae per alias scribuntur litteras, et aliae per alias. Si ergo universa substantia Deltae in immensum decidit, aliis alias litteras generantibus et succedentibus alterutrum, quanto magis illius elementi maius esse pelagus litterarum? Et si una littera sic immensa est, vide totius nominis profundum litterarum, ex quibus Propatora Marci Silentium constare docuit. Quapropter et Patrem scientem incapabile suum dedisse elementis, quae et Aeonas vocat, unicuique eorum suam enunciationem exclamare, eo quod non possit unum illud quod est totum enunciare.

---

69. *ἔχει*] *ἔχειν* C M *τὸ $\overline{ει}$* C: *τὸ $\overline{ε}$* M *τὸ λάβδα* C 71. Uncinis inclusa ex Irenaeo suppleta om C M 74. *μείζον' εἶναι τὸν πόντον*] *μεῖζον εἶναι τὸν τόπον* C: *μεῖζον εἶναι τὸ πέλαγος* M Irenaeum secutus 75. *οὕτως, ὁρᾶτε*] *οὕτως ὡς ὁρᾶται* C Cf. Iren. 78. *ἐπιστάμενος* C 81. *τὸ ὅλων* 82. *εἶπαι*] *εἶπε* C M

Θέλω δή σοι καὶ αὐτὴν ἐπιδεῖξαι τὴν ἀλήθειαν· κατήγαγον γὰρ αὐτὴν ἐκ τῶν ὕπερθεν δωμάτων, ἵνα ἴδῃς αὐτὴν γυμνὴν καὶ καταμάθῃς αὐτῆς τὸ κάλλος, ἀλλὰ καὶ ἀκούσῃς αὐτῆς λαλούσης καὶ θαυμάσῃς τὸ φρόνημα αὐτῆς. Ὅρα οὖν κεφαλήν, φησίν, ἄνω τὸ πρῶτον ἄλφα ω, τράχηλον τὸ δὲ βψ, ὤμους [ἅμα χερσὶ] γχ, στήθη δέλτα φ, [δια]φράγμα εν, κοιλίαν ζτ, αἰδοῖα ησ, μηροὺς θρ, γόνατα ιπ, κνήμας κο, σφυρὰ λξ, πόδας μν. Τουτέστι τὸ σῶμα τῆς κατὰ τὸν Μάρκον ἀληθείας, τοῦτο τὸ σχῆμα τοῦ στοιχείου, οὗτος ὁ χαρακτὴρ τοῦ γράμματος. Καὶ καλεῖ τὸ στοιχεῖον τοῦτο ἄνθρωπον· εἶναί τε πηγήν φησι παντὸς λόγου, καὶ ἀρχὴν πάσης φωνῆς, καὶ παντὸς ἀρρήτου ῥῆσιν, καὶ τῆς σιωπωμένης σιγῆς στόμα. Καὶ τοῦτο τὸ σῶμα αὐτῆς. Σὺ δὲ μετάρσιον ἐγείρας τῆς διανοίας νόημα, τὸν [αὐτο]γεννήτορα καὶ πατροδότορα λόγον ἀπὸ στομάτων ἀληθείας ἄκουε.

45. *Ταῦτα δὲ ταύτης εἰπούσης, προσβλέψασαν αὐτῷ τὴν ἀλήθειαν καὶ ἀνοίξασαν τὸ στόμα λαλῆσαι λόγον, τὸν δὲ λό-*

τρακτὺν εἰπεῖν· Θέαν δή σοι καὶ αὐτὴν ἐπιδεῖξαι τὴν ἀλήθειαν· κατήγαγον γὰρ αὐτὴν ἐκ τῶν ὕπερθεν δομάτων, ἵν' ἐσίδῃς αὐτὴν γυμνὴν καὶ καταμάθοις τὸ κάλλος αὐτῆς, ἀλλὰ καὶ ἀκούσῃς αὐτῆς λαλούσης καὶ θαυμάσῃς τὸ φρόνημα αὐτῆς. Ὅρα οὖν κεφαλὴν ἄνω τὸ ἄλφα καὶ τὸ ω, τράχηλον δὲ β καὶ ψ, ὤμους ἅμα χερσὶ γ καὶ χ, στήθη δ καὶ φ, διάφραγμα ε καὶ υ, νῶτον ζ καὶ τ, κοιλίαν η καὶ σ, μηροὺς θ καὶ ρ, γόνατα ι καὶ π, κνήμας κ καὶ ο, σφυρὰ λ καὶ ξ, πόδας μ καὶ ν. Τοῦτό ἐστι τὸ σῶμα τῆς κατὰ τὸν μάγον ἀληθείας, τοῦτο τὸ σχῆμα τοῦ στοιχείου, οὗτος ὁ χαρακτὴρ τοῦ γράμματος. Καὶ καλεῖ τὸ στοιχεῖον τοῦτο ἄνθρωπον· εἶναί τε πηγήν φησιν αὐτὸ παντὸς λόγου καὶ ἀρχὴν πάσης φωνῆς καὶ παντὸς ἀρρήτου ῥῆσιν καὶ τῆς σιωπωμένης σιγῆς στόμα. Καὶ τοῦτο μὲν τὸ σῶμα αὐτῆς. Σὺ δὲ μετάρσιον ἐγείρας διανοίας νόημα τὸν αὐτὸν γεννήτορα καὶ πατροδότορα λόγον ἀπὸ στομάτων ἀληθείας ἄκουε.

6. *Ταῦτα δὲ ταύτης εἰπούσης, προσβλέψασαν αὐτῷ τὴν ἀλήθειαν καὶ ἀνοίξασαν τὸ στόμα λαλῆσαι λόγον, τὸν δὲ λόγον*

---

83. *δή*] *δέ* C M 84. *δομάτων* C M 87. *τὸ δὲ*] an *τὸ δεύτερον?*
88. *ἅμα χερσὶ* om C M *φράγμα* C M *εν*] *ε* C M *ζτ*] *βτ* C M

ipsam tibi Veritatem ostendere; deduxi enim eam ex supernis aedibus, ut conspiceres eam nudam et cognosceres eius pulcritudinem, verum etiam auscultares ei loquenti eiusque prudentiam admirarere. Specta igitur caput primum superne *AΩ*, cervicem *BΨ*, humeros [una cum manibus] *ΓX*, pectus *ΔΦ*, praecordia *EY*, ventrem *ZT*, verenda *HΣ*, lumbos *ΘP*, genua *IΠ*, tibias *KO*, talos *ΛΞ*, pedes *MN*. Hoc est corpus secundum Marcum Veritatis, haec species elementi, haec indoles litterae. Et vocat hoc elementum Hominem, et esse dicit fontem universi sermonis et principium omnis vocis et universi ineffabilis dictionem Silentiique, quod tacetur, os. Et hoc corpus eius. Tu vero sublimem excitans mentis intelligentiam accipe genialem et patrium sermonem ex ore Veritatis.

45. Haec cum illa dixisset, intuentem eum Veritatem ore aperto locutam esse sermonem, sermonem autem nomen exti-

---

3. Haec itaque exponentem ei quaternationem dixisse: Volo autem tibi et ipsam ostendere Veritatem; deposui enim illam de superioribus aedificiis, ut circumspicias eam nudam et intuearis formositatem eius, sed et audias eam loquentem et admireris sapientiam eius. Vide quid igitur in caput eius sursum primum *A* et *Ω*, collum autem *B* et *Ψ*, humeros cum manibus *Γ* et *X*, pectus *Δ* et *Φ*, cinctum *E* et *Y*, ventrem *Z* et *T*, verenda *H* et *Σ*, femora *Θ* et *P*, genua *I* et *Π*, tibias *K* et *O*, crura *Λ* et *Ξ*, pedes *M* et *N*. Hoc est corpus eius quae est secundum magum Veritatis, haec figura elementi, hic character litterae. Et vocat elementum hoc Hominem; esse autem fontem ait eum omnis verbi et initium universae vocis et omnis inenarrabilis enarrationem et taciti Silentii os. Et hoc quidem corpus eius. Tu autem sublimius allevans sensus intelligentiam autogenitora et patrodotora verbum ab ore Veritatis audi.

4. Haec autem cum dixisset illa, attendentem ad eum Veritatem et aperientem os locutam esse verbum, verbum au-

---

89. $\overline{\eta\sigma}$] $\overline{\varkappa\sigma}$ C M 92. *φήσει* C 95. *τὸ τῆς διανοίας* M, qui spatium vacuum esse in C ait 95. 96. *αὐτογεννήτορα*] *γεννήτορα* C M 96. *πατροδότορα*] *προπάτορα* C M

γον ὄνομα γενέσθαι, καὶ τὸ ὄνομα εἶναι τοῦτο, ὃ γινώσκομεν καὶ λαλοῦμεν, Χριστὸν Ἰησοῦν, ὃ καὶ ὀνομάσασαν αὐτὴν παραυτίκα σιωπῆσαι. Προσδο|κῶντος δὲ τοῦ Μάρκου πλεῖον αὐτὴν μέλλειν τι λέγειν, πάλιν ἡ τετρακτὺς παρελθοῦσα εἰς τὸ μέσον φησίν· Οὕτως εὐήθη ἡγήσω τὸν λόγον τοῦτον, [ὃν] ἀπὸ στομάτων τῆς ἀληθείας ἤκουσας· οὐ τοῦτο, ὅπερ οἶδας καὶ δοκεῖς ἔχειν πάλαι, τουτέστιν ὄνομα· φωνὴν γὰρ ἔχεις μόνον αὐτοῦ, τὴν δὲ δύναμιν ἀγνοεῖς. Ἰησοῦς μὲν γάρ ἐστιν ἐπίσημον ὄνομα, ἓξ ἔχον γράμματα, ὑπὸ πάντων τῶν τῆς κλήσεως ἐπικαλούμενον. Τὸ δὲ παρὰ τοῖς [πέντε] αἰῶσι τοῦ πληρώματος πολυμερὲς τυγχάνον ἄλλης ἐστὶ μορφῆς καὶ ἑτέρου τύπου, γινωσκόμενον ὑπ' ἐκείνων τῶν συγγενῶν, ὧν τὰ μεγέθη παρ' αὐτῷ ἐστι διὰ παντός.

46. Ταῦτα τὰ παρ' ὑμῖν εἰκοσιτέσσαρα γράμματα ἀπορροίας γίνωσκε ὑπάρχειν τῶν τριῶν δυνάμεων [εἰκονικ]ὰς τῶν ἐμπεριεχουσῶν τὸν ὅλον [καὶ] τῶν ἄνω στοιχείων ἀριθμόν. Τὰ μὲν γὰρ ἄφωνα γράμματα ἐννέα νόμισον εἶναι τοῦ πατρὸς καὶ τῆς ἀληθείας διὰ τὸ ἀφώνους αὐτοὺς εἶναι, τουτέστιν ἀρρή-

---

ὄνομα γενέσθαι, καὶ τὸ ὄνομα γενέσθαι τοῦτο, ὃ γινώσκομεν καὶ λαλοῦμεν, Χριστὸν Ἰησοῦν, ὃ καὶ ὀνομάσασαν αὐτὴν παρ' αὐτῇ καὶ σιωπήν. Προσδοκῶντος δὲ τοῦ Μάρκου πλεῖόν τι μέλλειν αὐτὴν λέγειν, πάλιν ἡ τετρακτὺς παρελθοῦσα εἰς τὸ μέσον φησίν· Ὡς εὐκαταφρόνητον ἡγήσω τὸν λόγον, ὃν ἀπὸ στομάτων τῆς ἀληθείας ἤκουσας· οὐ τοῦθ' ὅπερ οἶδας καὶ δοκοῖς (δοκεῖς Cod. reg.) παλαιόν ἐστιν ὄνομα· φωνὴν γὰρ μόνον ἔχεις αὐτοῦ, τὴν δὲ δύναμιν ἀγνοεῖς. Ἰησοῦς μὲν γάρ ἐστιν ἐπίσημον ὄνομα, ἓξ ὧν γράμματα, ὑπὸ πάντων τῶν τῆς κλήσεως γινωσκόμενον. Τὸ δὲ παρὰ τοῖς αἰῶσι τοῦ πληρώματος πολυμερὲς τυγχάνον ἄλλης ἐστὶ μορφῆς καὶ ἑτέρου τύπου, γινωσκόμενον ὑπ' ἐκείνων τῶν συγγενῶν, ὧν τὰ μεγέθη παρ' αὐτῶν ἐστι διαπαντός. Ταῦτ' οὖν τὰ παρ' ὑμῖν εἰκοσιτέσσαρα γράμματα ἀπορροίας ὑπάρχειν γίνωσκε τῶν τριῶν δυνάμεων εἰκονικὰς τῶν περιεχουσῶν τὸν ὅλον τῶν ἄνω στοιχείων τὸν ἀριθμόν. Τὰ μὲν γὰρ ἄφωνα γράμματα ἐννέα νόμισον εἶναι τοῦ πατρὸς καὶ τῆς ἀληθείας διὰ τὸ ἀφώνους αὐτοὺς εἶναι, τουτέστιν

---

3. Προσδοκοῦντος C 5. φησίν· Οὕτως εὐήθη ἡγήσω R. Scottus: φησὶν οὕτως· Ἡπηθνήγησω C: φησὶν οὕτως· Ἦ πηλὸν ἡγήσω M ὃν add. M

tisse, et nomen esse hoc, quod novimus et loquimur, Christum Iesum, quod elocutam illam ilico conticuisse. Exspectante autem Marco plura eam locuturam, rursus Tetractys in medium progressa dicit: Tam exilem arbitratus es hunc sermonem, quem ex ore Veritatis audiisti; non hoc, quod nosti viderisque tibi dudum tenere, hoc est nomen; vocem enim solam tenes eius, vim autem ignoras. Iesus enim est insigne nomen, sex habens litteras, ab omnibus, qui sunt ex vocatis, invocatum. Alterum autem (h. e. Christus), quod est apud Aeones pleromatis multiplex, alia est facie et diversa forma, quod cognoscitur ab illis cognatis, quorum magnitudines sunt apud eum perpetuo.

46. Has vestras viginti quattuor litteras scito tanquam imagines emanavisse ex illis tribus potestatibus, quae amplectuntur elementorum quae superne sunt universum numerum. Novem enim mutas litteras tibi persuade esse Patris et Veritatis,

---

tem nomen factum, et nomen esse hoc, quod scimus et loquimur, Christum Iesum, quod cum nominasset statim tacuit. Cum autem putaret Marcus plus aliquid eam dicturam, rursus quaternatio veniens in medium ait: Tanquam contemptibile putasti esse verbum, quod ab ore Veritatis audisti. Non hoc, quod scis et putas habere olim est nomen; vocem enim tantum habes eius, virtutem autem ignoras. Iesus autem est insigne nomen, sex habens litteras, ab omnibus qui sunt vocationis cognitum. Illud autem, quod est apud aeonas pleromatis, cum sit multifariam existens, alterius est formae et alterius typi, quod intelligitur ab ipsis, qui sunt cognati eius, quorum magnitudines apud eum sunt semper.

5. Has igitur, quae apud nos sunt viginti quattuor litterae, emanationes esse intellige trium virtutum imaginales, earum quae continent universum quae sunt sursum elementorum numerum. Mutas enim litteras novem puta esse Patris et Veritatis, quoniam sine voce sint, hoc est et inenarrabiles

---

6. *ἀληθείας. Ἤκουσά σου τοῦτο ὅπερ* C 9. *πάντων τῆς* omisso *τῶν* C M 10. *ἐπικαλούμενον*] *ἐγκαλούμενα* C M *πέντε*, quod neque Epiphanius neque Irenaeus lat. norunt, per errorem irrepsit in C 15. *εἰκονικὰς*] [*καὶ εἰκόν*]*ας* M 16. *ὅλον*] *ὅρον* C M *καὶ* uncinis inclusimus Ante *τῶν* inserendum esse *τὸν* censet M

τους καὶ ἀνεκλαλήτους· τὰ δὲ ἡμίφωνα, ὀκτὼ ὄντα, τοῦ λόγου καὶ τῆς ζωῆς, διὰ τὸ μέσα ὥσπερ ὑπάρχειν τῶν τε ἀφώνων καὶ τῶν φωνηέντων, καὶ ἀναδεδέχθαι τῶν μὲν ὕπερθεν τὴν ἀπόρροιαν, τῶν δὲ ὑπ' αὐτὰ τὴν ἀναφοράν· τὰ δὲ | φωνήεντα, καὶ αὐτὰ ἑπτὰ ὄντα, τοῦ ἀνθρώπου καὶ τῆς ἐκκλησίας, ἐπεὶ διὰ τοῦ ἀνθρώπου ἡ φωνὴ προελθοῦσα ἐμόρφωσε τὰ ὅλα· ὁ γὰρ ἦχος τῆς φωνῆς μορφὴν αὐτοῖς περιεποίησεν. Ἔστιν οὖν ὁ μὲν λόγος ἔχων καὶ ἡ ζωὴ τὰ ὀκτώ, ὁ δὲ ἄνθρωπος καὶ ἡ ἐκκλησία τὰ ἑπτά, ὁ δὲ πατὴρ καὶ ἡ ἀλήθεια τὰ ἐννέα. Ἐπὶ δὲ τοῦ ὑστερήσαντος λόγου ὁ ἀφεδρασθεὶς ἐν τῷ πατρὶ κατῆλθεν, ἐκπεμφθεὶς ἐπὶ τὸν ἀφ' οὗ ἐχωρίσθη, ἐπὶ διορθώσει τῶν πραχθέντων, ἵνα ἡ τῶν πληρωμάτων ἑνότης ἐν τῷ ἀγαθῷ οὖσα καρποφορῇ μίαν ἐν πᾶσι τὴν ἐκ πάντων δύναμιν. Καὶ οὕτως ὁ τῶν ἑπτὰ τὴν τῶν ὀκτὼ ἐκομίσατο δύναμιν, καὶ ἐγένοντο οἱ τρεῖς τόποι ὅμοιοι τοῖς ἀριθμοῖς, ὀγδοάδες ὄντες· οἵτινες τρεῖς ἐφ' ἑαυτοὺς ἐλθόντες τὸν τῶν εἰκοσιτεσσάρων ἀνέδειξαν ἀριθμόν. Τὰ μέντοι τρία στοιχεῖα ([ἅ]

ἀρρήτους καὶ ἀνεκλαλήτους· τὰ δὲ ἡμίφωνα, ὀκτὼ ὄντα, τοῦ λόγου καὶ τῆς ζωῆς διὰ τὸ μέσα ὥσπερ ὑπάρχειν τῶν τε ἀφώνων καὶ τῶν φωνηέντων, καὶ ἀναδέχεσθαι τῶν μὲν ὕπερθεν τὴν ἀπόρροιαν, τῶν δὲ ὑπὲρ αὐτὴν τὴν ἀναφοράν· τὰ δὲ φωνήεντα, καὶ αὐτὰ ἑπτὰ ὄντα, τοῦ ἀνθρώπου καὶ τῆς ἐκκλησίας, ἐπεὶ διὰ τοῦ ἀνθρώπου φωνὴ προελθοῦσα ἐμόρφωσε τὰ ὅλα· ὁ γὰρ ἦχος τῆς φωνῆς μορφὴν αὐτοῖς περιεποίησεν. Ἔστιν ὁ μὲν λόγος ἔχων καὶ ἡ ζωὴ τὰ ὀκτώ, ὁ δὲ ἄνθρωπος καὶ ἡ ἐκκλησία τὰ ἑπτά, ὁ δὲ πατὴρ καὶ ἡ ἀλήθεια τὰ ἐννέα. Ἐπειδὴ τοῦ ὑστερήσαντος λόγου ὁ ἀφεδρασθεὶς ἐν τῷ πατρὶ κατῆλθε, πεμφθεὶς ἐπὶ τὸν ἀφ' οὗ ἐχωρίσθη ἐπὶ διορθώσει τῶν πραχθέντων, ἵνα ἡ τῶν πληρωμάτων ἑνότης ἰσότητα ἔχουσα καρποφορῇ μίαν ἐν πᾶσι τὴν ἐκ πάντων δύναμιν. Καὶ οὕτως ὁ τῶν ἑπτὰ τὴν τῶν ὀκτὼ ἐκομίσατο δύναμιν, καὶ ἐγένοντο οἱ τόποι ὅμοιοι τοῖς ἀριθμοῖς, ὀγδοάδες ὄντες· οἵτινες τρεῖς ἐφ' ἑαυτοὺς ἐλθόντες τὸν τῶν εἰκοσιτεσσάρων ἀνέδειξαν ἀριθμόν. Τὰ μέντοι τρία στοιχεῖα ἀφίησιν αὐτὸς τῶν

---

20. *μέσας* C M 22. *ἀπόρροιαν*] *ἀπορίαν* C *ὑπ' αὐτὰ*] *ὑπὲρ αὐτὴν* Iren. graec.: quae subsint Iren. lat.: *ὑπενέρθεν* susp. Massuetus:

propterea quod muti sunt, hoc est ineffabiles et indicti; semivocales autem, quae octo sint, Logi esse et Vitae, quoniam sint tanquam mediae inter mutas et vocales acceperintque superiorum emanationem, eorum autem, quae sunt inferne, reversionem; vocales autem, quae et ipsae septem sint, Hominis esse et Ecclesiae, quandoquidem per Hominem egressa vox figuraverit universa; sonus enim vocis figuram iis circumdedit. Est igitur Logus habens et Vita octo illas litteras, Homo autem et Ecclesia illas septem, Pater autem et Veritas novem illas. In defectu igitur computi is, qui de sede remotus inest in Patre, descendit emissus ad eum, a quo segregatus erat, ad corrigenda ea, quae acta erant, ut pleromatum unitas in bono constans fructum ferat unam in omnibus, quae est ex omnibus, potestatem. Et ita qui est illarum septem, octo illarum nactus est potestatem, et facti sunt tres loci illi aequales numeris, utpote ogdoades, qui quidem tres sibi additi viginti quattuor illarum ostenderunt numerum. Tria autem elementa

---

et ineloquibiles; semivocales autem, cum sint octo, Logi esse et Zoes, quoniam quasi mediae sint inter mutas et vocales, et recipere eorum quidem, quae supersint, emanationem, eorum vero, quae subsint, elevationem. Vocales autem et ipsas septem esse Anthropi et Ecclesiae, quoniam per Anthropum vox progrediens formavit omnia; sonus enim vocis formam eis circumdedit. Est igitur Logos habens et Zoe octo, Anthropos autem et Ecclesia septem, Pater autem et Alethia novem. Ex minori autem computatione qui erat apud Patrem descendit, emissus illuc, unde fuerat separatus, ad emendationem factorum, ut pleromatum unitas aequalitatem habens fructificet unam in omnibus, quae est ex omnibus virtus. Et sic is qui est numeri septem eorum qui sunt octo accepit virtutem, et facta sunt tria loca similia numeris, cum sint octonationes: quae ter in se venientia viginti quattuor ostenderunt numerum. Et tria quidem elementa, (quae dicit ipse trium in coniuga-

---

an ὑποκάτω? 24. διὰ] καὶ C M 26. ὁ ἔχων καὶ ἡ ζωὴ ἡ τὰ C 28. ὑστερίσαντος C 29. ἐχωρήθη C 31. ἀγαθῷ] an καθαρῷ? καρποφορεῖ C 32. τῶν ὀκτὼ] τῷ νοητῷ C 34. ἀφ' ἑαυτοὺς C 35. ἀνεδέξαντο C Cf. Iren. et infra p. 324, 9. 10. ἃ add M

φησιν αὐτὸς τῶν τριῶν ἐν συζυγίᾳ δυνάμεων ὑπάρχειν, ἅ ἐστιν ἕξ, ἀφ' ὧν ἀπερρύη τὰ εἰκοσιτέσσαρα στοιχεῖα), τετραπλασιασθέντα τῷ τῆς ἀρρήτου τετράδος λόγῳ τὸν αὐτὸν αὐτοῖς ἀριθμὸν ποιεῖ, ἅπερ φησὶ τοῦ ἀνονομάστου ὑπάρχειν. Φορεῖσθαι δὲ αὐτὰ ὑπὸ τῶν ἕξ δυνάμεων εἰς ὁμοιότητα τοῦ ἀοράτου, ὧν στοιχείων εἰκόνας εἰκόνων | ἕξ διπλᾶ γράμματα ὑπάρχειν, ἃ συναριθμούμενα τοῖς εἰκοσιτέσσαρσι στοιχείοις δυνάμει τῇ κατὰ ἀναλογίαν τὸν τῶν τριάκοντα ποιεῖται ἀριθμόν.

47. *Τούτου τοῦ λόγου καὶ τῆς οἰκονομίας ταύτης καρπόν φησιν ἐν ὁμοιώματι εἰκόνος πεφηνέναι ἐκεῖνον τὸν μετὰ τὰς ἕξ ἡμέρας τέταρτον ἀναβάντα εἰς τὸ ὄρος, καὶ γενόμενον ἕκτον, τὸν καταβάντα καὶ κρατηθέντα ἐν τῇ ἑβδομάδι, ἐπίσημον ὀγδοάδα ὑπάρχοντα καὶ ἔχοντα ἐν ἑαυτῷ τὸν ἀριθμὸν ἅπαντα τῶν στοιχείων, ὃν ἐφανέρωσεν, ἐλθόντος αὐτοῦ ἐπὶ τὸ βάπτισμα, ἡ τῆς περιστερᾶς κάθοδος, ἥτις ἐστὶν ω̅ καὶ ἄλφα, δι' ἀριθμοῦ δηλουμένου ὀκτακοσίων ἑνός, καὶ διὰ τοῦτο Μωσέα ἐν τῇ ἕκτῃ ἡμέρᾳ λέγειν τὸν ἄνθρωπον γεγονέναι. Καὶ τὴν οἰκο-*

τριῶν ἐν συζυγίᾳ δυνάμεων ὑπάρχειν, ἅ ἐστιν ἕξ, ἀφ' ὧν ἀπερρύη τὰ εἰκοσιτέσσαρα στοιχεῖα, τετραπλασιασθέντα τῷ τῆς ἀρρήτου τετράδος λόγῳ τὸν αὐτὸν αὐτοῖς ἀριθμὸν ποιεῖ, ἅπερ φησὶ τοῦ ἀνονομάστου ὑπάρχειν. Φορεῖσθαι δὲ αὐτὰ ὑπὸ τῶν τριῶν δυνάμεων εἰς ὁμοιότητα τοῦ ἀοράτου, ὧν στοιχείων εἰκόνες εἰκόνων τὰ παρ' ἡμῖν διπλᾶ γράμματα ὑπάρχειν, ἃ συναριθμούμενα τοῖς εἰκοσιτέσσαρσι στοιχείοις δυνάμει τῶν κατὰ ἀναλογίαν τῶν τριάκοντα ποιεῖ ἀριθμόν.

7. *Τούτου τοῦ λόγου καὶ τῆς οἰκονομίας ταύτης καρπόν φησιν ἐν ὁμοιώματι εἰκόνος πεφυκέναι* (*πεφηνέναι* Cod. reg.) *ἐκεῖνον τὸν μετὰ τὰς ἕξ ἡμέρας τέταρτον ἀναβάντα εἰς τὸ ὄρος, καὶ γενόμενον ἕκτον, τὸν κρατηθέντα καὶ καταβάντα ἐν τῇ ἑβδομάδι, ἐπίσημον ὀγδοάδα ὑπάρχοντα καὶ ἔχοντα ἐν ἑαυτῷ τὸν ἅπαντα τῶν στοιχείων ἀριθμόν, ἐφανέρωσεν ἐλθόντος αὐτοῦ ἐπὶ τὸ βάπτισμα ἡ τῆς περιστερᾶς κάθοδος, ἥτις ἐστὶν ω̅ καὶ α̅· ὁ γὰρ ἀριθμὸς αὐτῆς μία καὶ ὀκτακόσιαι· καὶ διὰ τοῦτο Μωϋσέα ἐν τῇ ἑκτῇ τῶν ἡμερῶν εἰρηκέναι τὸν ἄνθρωπον γεγονέναι.*

---

36. *αὐτὸς*] *αὐτῶν* C 37. *ἀπερύη* C 38. *τῷ — λόγῳ*] *τῶν — λόγων* C 38. *αὐτοῖς*] *τοῖς* C 39. *ἀνωνομάστου* C 40. 41. *ἀοράτον* C 41. *εἰκόνας*] *εἰκόνες* C M *εἰκόνων*] *εἰκόνων ὧν* C

illa (quae ipse dicit esse ternarum in coniugatione potestatum, quae sunt sex, unde emanarunt viginti quattuor elementa,) quadruplicata ineffabilis quaternionis computo eundem atque illa numerum faciunt, quae esse ait Innominati. Ferri autem illa a sex potestatibus in similitudinem Invisibilis, quorum elementorum imagines imaginum sex duplices litteras existere, quae adnumeratae viginti quattuor elementis ex potestate analoga numerum tricenarium efficiunt.

47. Huius computi huiusque dispensationis fructum ait in similitudine imaginis apparuisse illum, qui post sex dies quartus ipse ascenderit in montem et factus sit sextus, qui descenderit et detentus sit in hebdomade, cum esset insignis ogdoas et in se haberet universum numerum elementorum, quem manifestaverit, cum ad baptismum venisset, columbae descensus, quae sit $\bar{\omega}$ et $\bar{\alpha}$, per numerum, qui ostenditur 801, et propterea Mosem dicere in sexto die hominem factum esse. Et dispensationem vero passionis in sexto die, quae est para-

---

tione virtutum existere, quae fiunt sex, ex quibus emanaverunt viginti quattuor litterae) quadripertita inenarrabilis quaternationis ratione eundem numerum faciunt, quae quidem dicit illius, qui est innominabilis, existere. Indui autem ea a tribus virtutibus in similitudinem illius, qui est invisibilis: quorum elementorum imagines imaginum esse eas, quae sunt apud nos duplices litterae, quas cum viginti quattuor litteris adnumerantes, virtute quae est secundum analogiam, triginta faciunt numerum.

6. Huius rationis et dispositionis fructum dicit in similitudinem imaginis apparuisse illum, qui post VI dies quartus ascendit in montem, et factus est sextus, qui descendit et detentus est in hebdomade, cum esset insignis octonatio, et haberet in se omnem elementorum numerum, quem manifestavit, cum ipse venisset ad baptismum, columbae descensio, quae est *Ω* et *A*; numerus enim ipsius unum et DCCC, et propter hoc Mosen in sexta die dixisse hominem factum. Et dispositionem autem in sexta die, quae est in coena pura, no-

---

42. 43. *δυνάμει τῇ*] *δύναμιν τὴν* C 44. *οἰκονομίας*] *ἀναλογίας* C M
45. 46. Cf. Matth. 17, 1 sqq. Marc. 9, 2 sqq. 50. *ω καὶ*] *ο καὶ* C

νομίαν δὲ τοῦ πάθους ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν, ἥτις ἐστὶν ἡ παρασκευή, τὸν ἔσχατον ἄνθρωπον εἰς ἀναγέννησιν τοῦ πρώτου ἀνθρώπου πεφηνέναι. Ταύτης τῆς οἰκονομίας ἀρχὴν καὶ τέλος τὴν ἕκτην ὥραν εἶναι, ἐν ᾗ προσηλώθη τῷ ξύλῳ. Τὸν γὰρ τέλειον νοῦν, ἐπιστάμενον τὸν τῶν ἓξ ἀριθμὸν δύναμιν ποιήσεως καὶ ἀναγεννήσεως ἔχοντα, φανερῶσαι τοῖς υἱοῖς τοῦ φωτὸς [τὴν] διὰ τοῦ φανέντος ἐπισήμου [εἰς] τὴν δι' αὐτοῦ ἐπιγενομένην ἀναγέννησιν. Ἔνθεν καὶ τὰ διπλᾶ γράμματα| τὸν ἀριθμὸν ἐπίσημον ἔχειν φησίν· ὁ γὰρ ἐπίσημος ἀριθμὸς συγκερασθεὶς τοῖς εἰκοσιτέσσαρσι στοιχείοις τὸ τριακονταγράμματον ὄνομα ἀπετέλεσε.

48. *Κέχρηται δὲ διακόνῳ τῷ τῶν ἑπτὰ ἀριθμῶν μεγέθει, ἵνα τῆς αὐτοβουλήτου [βουλῆς] φανερωθῇ ὁ καρπός. Τὸν μέντοι ἐπίσημον ἐπὶ τοῦ παρόντος, φησί, τὸν ἐπὶ τοῦ ἐπισήμου μορφωθέντα νόησον, τὸν ὥσπερ μερισθέντα καὶ ἔξω μείναντα, ὃς τῇ αὐτοῦ δυνάμει τε καὶ φρονήσει διὰ τῆς ἑαυτοῦ προβολῆς τοῦτον τὸν [τὴν ζωὴν] τῶν ἑπτὰ δυνάμεων μιμήσει τῆς ἑπταδυνάμου δυνάμεως ἐψύχωσε κόσμον, καὶ ψυχὴν*

Καὶ τὴν οἰκονομίαν δὲ ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν, ἥτις ἐστὶ παρασκευή, τὸν ἔσχατον ἄνθρωπον εἰς ἀναγέννησιν τοῦ πρώτου ἀνθρώπου πεφηνέναι, ἧς οἰκονομίας ἀρχὴν καὶ τέλος καὶ τὴν ἕκτην ὥραν, ἐν ᾗ προσηλώθη τῷ ξύλῳ. Τὸν γὰρ τέλειον νοῦν, ἐπιστάμενον τὸν τῶν ἓξ ἀριθμὸν δύναμιν ποιήσεως καὶ ἀναγεννήσεως ἔχοντα, φανερῶσαι τοῖς υἱοῖς τοῦ φωτὸς τὴν δι' αὐτοῦ φανέντος ἐπισήμου εἰς αὐτὸν δι' αὐτοῦ (εἰς αὐτὸν ἀριθμὸν Cod. reg.) *γενομένην ἀναγέννησιν. Ἔνθεν καὶ τὰ διπλᾶ γράμματα τὸν ἀριθμὸν ἐπίσημον ἔχειν φησίν· ὁ γὰρ ἐπίσημος ἀριθμὸς συγκραθεὶς τοῖς εἰκοσιτέσσαρσι στοιχείοις τὸ τριακονταγράμματον ὄνομα ἀπετέλεσε. Κέχρηται δὲ διακόνῳ τῷ τῶν ἑπτὰ ἀριθμῶν μεγέθει, ὥς φησιν ἡ Μάρκου σιγή, ἵνα τῆς αὐτοβουλήτου βουλῆς φανερωθῇ ὁ καρπός. Τὸν μέντοι ἐπίσημον τοῦτον ἀριθμὸν ἐπὶ τοῦ παρόντος, φησί, τὸν ἐπὶ τοῦ ἐπισήμου μορφωθέντα νόησον, τὸν ὥσπερ μερισθέντα ἢ διχοτομηθέντα καὶ ἔξω μείναντα, ὃς τῇ ἑαυτοῦ δυνάμει τε καὶ φρονήσει διὰ τῆς ἀπ' αὐτοῦ προβολῆς τοῦτον τὸν τῶν ἑπτὰ δυνάμεων καὶ (κατὰ* Cod. reg.) *μίμησιν τῆς ἑβδομάδος δυνάμεως ἐψύχωσε κόσμον καὶ ψυχὴν*

---

54. *παρασκευή, ᾗ* C 57. 58. *ἀριθμῶν, δύναμιν ποιῆσαι καὶ ἀνα-*

sceue, ultimum hominem ad regenerationem primi hominis apparuisse. Huius dispensationis initium et finem sextam esse horam, in qua affixus est cruci. Perfectam enim Mentem intelligentem senarium numerum, qui potestatem haberet creationis et regenerationis, manifestavisse filiis lucis per eum, qui apparuit insignis, eam, quae per ipsum postea accessit, regenerationem. Unde etiam duplices litteras insignem numerum habere ait; insignis enim numerus commixtus viginti quattuor litteris triginta litterarum nomen effecit.

48. Usus autem est ministra septem numerorum magnitudine, ut consilii a semet ipso consulti manifestaretur fructus. Insignem autem in praesenti, ait, intellige eum, qui die insigni formatus est, qui quasi dispertitus est et extra mansit, qui ipsius potestate et intelligentia per ipsius propaginem hunc septem potestatum imitatione septemplicis potestatis animavit mundum, eumque animam constituit esse universi visibilis. Uti-

---

vissimum hominem in regenerationem primi hominis apparuisse, cuius dispositionis initium et finem sextam horam, in qua affixus est ligno. Perfectum enim sensum scientem eum numerum, qui est sex, virtutem fabricationis et regenerationis habentem, manifestasse filiis luminis eam generationem, quae facta est per eum, qui manifestatus est insignis, in eum numerum. Hinc etiam et duplices litteras numerum insignem habere ait. Insignis enim numerus commixtus viginti quattuor elementis XXX litterarum nomen explicuit.

7. Usus est autem diacono septem numerorum magnitudine, quemadmodum dicit Marci Sige, ut ab se cogitatae cogitationis manifestetur fructus. Et insignem quidem hunc numerum in praesenti ait eum, qui ab insigni figuratus est, intelligi, eum, qui quasi in partes divisus est aut praecisus et foris perseveravit, qui sua virtute et prudentia per eam, quae est ab eo, emissionem hunc, qui est septem virtutum secundum imitationem hebdomadis virtutis, animavit mundum, et animam posuit esse huius universi, quod videtur. Utitur autem

---

γεννῆσαι ὡς ἔχοντα C 59. *τὴν* et *εἰς* uncinis inclusimus *ἐπισήμου*] *ἐπισήμως* C 60. *γράμματα*] *πράγματα* C 65. *βουλῆς* add M coll. Iren. 69. *τοῦτον τὸν* [*τὴν ζωὴν*] *τῶν*] *τοῦτον τὴν ζωὴν τῶν* C: *τὴν ζωὴν* ex margine illatum videtur, pertinens fortasse ad *ψυχὴν* lin. 70. M

ἔθετο εἶναι τοῦ ὁρωμένου παντός. Κέχρηται μὲν οὖν καὶ οὗτος τῷδε τῷ ἔργῳ, ὡς αὐθαιρέτως ὑπ' αὐτοῦ γενομένῳ, τα δὲ διακονεῖ, μιμήματα ὄντα τῶν ἀμιμήτων, τῆς ἐνθυμήσεως τῆς μητρός. Καὶ ὁ μὲν πρῶτος οὐρανὸς φθέγγεται τὸ ἄλφα, ὁ δὲ μετὰ τοῦτον τὸ εἶ, ὁ δὲ τρίτος τὸ ἦτα, ὁ δὲ τέταρτος, ὁ καὶ μέσος τῶν ἑπτά, τὴν τοῦ ἰῶτα δύναμιν, ὁ δὲ πέμπτος τὸ οὖ, ἕκτος δὲ τὸ ὖ, ἕβδομος δὲ καὶ τέταρτος ἀπὸ τοῦ μέσου τὸ ὦ. Αἵ τε δυνάμεις πᾶσαι εἰς ἓν συμπλακεῖσαι ἠχοῦσι καὶ δοξά|ζουσιν ἐκεῖνον, ὑφ' οὗ προεβλήθησαν, ἡ δὲ δόξα τῆς ἠχήσεως ἀνεπέμφθη πρὸς τὸν προπάτορα. Ταύτης μέντοι τῆς δοξολογίας τὸν ἦχον, εἰς τὴν γῆν φερόμενον, φησὶ πλάστην γίνεσθαι καὶ γεννήτορα τῶν ἐπὶ τῆς γῆς· τὴν δὲ ἀπόδειξιν ἀπὸ τῶν ἄρτι γεννωμένων βρεφῶν, ὧν ἡ ψυχὴ ἅμα τῷ ἐκ μήτρας προελθεῖν ἐπιβοᾷ ὁμοίως ἑνὸς ἑκάστου τῶν στοιχείων τούτων τὸν ἦχον. Καθὼς οὖν [αἱ] ἑπτά, φησί, δυνάμεις δοξάζουσι τὸν λόγον, οὕτω καὶ ἡ ψυχὴ ἐν τοῖς βρέφεσι κλαί-

---

ἔθετο εἶναι τοῦ ὁρωμένου παντός. Κέχρηται μὲν οὖν καὶ αὐτὸς οὗτος τῷδε τῷ ἔργῳ ὡς αὐθαιρέτως ὑπ' αὐτοῦ γενομένῳ, τάδε διακονεῖ μιμήματα ὄντα τῶν ἀμιμήτων τὴν ἐνθύμησιν τῆς μητρός. Καὶ ὁ μὲν πρῶτος οὐρανὸς φθέγγεται τὸ α̅, ὁ δὲ μετὰ τοῦτον τὸ ε̅, ὁ δὲ τρίτος η̅, τέταρτος δὲ καὶ μέσος τῶν ἑπτὰ τὴν τοῦ ι̅ δύναμιν ἐκφωνεῖ, ὁ δὲ πέμπτος τὸ ο̅, ἕκτος δὲ τὸ υ̅, ἕβδομος καὶ τέταρτος ἀπὸ μέρους τὸ ω̅ στοιχεῖον ἐκβοᾷ, καθὼς ἡ Μάρκου σιγή, ἡ πολλὰ μὲν φλυαροῦσα, μηδὲν δὲ ἀληθὲς λέγουσα διαβεβαιοῦται· αἵτινες δυνάμεις ὁμοῦ, φησί, πᾶσαι εἰς ἀλλήλας συμπλακεῖσαι ἠχοῦσι καὶ δοξάζουσιν ἐκεῖνον, ὑφ' οὗ προεβλήθησαν. Ἡ δὲ δόξα τῆς ἠχῆς ἀναπέμπεται εἰς τὸν προπάτορα. Ταύτης μέντοι τῆς δοξολογίας τὸν ἦχον εἰς τὴν γῆν φερόμενόν φησι πλάστην γενέσθαι καὶ γεννήτορα τῶν ἐπὶ τῆς γῆς· τὴν δὲ ἀπόδειξιν φέρει ἀπὸ τῶν ἄρτι γεννωμένων βρεφῶν, ὧν ἠχὴ ἅμα τῷ ἐκ μήτρας προελθεῖν ἐπιβοᾷ ἑνὸς ἑκάστου τῶν στοιχείων τούτων τὸν ἦχον. Καθὼς οὖν αἱ ἑπτά, φησί, δυνάμεις δοξάζουσι τὸν λόγον, οὕτως καὶ ἡ ψυχὴ ἐν

---

71. κέχριται C 72. τῷδε ἔργῳ C γενόμενα C M 72. 73. τὰ δὲ διακονεῖ] τὰ δι' εἰκόνων C M 74—78. Cf. Io. Laurent. Philadelphen. Lydus *De mensibus* II, 2. p. 38 ed. Roether. 74. φθέγγεται] φαίνεται C 75. εἶ] ε̅ι̅ C M 75. 76. ὁ καὶ μέσος R.

tur igitur et hic hoc opere tanquam sponte a se facto, illa vero ministrant, cum sint imitamenta rerum imitatione non expressarum, cogitationis matris. Et primum quidem caelum fatur ***Α***, alterum autem ***Ε***, tertium autem ***Η***, quartum autem, quod est medium inter septem, ***Ι*** litterae potestatem, quintum autem ***Ο***, sextum autem ***Υ***, septimum autem, quod est quartum a medio, ***Ω***. Potestatesque omnes in unum complicatae sonant et glorificant illum, a quo prolatae sunt, glorificatio autem sonorum sursum missa est ad Propatorem. Huius autem glorificationis sonum in terram delatum ait fictorem exstitisse et genitorem rerum terrenarum; documentum autem repeti a recens natis infantibus, quorum anima, simul atque ex utero emersit, exclamat pariter uniuscuiusque horum elementorum sonum. Sicuti igitur, inquit, septem illae potestates glorificant Logum, ita etiam anima in infantibus lacrimans.

---

et ipse hic hoc opere quasi spontanee ab ipso facto, reliqua vero ministrant, cum sint imitationes inimitabilium, enthymesin matris. Et primum quidem caelum sonat ***Α***, quod autem est post illum ***Ε***, tertium autem ***Η***, quartum vero et medium numeri VII Iotae virtutem enarrat, quintum vero ***Ο***, sextum autem ***Υ***, septimum autem et IV a medio ***Ω*** elementum exclamat, quemadmodum Marci Sige, quae multa quidem loquacius exsequitur, nihil autem verum loquens affirmat. Quae virtutes, ait, omnes simul in invicem complexae sonant et glorificant illum, a quo emissae sunt. Gloria autem soni mittitur in Propatorem. Huius autem glorificationis sonum in terram delatum ait plasmatorem factum et generatorem eorum quae sunt in terra.

8. Ostensionem autem affert ab iis, qui nunc nascuntur infantibus, quorum anima, simul ut de vulva progressa est, exclamat uniuscuiusque elementi hunc sonum. Sicut ergo septem virtutes, inquit, glorificant Verbum, sic et anima in infantibus plorans et plangens Marcum glorificat eum. Propter

---

Scottus: *καὶ ὁ μέσος* C M   76. 77. *τὸ οὖ*] *τὸ $\overline{ου}$* C: *τὸ $\overline{ο}$* M   82. *τὴν δὲ*] *τῶν δὲ* C   83. *γενωμένων* C   85. *τοῦτον τὸν ἦχον* C M *αἱ* add M

ουσα. Διὰ τοῦτο δὲ φησὶ καὶ τὸν Δαβὶδ εἰρηκέναι· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον· καὶ πάλιν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. Ἐπὰν δὲ ἐν πόνοις γένηται ἡ ψυχή, ἐπιβοᾷ οὐδὲν ἕτερον ἢ τὸ ῶ, ἐφ' ᾧ ἀνιᾶται, ὅπως γνωρίσασα ἡ ἄνω ψυχὴ τὸ συγγενὲς αὐτῆς βοηθὸν αὐτῇ καταπέμψῃ.

49. Καὶ περὶ τούτων μὲν οὕτως. Περὶ δὲ τῆς τῶν εἰκοσιτεσσάρων στοιχείων γενέσεως οὕτως λέγει· Τῇ μονότητι συνυπάρχειν ἑνότητα, ἐξ ὧν δύο προβολαί, μονάς τε καὶ τὸ ἕν, δὶς δύο οὖσαι τέσσαρες ἐγένοντο· δὶς γὰρ | δύο τέσσαρες. Καὶ πάλιν αἱ δύο καὶ τέσσαρες εἰς τὸ αὐτὸ συντεθεῖσαι τὸν τῶν ἓξ ἐφανέρωσαν ἀριθμόν, οὗτοι δὲ οἱ ἓξ τετραπλασιασθέντες τὰς εἰκοσιτέσσαρας. Καὶ τὰ μὲν τῆς [πρώτης] τετράδος

τοῖς βρέφεσι κλαίουσα καὶ θρηνοῦσα Μάρκον δοξάζει αὐτόν. Διὰ τοῦτο δὲ καὶ τὸν Δαβὶδ εἰρηκέναι· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον· καὶ πάλιν· Οἱ οὐρανοὶ τῶν οὐρανῶν διηγοῦνται δόξαν θεοῦ. Καὶ διὰ τοῦτο ἔν τε πόνοις καὶ ταλαιπωρίαις ψυχὴ γενομένη εἰς διυλισμὸν αὐτῆς ἐπιφωνεῖ τὸ ῶ εἰς σημεῖον αἰνέσεως, ἵνα γνωρίσασα ἡ ἄνω ψυχὴ τὸ συγγενὲς αὐτῆς βοηθὸν αὐτὴ καταπέμψῃ.

8. Καὶ περὶ μὲν τοῦ παντὸς ὀνόματος τριάκοντα ὄντος γραμμάτων τούτου, καὶ τοῦ βυθοῦ τοῦ αὔξαντος ἐκ τῶν τούτου γραμμάτων, ἔτι τε τῆς ἀληθείας σώματος δωδεκαμελοῦς ἐκ δύο γραμμάτων συνεστῶτος, καὶ τῆς φωνῆς αὐτῆς, ἣν προσομιλήσασα, καὶ περὶ τῆς ἐπιλύσεως τοῦ μὴ λαληθέντος ὀνόματος καὶ περὶ τῆς τοῦ κόσμου ψυχῆς καὶ ἀνθρώπου καθὰ ἔχουσι τὴν κατ' εἰκόνα οἰκονομίαν, οὕτως ἐλήρησεν. Κ. τ. λ.

Οὕτως οὖν ἀπαγγέλλει ἡ πάνσοφος αὐτῷ σιγὴ τὴν γένεσιν τῶν εἰκοσιτεσσάρων στοιχείων· Τῇ μονότητι συνυπάρχειν ἑνότητι, ἐξ ὧν δύο προβολαί, καθ' ἃ προείρηται, μονάς τε καὶ τὸ ἓν ἐπὶ δύο οὖσαι τέσσαρα ἐγένοντο· δὶς γὰρ δύο τέσσαρες. Καὶ πάλιν αἱ δύο καὶ τέσσαρες εἰς τὸ αὐτὸ συντεθεῖσαι τὸν τῶν ἓξ ἐφανέρωσαν ἀριθμόν, οὗτοι δὲ οἱ ἓξ τετραπλασιασθέντες τὰς εἰκοσιτέσσαρας ἀπεκύησαν μορφάς. Καὶ τὰ μὲν τῆς πρώτης τε-

---

87. 88. Psalm. 8, 3. 88. κατηρτήσω C 89. Psalm. 18, 2. 90. ὡς ἐπιβοᾷ C: ὡς abundans hoc loco ex margine illatum videtur, ubi ad ὀπίσω aliquis notaverit correctionem ως, ut legatur ὅπως. M 91. ὅπως] ὀπίσω C

Propterea autem et David ait dixisse: *Ex ore infantium et lactentium perfecisti laudem,* et rursus: *Caeli enarrant gloriam dei.* Quando autem in aerumnis versabitur anima, exclamat nihil aliud nisi *Ω*, quandoquidem cruciatur, ut anima, quae supra est, ubi cognovit id quod sibi cognatum est, adiutorem ei demittat.

49. Et de his quidem hactenus. De viginti quattuor litterarum autem origine haec docet: Una cum Solitate extare Unitatem, ex quibus duae propagines, hoc est Monas et Unum, quae additae quattuor extiterunt; bis enim duo quattuor. Et rursus duo et quattuor in unum composita senarium numerum monstraverunt, haec sex autem quadruplicata illas viginti quattuor (sc. litteras). Et primi quidem quaternionis nomina, quae

---

hoc autem et David dixisse: *Ex ore infantium et lactentium perfecisti laudem;* et iterum: *Caeli enarrant gloriam dei.* Et propter hoc, quando in doloribus et calamitatibus anima fuerit, in relevationem suam dicit *Ω* in signum laudationis, ut cognoscens illa, quae sursum est, anima quod est cognatum suum adiutorium ei deorsum mittat.

9. Et de omni quidem nomine, quod est XXX litterarum, et de Bytho, qui augmentum accipit ex huius litteris, adhuc etiam de Veritatis corpore, quod est duodecim membrorum, unoquoque membro ex duabis litteris constante, et de voce eius, quam locuta est non locuta, et de resolutione eius nominis, quod non est enarratum, et de mundi anima et hominis, secundum quae habent illam, quae est ad imaginem, dispositionem, sic deliravit. Cet.

Cap. XV. 1. Sic autem annunciat perquam sapiens eorum Sige generationem XXIV elementorum: Cum Solitate esse Unitatem, ex quibus duae sunt emissiones, sicut praedictum est, Monas et Hen, quae duplicatae IV factae sunt; bis enim duo quattuor. Et rursus duo et quattuor in id ipsum compositae VI manifestaverunt numerum, hi autem sex quadruplicati viginti quattuor generaverunt figuras. Et quidem quae sunt

---

92. *καταπέμψει* C 96. *δὶς δύο οὖσαι*] *δὶς δύο οὐσίαι* C: An *αἵ συνοῦσαι?* 97. *συντεθῆσαι* C 99. *τὰ μὲν*] *ταῦτα μὲν* C M *πρώτης* om C M

ὀνόματα, ἅγια ἁγίων νοούμενα καὶ μὴ δυνάμενα λεχθῆναι, γινώσκεσθαι ὑπὸ μόνου τοῦ υἱοῦ· ταῦτα ὁ πατὴρ οἶδε τίνα ἐστί. Τὰ μετὰ σιωπῆς καὶ μετὰ πίστεως ὀνομαζόμενα παρ' αὐτῷ ἐστι ταῦτα· ἄρρητος καὶ σιγή, πατὴρ καὶ ἀλήθεια. Ταύτης δὲ τῆς τετράδος ὁ σύμπας ἀριθμὸς ἐστὶ στοιχείων εἰκοσιτεσσάρων. Ὁ γὰρ ἄρρητος ἔχει στοιχεῖα ἑπτά, ἡ σιγὴ (σειγὴ) πέντε, καὶ ὁ πατὴρ πέντε, καὶ ἡ ἀλήθεια ἑπτά. Ὡσαύτως δὲ καὶ ἡ δευτέρα τετράς, λόγος καὶ ζωή, ἄνθρωπος καὶ ἐκκλησία τὸν αὐτὸν ἀριθμὸν τῶν στοιχείων ἀνέδειξαν. Καὶ τὸ τοῦ σωτῆρος ῥητὸν ὄνομα [τουτέστι τὸν Ἰησοῦν] γραμμάτων ὑπάρχειν ἕξ, τὸ δ' ἄρρητον αὐτοῦ ἐπ' ἀριθμῷ τῶν κατὰ ἓν γραμμάτων στοιχείων ἐστὶν εἰκοσιτεσσάρων, υἱὸς δὲ Χριστὸς (Χρειστὸς) δώδεκα, τὸ δὲ ἐν τῷ Χριστῷ ἄρρητον γραμμάτων τριάκοντα καὶ αὐτὸ τοῖς ἐν αὐτῷ γράμμασι κατὰ ἓν τῶν στοιχείων ἀριθμουμένων. Τὸ γὰρ Χριστὸς (Χρειστὸς) ἔστι στοιχείων ὀκτώ. Τὸ μὲν | γὰρ χεῖ τριῶν, τὸ

τράδος ὀνόματα, ἅγια ἁγίων νοούμενα καὶ μὴ δυνάμενα λεχθῆναι, γινώσκεσθαι ὑπὸ μόνου τοῦ υἱοῦ, ἃ ὁ πατὴρ οἶδε τίνα ἐστί. Τὰ δὲ σεμνὰ καὶ μετὰ πίστεως ὀνομαζόμενα παρ' αὐτῷ ἐστι ταῦτα· ἄρρητος καὶ σιγή, πατήρ τε καὶ ἀλήθεια. Ταύτης δὲ τῆς τετράδος ὁ σύμπας ἀριθμός ἐστι στοιχείων εἰκοσιτεσσάρων. Ὁ γὰρ ἄρρητος ὄνομα γράμματα ἔχει ἐν ἑαυτῷ ἑπτά, ἡ δὲ σιγὴ πέντε καὶ ὁ πατήρ, καὶ ἡ ἀλήθεια ἑπτά, ἃ συντεθέντα ἐπὶ τὸ αὐτό, τὰ δὶς πέντε καὶ δὶς ἑπτὰ τὸν τῶν εἰκοσιτεσσάρων ἀριθμὸν ἀνεπλήρωσεν. Ὡσαύτως δὲ καὶ ἡ δευτέρα τέτρας, λόγος καὶ ζωή, ἄνθρωπος καὶ ἐκκλησία, τὸν αὐτὸν ἀριθμὸν τῶν στοιχείων ἀνέδειξαν. Καὶ τὸ μὲν τοῦ σωτῆρος ῥητὸν ὄνομα (ὀκτὼ καὶ δέκα) γραμμάτων ὑπάρχειν ἕξ, τὸν (sic) δ' ἄρρητον αὐτοῦ γραμμάτων εἰκοσιτεσσάρων, υἱὸς Χριστὸς γραμμάτων δώδεκα, τὸ δὲ ἐν Χριστῷ ἄρρητον γραμμάτων τριάκοντα. Καὶ διὰ τοῦτό φησιν αὐτὸν $\bar{\alpha}$ καὶ $\bar{\omega}$, ἵνα τὴν περιστερὰν μηνύσῃ, τοῦτον ἔχοντος τὸν ἀριθμὸν τούτου τοῦ ὀρνέου.

---

2. ὑπὸ] δὲ ὑπὸ C M οἶδε] δὲ C 3. μετὰ σιωπῆς] An μετὰ σεμνότητος coll. Iren.? 10. τουτέστι τὸν Ἰησοῦν] Haec verba, quae lin. 12 expunximus, huc transponenda esse videntur. Cf. Iren. 11. ὑπάρχει M τὸ δ' ἄρρητον] τὸ δὲ ῥητὸν C 12. ἓν γραμμάτων]

sancta sanctorum intelligantur et quae pronunciari nequeant, cognosci a solo Filio. Haec Pater novit quae sint. Ea autem, quae cum sacro silentio et cum fide enunciantur, haec sunt: Arrhetus et Sige, Pater et Aletheia. Huius autem quaternionis universus numerus viginti quattuor est elementorum. Arrhetus, (*Ἄρρητος*) enim habet septem elementa, Sige (*Σειγή*) quinque et Pater (*Πατήρ*) quinque et Aletheia (*Ἀλήθεια*) septem. Pariter autem etiam alter quaternio, Logos et Zoe, Anthropus et Ecclesia, eundem numerum elementorum reddiderunt. Et Salvatoris effabile nomen, hoc est Iesum (*Ἰησοῦν*), litterarum esse sex, ineffabile autem numeratis singulatim litteris litterarum viginti quattuor est, *υἱός* autem *Χριστός* (*Χρειστός*) duodecim. Ineffabile autem in Christo nomen triginta elementorum et ipsum est secundum litteras, quae in eo insunt, elementis singulatim numeratis. *Christus* (*Χρειστός*) enim nomen elementorum octo est. *Χεῖ* (*Χ*) enim littera trium elementorum est,

---

primae quaternationis nomina sancta sanctorum intelliguntur, quae non possunt enarrari; intelliguntur autem a solo Filio, quae Pater scit quaenam sunt. Alia vero, quae cum gravitate et honore et fide nominantur, apud eum sunt haec: *ἄρρητος* et *σιγή*, *πατήρ* et *ἀλήθεια.* Huius autem quaternationis universus numerus est litterarum viginti quattuor. *Ἄρρητος* enim nomen litteras habet in se septem, *σειγή* quinque et *πατήρ* quinque et *ἀλήθεια* VII, quae composita in se, bis quinque et bis septem, XXIIII numerum adimpleverunt. Similiter et secunda quaternatio Logos et Zoe, Anthropos et Ecclesia eundem numerum elementorum ostenderunt. Et salvatoris quoque narrabile nomen *Ἰησοῦς* litterarum est sex, inenarrabile autem eius litterarum viginti quattuor, *Υἱός* et *Χριστός* litterarum XII, quod est autem in Christo inenarrabile, litterarum XXX. Et propter hoc ait eum *Α* et *Ω*, ut *περιστεράν* manifestet, cum hunc numerum habeat haec avis.

ἐγγραμμάτων C   Post *γραμμάτων* C M addunt *τουτέστι τὸν Ἰησοῦν*   13. *τὸ δὲ*] *τῷ δὲ* C   14. *καὶ αὐτὸ τοῖς*] Haec et quae sequuntur usque ad lin. 19 *Καὶ διὰ τοῦτο* desunt in Irenaeo   15. *τῶν στοιχείων ἀριθμουμένων*] *στοιχεῖον ἀριθμούμενον* C M   16. *χεῖ*] *χρι* C: *χει* M

δὲ $\overline{ρ}$ δύο, καὶ τὸ εἶ δύο, καὶ $\overline{ι}$ τεσσάρων, τὸ $\overline{σ}$ πέντε, καὶ τὸ $\overline{τ}$ τριῶν, τὸ δὲ οὖ δύο, καὶ τὸ σὰν τριῶν. Οὕτως τὸ ἐν τῷ Χριστῷ ἄρρητον φάσκουσι στοιχείων τριάκοντα. Καὶ διὰ τοῦτο δέ, φασίν, αὐτὸν λέγειν· Ἐγὼ τὸ ἄλφα καὶ τὸ ὦ, ἐπιδεικνύντα τὴν περιστερὰν τοῦτον ἔχουσαν τὸν ἀριθμόν, ὅ ἐστιν ὀκτακόσια ἕν.

50. *Ὁ δὲ Ἰησοῦς ταύτην μὲν ἔχει τὴν ἄρρητον γένεσιν. Ἀπὸ γὰρ τῆς μητρὸς τῶν ὅλων, τῆς πρώτης τετράδος, ἐν θυγατρὸς τρόπῳ προῆλθεν ἡ δευτέρα τετράς, καὶ ἐγένετο ὀγδοάς, ἐξ ἧς προῆλθεν ἡ δεκάς· οὕτως ἐγένετο δεκαοκτώ. Ἡ οὖν δεκὰς ἐπισυνελθοῦσα τῇ ὀγδοάδι καὶ δεκαπλασίονα αὐτὴν ποιήσασα τὸν τῶν ὀγδοήκοντα [προεβίβασεν ἀριθμόν, καὶ τὰ ὀγδοήκοντα] πάλιν δεκαπλασιάσασα τὸν τῶν ὀκτακοσίων ἀριθμὸν ἐγέννησεν, ὥστε εἶναι τὸν ἅπαντα τῶν γραμμάτων ἀριθμὸν ἀπὸ ὀγδοάδος εἰς δεκάδα προελθόντα, [εἶναι] $\overline{η}$ καὶ $\overline{π}$ καὶ ῶ, ὅ ἐστιν Ἰησοῦς· τὸ γὰρ Ἰησοῦς ὄνομα κατὰ τὸν ἐν τοῖς γράμμασιν ἀριθμὸν ἔστιν ὀκτακόσια ὀγδοηκονταοκτώ. Καὶ τὸ ἀλφάβητον δὲ τὸ Ἑλληνικὸν ἔχει μονάδας ὀκτὼ [καὶ δεκάδας ὀκτὼ] καὶ ἑκατοντάδας ὀκτώ, τὴν τῶν ὀκτακοσίων ὀγδοηκοντα-*

---

9. *Ὁ δὲ Ἰησοῦς ταύτην ἔχει, φησί, τὴν ἄρρητον γένεσιν. Ἀπὸ γὰρ τῆς μητρὸς τῶν ὅλων, τῆς πρώτης τετράδος, ἐν θυγατρὸς τρόπῳ προῆλθεν ἡ δευτέρα τετράς, καὶ ἐγένετο ὀγδοάς, ἐξ ἧς προῆλθε δεκάς· οὕτως ἐγένετο δεκὰς καὶ ὀγδοάς. Ἡ οὖν δεκὰς ἐπισυνελθοῦσα τῇ ὀγδοάδι καὶ δεκαπλασίονα αὐτὴν ποιήσασα τὸν τῶν ὀγδοήκοντα προεβίβασεν ἀριθμόν, καὶ τὰ ὀγδοήκοντα πάλιν δεκαπλασιάσασα τὸν τῶν ὀκτακοσίων ἀριθμὸν ἐγέννησεν, ὥστε εἶναι τὸν ἅπαντα τῶν γραμμάτων ἀριθμὸν ἀπὸ ὀγδοάδος εἰς δεκάδα προελθόντα, $\overline{η}$ καὶ $\overline{π}$ καὶ $\overline{ω}$, ὅ ἐστι δεκαοκτώ· τὸ γὰρ Ἰησοῦ ὄνομα καὶ τὸν ἐν τοῖς γράμμασιν ἀριθμὸν $\overline{ω}$ ἔστιν ὀγδοηκονταοκτώ. Ἔχει σαφῶς καὶ τὴν ὑπερουράνιον τοῦ $\overline{η}$ καὶ τοῦ $\overline{σ}$ κατ' αὐτοὺς γένεσιν. Διὸ καὶ τὸν ἀλφάβητον τῶν Ἑλλήνων ἔχειν μονάδας ὀκτὼ καὶ δεκάδας ὀκτὼ καὶ ἑκατοντάδας ὀκτώ, τὴν τῶν ὀκτακοσίων ὀγδοηκονταοκτὼ ψῆφον*

---

17. *εἶ*] $\overline{ει}$ C M 18. *οὖ*] $\overline{ου}$ C M *σὰν*] $\overline{ν}$ C 20. Apoc. 22, 13. Cf. ibid. 1, 8. 21, 6. 25. *προσῆλθεν* C 26. *δεκαοκτώ.*] *ἰῶτα, εἶτα δεκαοκτώ.* C, quod M mutavit in *δέκα, εἶτα δεκαοκτώ.*

P (rho) autem duorum et *εἶ* (*E*) duorum et *I* (iota) quattuor, *Σ* (sigma) quinque et *T* (tau) trium, *οὖ* (*O*) autem duorum et *σάν* trium. Ita id quod in Christo est ineffabile dicunt triginta esse elementorum. Et propter hoc aiunt eum dicere: *Ego A et Ω*, ostendentem columbam quae hunc habet numerum, qui est octingenta unum.

50. Et Iesus vero hanc habet ineffabilem originem. Etenim a matre universorum, prima tetrade, instar filiae provenit altera tetras, et extitit ogdoas, unde provenit decas: ita extiterunt octodecim. Decas igitur congressa cum ogdoade postquam decuplicavit eam, octogenarium numerum produxit, et octogenarium rursus postquam decuplicavit, numerum qui est octingentorum genuit, ut sit universus numerus litterarum ab ogdoade secundum decadem progressus 888, quod est Iesus; *Iesus* enim nomen ex numero litterarum est 888. Et alphabetum vero Graecorum habet monades octo et decades octo et hecatontades octo, numerum octingentorum octoginta octo

---

2. Iesus autem hanc habet, inquit, inenarrabilem genesim. A matre enim universorum, id est primae quaternationis, in filiae locum processit secunda quaternatio, et facta est octonatio, ex qua progressa est decas; sic factum est XVIII. Decas itaque adiuncta octonationi et decuplam eam faciens LXXX fecit numerum, et rursus octuagies decies octingentorum numerum fecit, ut sit universus litterarum numerus ab octonatione in decadem progrediens octo et octuaginta et DCCC, quod est Iesus; *Iesus* enim nomen secundum Graecarum litterarum computum DCCC sunt LXXXVIII. Habes manifeste et supercaelestis Iesu secundum eos genesim. Quapropter et A B Graecorum habere monadas octo et decadas VIII et hecatontadas VIII, DCCCLXXXVIII numerum ostendentia, hoc est

---

Nimirum non perspexit librarium, cum in libro suo reperisset $\overline{ιη}$, depravasse in *ἰῶτα εἶτα* [*ἦτα*], et deinde numerum ipsum denuo addidisse. 27. *ἐπισυνελθοῦσα*] *ἔστη συνελθοῦσα* C 28. 29. *προεβίβασεν — ὀγδοήκοντα* om C 29. *δεκαπλασιάσαντα* C 30. *ἐγέννησιν* C 31. *ὀγδοάδος*] *ὀγδοάδα* C *προελθόντα*] *προσελθόντα* C M *εἶναι* delendum esse iam M suspicatus est. $\overline{η}$] *ἦτα* C M 34. 35. *καὶ—ὀκτὼ* supplevit M

οκτὼ ψῆφον· ἐπιδεικνύον, τουτέστι τὸν Ἰησοῦν, ἐκ πάντων συνεστῶτα τῶν ἀριθμῶν. Καὶ διὰ τοῦτο ἄλφα [καὶ ω̅] ὀνομάζεσθαι αὐτόν, τὴν ἐκ πάντων γένεσιν σημαίνοντα.

51. *Περὶ δὲ τῆς τούτου δημιουργίας οὕτως λέγει· Ἀπο τῆς τετράδος τῆς δευτέρας δυνάμεις ἀπορρυείσας δεδημιουργηκέναι τὸν ἐπὶ γῆς φανέντα Ἰησοῦν, καὶ τοῦ λόγου τὸν τόπον ἀναπεπληρωκέναι τὸν ἄγγελον Γαβριήλ, τῆς δὲ ζωῆς τὸ ἅγιον πνεῦμα, τοῦ δὲ ἀνθρώπου τὴν τοῦ ὑψίστου δύναμιν, τῆς δὲ ἐκκλησίας τὴν παρθένον. Οὕτως ὁ κατ' οἰκονομίαν διὰ τῆς Μαρίας γενεσιουργεῖται παρ' αὐτῷ ἄνθρωπος. Ἐλθόντος δὲ αὐτοῦ εἰς τὸ ὕδωρ, κατελθεῖν εἰς αὐτὸν ὡς περιστερὰν τὸν ἀναβαίνοντα ἄνω καὶ πληρώσαντα τὸν δωδέκατον ἀριθμόν, ἐν ᾧ ὑπάρχει τὸ σπέρμα τούτων τῶν συγκατασπαρέντων αὐτῷ καὶ συγκαταβάντων καὶ συναναβάντων. Ταύτην δὲ τὴν δύναμιν τὴν καταβᾶσαν εἰς αὐτόν, [σπέρμα] φησὶν εἶναι τοῦ πληρώμα-*

[ἔπειτα] δεικνύοντα, τουτέστι τὸ ε̅ι̅η̅, τὸν ἐκ πάντων συνεστῶτα τῶν ἀριθμῶν, καὶ διὰ τοῦ ἄλφα καὶ ω̅ ὀνομάζεσθαι αὐτόν, τὴν ἐκ πάντων γένεσιν σημαίνοντα. Καὶ πάλιν οὕτως· Τῆς πρώτης τετράδος κατὰ πρόσβασιν ἀριθμοῦ εἰς αὐτὴν συντιθεμένης ὁ τῶν δέκα ἀνεφάνη ἀριθμός. κ. τ. λ.

10. *Ἀπὸ τετράδος γὰρ προῆλθον οἱ αἰῶνες· ἦν δὲ ἐν τῇ τετράδι ἄνθρωπος καὶ ἐκκλησία, λόγος καὶ ζωή. Ἀπὸ τούτων οὖν δυνάμεις, φησίν, ἀπορρυεῖσαι ἐγενεσιούργησαν τὸν ἐπὶ γῆς φανέντα Ἰησοῦν, καὶ τοῦ μὲν λόγου ἀναπεπληρωκέναι τὸν τόπον τὸν ἄγγελον Γαβριήλ, τῆς δὲ ζωῆς τὸ ἅγιον πνεῦμα, τοῦ δὲ ἀνθρώπου τὴν δύναμιν τοῦ υἱοῦ, τὸν δὲ τῆς ἐκκλησίας τόπον ἡ παρθένος ἐπέδειξεν [ἔδειξεν* Cod. reg.]. *Οὕτως τε ὁ κατ' οἰκονομίαν διὰ τῆς Μαρίας γενεσιουργεῖται παρ' αὐτῷ ἄνθρωπος, ὃν ὁ πατὴρ τῶν ὅλων διελθόντα διὰ μήτρας ἐξελέξατο διὰ λόγου εἰς ἐπίγνωσιν αὐτοῦ. Ἐλθόντος δὲ αὐτοῦ εἰς τὸ ὕδωρ, κατελθεῖν εἰς αὐτὸν ὡς περιστερὰν τὸν ἀναδραμόντα ἄνω καὶ πληρώσαντα τὸν δωδέκατον ἀριθμόν, ἐν ᾧ ὑπάρχει τὸ σπέρμα τούτων τῶν συσπαρέντων αὐτῷ καὶ συγκαταβάντων καὶ συναναβάντων. Αὐτὴν δὲ τὴν δύναμιν κατελθοῦσαν σπέρμα φησὶν εἶναι τοῦ πατρός,*

---

36. *ἐπιδεικνύοντα* C M 36. 37. *συνεστῶτα τῶν*] *τῶν συνεστώτων* C M 37. *καὶ ω̅* om C M 40. 41. *ἀπορυεῖσα δεδημιουργικέναι* C 41—44. Cf. Luc. 1, 26—38. 41. *τὸν τόπον*] *τοῦτον* C M

exhibens, hoc est Iesum, qui ex omnibus numeris constat, proptereaque eum se vocare *A* et *Ω*, generationem suam ex omnibus ortam indicantem.

51. De fabricatione autem huius ita dicit: A quaternione altero potestates emanasse, quae fabricaverint Iesum qui in terris apparuit, et Logi obtinuisse locum angelum Gabriel, Vitae autem spiritum sanctum, Hominis autem Altissimi virtutem, Ecclesiae autem virginem. Ita qui est ex dispensatione homo per Mariam editur secundum eum. Cum autem venisset in aquam, descendisse in eum tanquam columbam illam, qui ascendit superne et duodecimum numerum impleverat, in quo extat semen eorum, qui sunt una cum eo sati et una descenderunt et ascenderunt. Hanc autem potestatem, quae descendit in eam, semen ait esse pleromatis, habens in se et Patrem et

---

Iesum, qui est ex omnibus constans numeris, et propter hoc *A* et *Ω* nominari eum, cum significent ex omnibus eius generationem. Et iterum ita: Primae quaternationis secundum progressionem numeri in semet ipsam compositae X apparuit numerus; etc.

3. A quaternatione enim progressi sunt aeones. Erat autem in quaternatione Anthropos et Ecclesia, Logos et Zoe. Ab iis igitur virtutes, ait, emanatae generaverunt eum, qui in terra manifestatus est, Iesum, et Logi quidem locum adimplesse angelum Gabriel, Zoes autem spiritum sanctum, Anthropi autem Altissimi virtutem, Ecclesiae autem locum virgo ostendit. Et sic ille, qui est secundum dispositionem, per Mariam generatur apud eum homo, quem Pater omnium transeuntem per vulvam elegit per Verbum ad agnitionem suam. Cum autem venisset ipse ad aquam, descendisse in eum quasi columbam eum, qui recucurrit sursum, et implevit XII numerum, in quo inerat semen eorum, qui conseminati sunt cum eo et condescenderunt et coascenderunt. Ipsam autem virtutem, quae descendit, semen dicit esse Patris, habens in se et Patrem et

---

45. *αὐτῷ*] *αὐτῶν* C M   47. *ἀναβαίνοντα*] *ἀναβάντα?*   50. *σπέρμα* om C M, qui scribendum esse opinatur: *τοῦ πληρώματος* [*σπέρμα*] *ἔχον*

τος, ἔχον ἐν ἑαυτῷ καὶ τὸν πατέρα καὶ τὸν υἱὸν τήν τε διὰ τούτων γινωσκομένην ἀνονόμαστον | δύναμιν τῆς σιγῆς καὶ τοὺς ἅπαντας αἰῶνας. Καὶ τοῦτο εἶναι τὸ πνεῦμα τὸ ἐν αὐτῷ, φωνῆσαν διὰ τοῦ στόματος τοῦ υἱοῦ, τὸ ὁμολογῆσαν ἑαυτὸν υἱὸν ἀνθρώπου καὶ φανερῶσαν τὸν πατέρα, κατελθὸν μέντοιγε εἰς τὸν Ἰησοῦν ἡνῶσθαι αὐτῷ. Καὶ καθεῖλε μὲν τὸν θάνατον, φασίν, ὁ ἐκ τῆς οἰκονομίας σωτήρ, ἐγνώρισε δὲ τὸν πατέρα Χριστὸν [Ἰησοῦν]. Εἶναι οὖν τὸν Ἰησοῦν ὄνομα μὲν τοῦ ἐκ τῆς οἰκονομίας ἀνθρώπου λέγει, τεθεῖσθαι δὲ ἐξομοίωσιν καὶ μόρφωσιν τοῦ μέλλοντος εἰς αὐτὸν κατέρχεσθαι ἀνθρώπου, ὃν χωρήσαντα ἐσχηκέναι αὐτόν, αὐτόν τε εἶναι τὸν ἄνθρωπον, αὐτὸν τὸν λόγον, αὐτὸν τὸν πατέρα καὶ [τὸν] ἄρρητον καὶ τὴν σιγὴν καὶ τὴν ἀλήθειαν καὶ ἐκκλησίαν καὶ ζωήν.

52. Ταῦτα μὲν οὖν πρόδηλα εἶναι πᾶσιν ἐλπίζω τοῖς ὑγιαίνοντα νοῦν κεκτημένοις ὄντα ἄκυρα καὶ μακρὰν τῆς κατὰ θεοσέβειαν γνώσεως, ὄντα μέρη ἀστρολογικῆς ἐφευρέσεως καὶ ἀριθμητικῆς Πυθαγορείου, καθὼς οἱ φιλομαθεῖς εἴσεσθε, ἐν τοῖς προμεριμνηθεῖσιν ἡμῖν ἐκκειμένων τούτων τῶν δογμάτων. Ἵνα δὲ σαφέστερον τούτους ἐπιδείξωμεν οὐ Χριστοῦ μαθητάς, ἀλλὰ Πυθαγόρου, καὶ τῶν περὶ τὰ μετέωρα τῶν ἄστρων

ἔχον ἐν ἑαυτῷ καὶ τὸν πατέρα καὶ τὸν υἱὸν τήν τε διὰ τούτων γινωσκομένην ἀνονόμαστον δύναμιν τῆς σιγῆς καὶ τοὺς ἅπαντας αἰῶνας. Καὶ τοῦτ' εἶναι τὸ πνεῦμα τὸ λαλῆσαν διὰ τοῦ Ἰησοῦ, τὸ ὁμολογῆσαν ἑαυτὸν υἱὸν ἀνθρώπου καὶ φανερώσαντα τὸν πατέρα, κατελθὸν μὲν εἰς τὸν Ἰησοῦν, ἡνῶσθαι δ' αὐτῷ. Καὶ καθεῖλε μὲν τὸν θάνατον, φησίν, ὁ ἐκ τῆς οἰκονομίας σωτήρ, ἐγνώρισε δὲ τὸν πατέρα Χριστόν. Εἶναι οὖν τὸν Ἰησοῦν ὄνομα μὲν τοῦ ἐκ τῆς οἰκονομίας ἀνθρώπου λέγει, τεθεῖσθαι δὲ εἰς ἐξομοίωσιν καὶ μόρφωσιν τοῦ μέλλοντος εἰς αὐτὸν κατέρχεσθαι ἀνθρώπου, τὸν χωρήσαντα αὐτόν, ἐσχηκέναι δὲ αὐτόν τε τὸν ἄνθρωπον, αὐτόν τε τὸν λόγον καὶ τὸν πατέρα καὶ τὸν ἄρρητον καὶ τὴν σιγὴν καὶ τὴν ἀλήθειαν καὶ ἐκκλησίαν καὶ ζωήν. Κ. τ. λ.

12. Τὴν οὖν γένεσιν τῶν αἰώνων αὐτῶν καὶ τὴν πλάνην τοῦ προβάτου καὶ ἀνεύρεσιν ἑνώσαντες ἐπὶ τὸ αὐτὸ μυστικώτερον

---

53. τοῦτο] τοῦτον C M 53. 54. φωνῆσαν] ἔφασαν C 54.

Filium et eam, quae per hos cognoscitur, innominabilem potestatem Sigae et universos aeones. Et hoc (sc. semen) esse spiritum in eo, locutum per os Filii, confessum semet esse Filium hominis, et qui manifestaverit Patrem, postquam autem descendisset in Iesum, unitum esse cum eo. Et deiecit quidem mortem, aiunt, qui ex dispensatione est Salvator, notum autem fecit Patrem Christum [Iesum]. Esse igitur ait *Iesum* quidem nomen hominis, qui ex dispensatione est, positum autem esse ad assimilandum et adumbrandum illum Hominem, qui erat in ipsum descensurus, quem in se recipiendo habuerit, et esse ipsum Hominem, ipsum Logum, ipsum Patrem et Arrhetum et Sigen et Veritatem et Ecclesiam et Vitam.

52. Et haec quidem manifestum esse opinor omnibus, qui sunt sana mente, quam sint inepta longeque remota a cognitione verae fidei, cum sint frustula astrologicae inventionis et Pythagoricae artis arithmeticae, sicuti discendi studiosi prospicietis, cum in iis, quae antehac elucubravimus, haec placita exposita sint. Sed quo apertius ostendamus hos non Christi esse discipulos, sed Pythagorae: etiam eorum, quae de meteoris astrorum ab iis decantantur, quantum per com-

---

Filium et eam, quae per eos cognoscitur innominabilis virtus Siges, et omnes aeonas. Et hunc esse spiritum, qui locutus est per os Iesu, qui se confessus est Filium hominis et manifestavit Patrem, descendens quidem in Iesum, unitus est. Et destruxit quidem mortem, ait, qui fuit ex dispositione salvator Iesus, agnovit autem Patrem Christum. Iesum esse ergo nomen quidem eius, qui est ex dispositione homo, dicit, positum autem esse in assimilationem et figurationem eius, qui incipit in eum descendere, Hominis, quem capientem habere et ipsum Hominem et ipsum Logon et Patrem et Arrheton et Sigen et Alethian et Ecclesiam et Zoen. Etc.

Cap. 16, 1. Generationem itaque aeonum et errorem ovis et adinventionem adunantes in unum mystice audent annun-

---

υἱοῦ] an *Ἰησοῦ?* 56. *Καὶ καθεῖλε*] *Καθεῖλε* C M 57. *ἐκ τῆς οἰκ.*] *ἐκ οἰκ.* C: *ἐξ οἰκ.* M 58. *Ἰησοῦν* uncinis inclusimus 61. *χωρίσαντα* C M 62. *τὸν* add M 69. *προμεριμνησθεῖσιν* C 70. *οὐχὶ μαθητὰς* C

ἀπ ..... λημένων ὅσα ἐπιτομῇ δυνατόν ἐστιν ἐκθήσομαι. Λέγουσι γὰρ ταῦτα· Ἐκ μονάδος καὶ δυάδος τὰ ὅλα συνεστάναι, καὶ ἀπὸ μὲν μονάδος ἕως τῶν τεσσάρων ἀριθμοῦντες, οὕτως γεννῶσι τὴν δεκάδα. Πάλιν δ' αὖ δυὰς προελθοῦσα ἕως τοῦ ἐπισήμου, οἷον δύο καὶ τέσσαρα καὶ ἕξ, τὴν δωδεκάδα ἀπέδειξε. Καὶ πάλιν ἀπὸ τῆς δυάδος ἀριθμούντων ἡμῶν ἕως τῶν δέκα ἡ τριάκοντας ἀνεδείχθη, ἐν ᾗ ὀγδοὰς καὶ δεκὰς καὶ δωδεκάς. Τὴν οὖν δωδεκάδα διὰ τὸ ἐπίσημον ἐσχηκέναι συνεπακολουθῆσαν αὐτῇ τὸ ἐπίσημον πάθος, καὶ διὰ τοῦτο περὶ τὸν δωδέκατον ἀριθμὸν τοῦ σφάλματος γενομένου τὸ πρόβατον ἀποσκιρτῆσαν πεπλανῆσθαι. ..... ὁμοίως δὲ καὶ ἐκ τῆς δεκάδος. Καὶ ἐπὶ τούτων τὴν δραχμὴν λέγουσιν, ἣν ἀπολέσασα γυνὴ ἅψασα λύχνον ἐζήτει, τήν τε ἐπὶ ἑνὶ προβάτῳ ἀπώλειαν, καὶ τὴν τῶν ἐνενήκοντα ἐννέα συντιθέντες ἑαυτοῖς ἀριθμοὺς μυ-

---

ἐπιχειροῦσιν ἀπαγγέλλειν οὗτοι οἱ εἰς ἀριθμοὺς τὰ πάντα κατάγοντες, ἐκ μονάδος καὶ δυάδος φάσκοντες τὰ ὅλα συνεστηκέναι. Καὶ ἀπὸ μονάδος ἕως τῶν τεσσάρων ἀριθμοῦντες οὕτω γεννῶσι τὴν δεκάδα· μία γὰρ καὶ δύο καὶ τρεῖς καὶ τέσσαρες συντεθεῖσαι ἐπὶ τὸ αὐτὸ τὸν τῶν δέκα αἰώνων ἀπεκύησαν ἀριθμόν. Πάλιν δ' αὖ ἡ δυὰς ἀπ' αὐτῆς προελθοῦσα ἕως τοῦ ἐπισήμου, οἷον δύο καὶ τέσσαρες καὶ ἕξ, τὴν δωδεκάδα ἀπέδειξε. Καὶ πάλιν ἀπὸ τῆς δυάδος ὁμοίως ἀριθμούντων ἡμῶν ἕως τῶν δέκα ἡ λ̄ ἀνεδείχθη, ἐν ᾗ ὀκτὼ καὶ δέκα καὶ δώδεκα. Τὴν οὖν δωδεκάδα διὰ τὸν ἐπίσημον συνεσχηκέναι, διὰ τὸ συνεπακολουθήσασαν αὐτῇ τὸ ἐπίσημον πάθος λέγουσι, καὶ διὰ τοῦτο περὶ τὸν δωδέκατον ἀριθμὸν τοῦ σφάλματος γενομένου τὸ πρόβατον ἀποσκιρτῆσαν πεπλανῆσθαι, ἐπειδὴ τὴν ἀπόστασιν ἀπὸ δωδεκάδος γεγενῆσθαι φάσκουσι. Τῷ αὐτῷ τρόπῳ καὶ ἀπὸ τῆς δωδεκάδος ἀπόστασιν μίαν δύναμιν ἀπολωλέναι μαντεύονται, καὶ ταύτην εἶναι τὴν γυναῖκα τὴν ἀπολέσασαν τὴν δραχμὴν καὶ ἅψασαν λύχνον καὶ εὑροῦσαν αὐτήν. Οὕτως οὖν καὶ [ἐπὶ] τοὺς ἀρι-

---

72. *ἀπ' αὐτοῦ* (vel potius *ἀπὸ τούτου*) *εἰλημμένων* M: an *ἀπ' αὐτῶν τεθρυλλημένων* vel *εἰλεγμένων?* *ἐπιτομῇ*] *ἐπὶ τὸ μὴ* C 73. sqq. Cf. Iren. *c. haer.* I, 16, 1 sqq. 76. 77. *ἐπέδειξε* C 78. *ἡ τριάκοντας*] *ἢ τριάκοντα* C: *ἡ λ̄* M 79. sqq. Cf. Iren. et quae Massuetus ad hunc locum adnotavit his usus verbis: *A duodenario numero abstracto semel*

pendium licebit exponam. Dicunt quippe haec: Ex monade et dyade cuncta constare, et a monade quidem usque ad quattuor numerantes ita generant decadem. Rursus autem dyas progressa ad insigne (i. e. ϛ), scilicet duo et quattuor et sex, duodecadem effecit. Et rursus numerantibus nobis a binario ad denarium numerus tricenarius efficitur, in quo ogdoas et decas et dodecas. Duodecadem igitur propter insigne habuisse comitem suum insignem passionem, et propterea cum circa duodecimum numerum erratum esset, ovem a grege palatam in errorem actam esse . . . . . similiter vero etiam ex decade. Atque haec respicientes drachmam loquuntur, quam perditam mulier accensa lucerna quaerebat, et illud quod in una ove accidit damnum, et nonaginta novem inter se componentes

---

ciare hi, qui in numeros omnia deduxerunt, de monade et dualitate dicentes omnia constare. Et a monade usque ad quattuor numerantes sic generant decadem. Unum enim et duo et tres et quattuor in unum compositae decem aeonum generaverunt numerum. Rursus autem dualitas ab ea progressa usque ad episemon, duo et quattuor et sex, duodecadem ostendit. Et rursus a dualitate similiter numerantibus nobis usque ad X, XXX numerus ostensus est, in quo est ogdoas et decas et duodecas. Duodecadem igitur, eo quod episemon habuerit consequentem sibi, propter episemon passionem vocant, et propter hoc circa XII numerum cum labes quaedam facta fuisset, ovem luxuriatam aberrasse, quoniam apostasiam a duodecade factam dicunt. Similiter et a duodecade abscedentem unam virtutem perisse divinant, et hanc esse mulierem, quae perdiderit drachmam et accenderit lucernam et invenerit eam. Sic igitur et numeros reliquos, in

---

episemo, qui quidem in litterarum ordinem et numerum non venit, supersunt undecim litterae duntaxat. Hinc in duodecade πάθος, seu, quod alibi dicunt haeretici, ὑστέρημα, defectus unius litterae: figura defectus seu passionis, quae abscedente uno aeone postremae aeonum duodecadi contigit.
79. 80. συνεπηκολούθησεν C 81. sqq. Cf. Luc. 15, 4—10. 82. Ante ὁμοίως lacunam signavimus coll. Irenaeo 83. δραγμὴν λέγουσιν, ἣν C 85. ἑαυτοῖς] ἑαυτοὺς C M

θεύουσιν ὡς τῶν ἕνδεκα ἐπισυμπλεκομένων τοῖς ἐννέα ποιεῖν τὸν τῶν ἐνενήκοντα ἐννέα ἀριθμόν, καὶ τούτου χάριν λέγεσθαι τὸ ἀμήν, περιέχον ἀριθμὸν ἐνενήκοντα ἐννέα· ἄλλον δὲ ἀριθμὸν ..... οὕτω λέγουσι· Τὸ ἦτα στοιχεῖον σὺν τῷ ἐπισήμῳ ὀγδοάδα εἶναι, ἀπὸ τοῦ ἄλφα ὀγδόῳ κείμενον τόπῳ· εἶτα πάλιν ἄνευ τοῦ ἐπισήμου ψηφίζοντες τὸν ἀριθμὸν αὐτῶν τῶν στοιχείων καὶ συντιθέντες μέχρι τοῦ ἦτα, τὸν τριάκοντα ἀριθμὸν ἐπι|δεικνύουσιν. Ἀρξάμενος γάρ τις ἀπὸ τοῦ ἄλφα ἕως τοῦ ἦτα, τὸν ἀριθμὸν τῶν στοιχείων, ὑπεξαιρούμενος τὸν ἐπίσημον, εὑρήσει [τὸν] τριάκοντα ἀριθμόν. Ἐπεὶ οὖν ἐκ τῶν τριῶν δυνάμεων ἥνωται ὁ τῶν τριάκοντα ἀριθμός, [τρὶς] αὐτὸς γενόμενος τὰ ἐνενήκοντα ἐποίησε· τρὶς γὰρ τριάκοντα ἐνενήκοντα. Οὕτως ἡ ὀγδοὰς τὸν τῶν ἐνενήκοντα ἐννέα ἀπεκύησεν ἀριθμὸν ἐκ πρώτης ὀγδοάδος καὶ δεκάδος καὶ δωδεκάδος, ἧς

θμοὺς τοὺς καταλειφθέντας, ἐπὶ μὲν τῆς δραχμῆς τοὺς ἐννέα, ἐπὶ δὲ τοῦ προβάτου τοὺς ἕνδεκα ἐπιπλεκομένους ἀλλήλοις τὸν τῶν ἐνενηκονταεννέα τίκτειν ἀριθμόν, ἐπεὶ ἐννάκις τὰ ἕνδεκα ἐνενηκονταεννέα γίνεται· διὸ καὶ τὸ ἀμήν τοῦτον λέγουσιν ἔχειν τὸν ἀριθμόν. Οὐκ ὀκνήσω δέ σοι καὶ ἄλλως ἐξηγουμένων αὐτῶν ἀπαγγεῖλαι, ἵνα πανταχόθεν κατανοήσῃς τὸν καρπὸν αὐτῶν. Τὸ γὰρ στοιχεῖον τὸ η̅ σὺν μὲν τῷ ἐπισήμῳ ὀγδοάδα εἶναι θέλουσιν, ἀπὸ τοῦ πρώτου ὀγδόου κείμενον τόπου· εἶτα πάλιν ἄνευ τοῦ ἐπισήμου ψηφίζοντες τὸν ἀριθμὸν αὐτῶν τῶν στοιχείων καὶ ἐπισυνθέντες μέχρι τοῦ η̅, τὴν τριακοντάδα ἐπιδεικνύουσιν. Ἀρξάμενος γὰρ ἀπὸ τοῦ ἄλφα καὶ τελευτῶν εἰς τὸ η̅, τῷ ἀριθμῷ τῶν στοιχείων, ὑπεξαιρούμενος δὲ τὸ ἐπίσημον καὶ ἐπισυντιθεὶς τὴν ἐπαύξησιν τῶν γραμμάτων, εὑρήσει τὸν τῶν τριάκοντα ἀριθμόν. Μέχρι γὰρ τοῦ θ̅ (sic) *στοιχείου πεντεκαίδεκα γίνονται, ἔπειτα προστεθεὶς αὐτοῖς ὁ τῶν ἑπτὰ ἀριθμὸς β̅ καὶ κ̅ ἀπετέλεσε, προσελθὼν τούτοις τὸ η̅, ὅ ἐστιν ὀκτώ, τὴν θαυμασιωτάτην τριακοντάδα ἀνεπλήρωσε, καὶ ἐντεῦθεν ἀποδεικνύουσι τὴν ὀγδοάδα μητέρα τῶν τριάκοντα αἰώνων. Ἐπεὶ οὖν ἐκ τριάκοντα δυνάμεων ἥνωται ὁ τῶν λ̅ ἀριθμός, τρεῖς αὐτὸς γενόμενος τὰ ἐνενήκοντα ἐποίησε· τρεῖς γὰρ τριάκοντα ἐνενήκοντα. Καὶ αὐτὴ δὲ ἡ τριὰς ἐφ' ἑαυτῆς συντεθεῖσα ἐννέα ἐγέννησεν. Οὕτως δὲ ἡ ὀγδοὰς τὸν τῶν ἐννέα*

---

88. 89. Post *ἀριθμὸν* quaedam excidisse videntur   90. *ὀγδόῳ*]

numeros fabulantur, undecim complicatis cum novem effici nonaginta et novem numerum, et huius rei gratia dici illud Amen complexum numerum nonaginta novem. Alium autem numerum . . . . . ita aiunt: Litteram *H* una cum episemo ogdoadem esse, quoniam ab *A* octavo sita sit loco; deinde rursus sine episemo computantes numerum ipsarum litterarum et componentes usque ad *H* triginta numerum edunt. Profectus enim quispiam ab Alpha usque ad Eta numerum litterarum dempto episemo reperiet triginta numerum. Quoniam igitur ex tribus potestatibus unitus est numerus triginta, ter ipse repetitus numerum nonaginta effecit; ter enim triginta nonaginta. Ita ogdoas numerum nonaginta novem peperit ex prima ogdoade et decade et duodecade, cuius modo in integrum cogentes numerum faciunt triacontadem, modo duodecimum dementes numerant undecim; similiter et decimum faciunt no-

---

drachma qui sunt novem, in ove vero undecim, perplexos sibimet ipsis, XCIX numerum generare, quoniam novies undecim XCIX fiant; quapropter et *Amen* hunc habere dicunt numerum.

2. Non pigritabor autem tibi et aliter eos interpretantes annunciare, ut undique conspicias fructum eorum. Litteram enim *H* cum episemo ogdoadem esse volunt, cum ab Alpha beta octavo sit posita loco; rursus iterum sine episemo computantes numerum ipsarum litterarum et componentes usque ad *H*, triacontadem ostendunt. Incipiens enim quis ab *A* et perfiniens in *H*, per numeros litterarum, abstrahens autem episemum et insuper coniungens incrementum litterarum, inveniet tricenarium numerum. Usque enim ad *E* litteram XV fiunt, post deinde appositus iis VII numerus II et XX perficit, cum autem appositum est iis *H*, quod est VIII, admirabilem triacontadem adimplevit, et hinc ostendunt ogdoadem matrem triginta aeonum. Quoniam igitur ex tribus virtutibus unitus est tricenarius numerus, ter idem factus XC fecit. Et ipsa autem trias in se composita VIIII generavit. Sic ogdoas XCIX gene-

---

ἐν ὀγδόῳ M 95. *τὸν* ante *τριάκοντα* om C: *τῶν* M 96. *τρὶς* add M

89. *Ἐπεὶ οὖν οὐδὲν ἦν*] *Ἐπεὶ οὐδὲν* C M: *Ἐπεὶ οὐδὲν ἦν* Bunsenius secutus Bernaysium 90. *οὐ σύνθετον*] *οὐκ ἀσύνθετον* C *οὐκ ἀνόητον, οὐκ ἀναίσθητον*] *οὐ νοητόν, οὐκ αἰσθητόν* susp. Iacobius: *οὐ νοητὸν οὐκ ἀναίσθητον* Bunsenius: An *οὐ νοητόν, οὐκ ἀνόητον, οὐκ αἰσθητόν, οὐκ ἀναίσθητον,* quod etiam Uhlhornius coniecit? 93. *λεπτομερεστέρως*] *λεπτομερῶς* C M: *λεπτομεροτέρως* Bernaysius et Bunsenius: *λεπτοτέρως* coni. Roeperus et Uhlhornius 94. *οὐκ ὢν θεός*] *ὁ οὐκ ὢν θεός* Roeperus coll. lin. 14. 25. 59. p. 366, 32. 95. *οὗτοι*] *οὗτος* susp. M 3. *πάντα*] *πάσας* C M Bunsenius 4. *ἀνεξαρίθμητα τῶν κόκκων*] *ἀνεξαρίθμητα, μετὰ τὸν κόκκον* C M Bunsenius: *ἀνεξ., εἶτα τὸν καρπὸν* Roeperus *ἀπὸ*] ... *ὁ* C: *τὰ ἀπὸ* M Bunsenius: *καὶ τὰ*

21. Quandoquidem igitur nihil erat, non substantia, non insubstantiale, non simplex, non compositum, non incomprehensibile, non insensuale, non homo, non angelus, non deus, neque omnino quidquam eorum, quae nomine appellantur, sive sensu percipiuntur seu mente, sed ita et vel subtilius omnibus prorsus sublatis: non-ens deus, (quem Aristoteles vocat cogitationem cogitationis, hi autem non-entem) sine cogitatione, sine sensu, sine consilio, sine proposito, sine passione, sine cupiditate mundum voluit facere. *Voluit* autem cum dico, inquit, significationis gratia dico, sine voluntate et sine cogitatione et sine sensu, *mundum* autem non illum, qui per latitudinem et separationem postea factus est et diremptus, verum semen mundi. Semen autem mundi omnia habebat in se ipso, ut granum sinapeos in minimo comprehensa habet omnia simul: radices, stirpem, ramos, folia, innumerabilia granorum a planta generata semina plantarum, quae aliae et saepenumero aliae inde funduntur. Ita non-ens deus fecit mundum non-entem ex non-entibus, cum deiiceret et supponeret semen quoddam unum, quod continebat in se mundi universa semina. Quo autem planius faciam, quod illi dicunt: sicuti ovum avis variae cuiusdam et multicoloris, veluti pavonis aut alius cuiusdam etiam magis variae et versicoloris, cum unum sit, revera continet in se multas multiformium substantiarum et multicolorum et multiplicium formas: ita habet deiectum, inquit, a nonente deo non-ens semen omnia mundi semina multiformia simul et multifaria in sese.

22. Omnia igitur, quaecunque licet dicere quaeque non reperta praetermittere, quaequae futuro mundo a semine erant

ἀπὸ Roeperus 5. 6. *κεχυμένων*] *κεχυμένα* C: *κεκρυμμένα* Bernaysius et Bunsenius 6. *οὐκ ὤν*] *ὁ οὐκ ὤν* Roeperus *ὄντα*] *ὤν* C M Bunsenius Cf. infra lin. 14. et p. 320, 75 ed. Oxon. Ut nos etiam Iacobius correxit 7. *καταβαλλόμενος* C M Bunsenius *σπέρμα τι*] *σπέρματι* C M 9. *ὠιὸν* C 10. *εὐποικίλου*] *ἐκ ποικίλλου* C: *ἐκ ποικίλου* M: *ἐκποικιλλομένου* Bernaysius et Bunsenius 12. *ὄντως*] *οὕτως* C: *ὅμως* M Bunsenius 14. *πανσπερμίαν* Uhlhornius inseruit: om C M Bunsenius. Cf. cum antecedentibus doctrinam cosmogonicam, quam Appion exponit in *Homiliis Clementis Rom. Hom.* VI, c. 3—5. 17. *ὅσα* ante *τῷ* om Bernaysius et Bunsenius *γενέσθαι*] *γηνήσεσθαι* Roeperus

ἔμελλεν ἁρμόζειν, ἀναγκαίοις καιροῖς ἰδίως κατὰ προσθήκην αὐξανόμενα, ὡς ὑπὸ τηλικούτου καὶ τοιούτου θεοῦ, ὁποῖον οὐκ εἰπεῖν οὐδὲ νοήσει δυνατὴ γέγονε χωρῆσαι ἡ κτίσις, [καὶ] ἐνυπῆρχε τεθησαυρισμένα τῷ σπέρματι, καθάπερ νεογενεῖ παιδίῳ ὀδόντας ὕστερον ὁρῶμεν καὶ πατρικὴν προσγενέσθαι οὐσίαν καὶ φρένας καὶ ὅσα παραυξανομένῳ ἐκ νέου κατὰ μικρὸν ἀνθρώπῳ ἃ μὴ πρότερον ἦν γίνεται. Ἐπεὶ δὲ ἦν ἄπορον εἰπεῖν προβολήν τινα τοῦ μὴ ὄντος θεοῦ γεγονέναι τι οὐκ ὄν, — φεύγει γὰρ πάνυ καὶ δέδοικε τὰς κατὰ προβολὴν τῶν γεγονότων οὐσίας ὁ Βασιλείδης — ποίας γὰρ προβολῆς χρεία, ἢ ποίας ὕλης ὑπόθεσις, ἵνα κόσμον θεὸς ἐργάσηται, καθάπερ ὁ ἀράχνης τὰ μηρύματα, ἢ θνητὸς ἄνθρωπος χαλκὸν ἢ ξύλον ἤ τι τῶν τῆς ὕλης μερῶν ἐργαζόμενος λαμβάνει; Ἀλλὰ εἶπε, φησί, καὶ ἐγένετο, καὶ τοῦτό ἐστιν, ὡς λέγουσιν οἱ ἄνδρες οὗτοι, τὸ λεχθὲν ὑπὸ Μωσέως· Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Πόθεν, φησί, γέγονε τὸ φῶς; ἐξ οὐδενός· οὐ γὰρ γέγραπται, φησί, πόθεν, ἀλλ᾽ αὐτὸ μόνον ἐκ τῆς φωνῆς τοῦ λέγοντος, ὁ δὲ λέγων, φησίν, οὐκ ἦν, οὐδὲ τὸ γενόμενον ἦν. Γέγονε, φησίν, ἐξ οὐκ ὄντων τὸ σπέρμα τοῦ κόσμου, ὁ λόγος ὁ λεχθείς· γενηθήτω φῶς, καὶ τοῦτο, φησίν, ἐστι τὸ λεγόμενον ἐν τοῖς εὐαγγελίοις· Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν | κόσμον. Λαμβάνει τὰς ἀρχὰς ἀπὸ τοῦ σπέρματος ἐκείνου καὶ φωτίζεται. Τοῦτό ἐστι τὸ σπέρμα, ὃ ἔχει ἐν ἑαυτῷ πᾶσαν τὴν πανσπερμίαν, ὅ φησιν Ἀριστοτέλης γένος εἶναι εἰς ἀπείρους τεμνόμενον ἰδέας, ὡς τέμνομεν ἀπὸ τοῦ ζῴου βοῦν, ἵππον, ἄνθρωπον, ὅπερ ἐστὶν οὐκ ὄν. Ὑποκειμένου τοίνυν τοῦ κοσμικοῦ σπέρματος, ἐκεῖνοι λέγουσιν· ὅ, τι ἂν λέγω, φησίν, μετὰ ταῦτα γεγονέναι, μὴ ἐπιζήτει πόθεν. Εἶχε γὰρ πάντα τὰ σπέρματα ἐν ἑαυτῷ τεθησαυρισμένα καὶ κατακείμενα, οἷον οὐκ ὄντα, ὑπό τε τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι προβεβουλευμένα. Ἴδωμεν οὖν, τί λέγουσι πρῶτον ἢ τί δεύτερον ἢ τί τρί-

18. ἁρμόζειν] ἁρμόζει coni. M ἀναγκαίοις καιροῖς ἰδίως] ἀναγκαίοις καιροῖς ἰδίους C: ἀναγκαίως καιροῖς ἰδίοις Bernaysius et Bunsenius, sicuti etiam M coniecerat 19. αὐξανόμενα] αὐξανομένου C: αὐξανομένῳ Bernaysius et Bunsenius 20. οὐδὲ νοήσει Bernaysius et Bunsenius] οὐ νοῆσαι C M Nos antea γέγονεν οὐδὲ χωρῆσαι conieceramus 20. καὶ uncinis inclusimus: ἀεὶ Bernaysius et Bunsenius

accretura, necessariis temporibus peculiariter per accessionem augescentia, ut a tanto et tali deo, qualem nec dicere neque cogitatione percipere poterat creatura, inerant recondita in semine, tanquam recens nato infanti dentes posthac cernimus et patricam accrescere substantiam et intellectum et quaecunque augescenti ex puero paullatim homini cum prius non essent accedunt. Quandoquidem autem non poterat dici proiectionem extitisse aliquam non-entis dei aliquid non-ens — refugit enim admodum et aversatur eorum quae per proiectionem existunt substantias Basilides — qualis enim proiectionis usus, aut qualis materiae suppositio, ut mundum deus fabricaret, tanquam aranea fila, aut mortalis homo aes aut lignum aut aliquid demum materiale operans sumit? Verum dixit, inquit, et factum est, et hoc est, ut aiunt isti homines, quod dictum est a Mose: *Fiat lux, et facta est lux.* Unde, inquit, extitit lux? E nihilo; non enim scriptum est, inquit, unde, sed ipsum solum *e voce dicentis;* is autem qui dixit, inquit, non erat, neque id quod factum est fuit. Factum est, inquit, ex non-entibus semen mundi, verbum, quod dictum est: *Fiat lux*, et hoc, inquit, est quod dictum est in evangeliis: *Erat lux vera, quae illuminat omnem hominem venientem in mundum.* Capit principia a semine illo et illuminatur. Hoc est semen, quod habet in se universa semina, quod Aristoteles ait genus esse in infinitas divisum species, veluti dividimus ab animali bovem, equum, hominem, quod quidem est non-ens. Cum igitur tanquam fundamentum substratum sit mundanum semen, illi dicunt: Quidquid dico, inquit, post haec factum esse, noli quaerere unde. Habebat enim omnia semina recondita in se et reposita tanquam non-entia et a non-ente deo ut fierent praemeditata. Videamus igitur, quid dicant primum, aut quid

22. 23. *προσγενέσθαι οὐσίαν*] *προσγένεσιν οὐσίας* C M: *προσγίνεσθαι οὐσίαν* Bernaysius et Bunsenius 23. *παραυξανομένου* C 28. *ὕλης ὑπόθεσις*] *ὑλικῆς ὑποθέσεως* Bernaysius et Bunsenius 31. *ὡς*] *ὃ* C M: om Bunsenius 32. 33. 1 Mos. 1, 3. 35. *γενόμενον*] *λεγόμενον* Roeperus 37. *ὁ λεχθεὶς*] *ἐλεχθεὶς* C 38—40. Ev. Io. 1, 9. 45. *ὅ, τι*] *ὅτι* C M 48. *οὐκ ὄντα*] *οὐκ ὄν* C M Bunsenius Cf. infra l. X. c. 14. p. 320, 80—82. ed. Oxon.: *Ἔχειν γὰρ ἐν ἑαυτῷ τὰ πάντα, οἷον* (*τὸν* C M) *οὐκ ὄντα, ὑπό* [*τε*] *τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι προβεβουλευμένα.* 48. *οὐκ* ante *ὄντος* om corr C

τον τὸ ἀπὸ τοῦ σπέρματος τοῦ κοσμικοῦ γεγενημένον. Ἦν, φησίν, ἐν αὐτῷ τῷ σπέρματι υἱότης τριμερής, κατὰ πάντα τῷ οὐκ ὄντι θεῷ ὁμοούσιος, γενητὴ ἐξ οὐκ ὄντων. Ταύτης τῆς υἱότητος τῆς τριχῇ διῃρημένης τὸ μέν τι ἦν λεπτομερές, τὸ δὲ [παχυμερές, τὸ δὲ] ἀποκαθάρσεως δεόμενον. Τὸ μὲν οὖν λεπτομερὲς εὐθέως πρῶτον ἅμα τῷ γενέσθαι τοῦ σπέρματος τὴν πρώτην καταβολὴν ὑπὸ τοῦ οὐκ ὄντος διέσφυξε καὶ ἀνῆλθε καὶ ἀνέδραμε κάτωθεν ἄνω, ποιητικῷ τινὶ χρησάμενον τάχει

ὡσεὶ πτερὸν ἠὲ νόημα,

καὶ ἐγένετο, φησί, πρὸς τὸν οὐκ ὄντα· ἐκείνου γὰρ δι' ὑπερβολὴν κάλλους καὶ ὡραιότητος πᾶσα φύσις ὀρέγεται, ἄλλη δὲ ἄλλως. Ἡ δὲ παχυμερεστέρα ἔτι μένουσα ἐν τῷ σπέρματι, μιμητική τις οὖσα, ἀναδραμεῖν μὲν οὐκ ἠδυνήθη· πολὺ γὰρ ἐνδεεστέρα τῆς λεπτομερείας, ἧς εἶχεν ἡ δι' αὐτῆς υἱότης ἀναδραμοῦσα, ἀπελείπετο. Ἐπτέρωσεν οὖν αὐτὴν ἡ υἱότης ἡ παχυμερεστέρα τοιούτῳ τινὶ πτερῷ, ὁποίῳ διδάσκαλος ὢν Πλάτων Ἀριστοτέλους ἐν Φαίδρῳ τὴν ψυχὴν πτεροῖ, | καὶ καλεῖ τὸ τοιοῦτο Βασιλείδης οὐ πτερόν, ἀλλὰ πνεῦμα ἅγιον, ὃ εὐεργετεῖ ἡ υἱότης ἐνδυσαμένη καὶ εὐεργετεῖται. Εὐεργετεῖ μέν, ὅτι καθάπερ ὄρνιθος πτερὸν αὐτὸ κατ' αὐτὸ τοῦ ὄρνιθος ἀπηλλαγμένον οὐκ ἂν γένοιτό ποτε ὑψηλὸν οὐδὲ μετάρσιον, οὐδ' αὖ ὄρνις ἀπολελυμένος τοῦ πτεροῦ οὐκ ἄν ποτε γένοιτο ὑψηλὸς οὐδὲ μετάρσιος. Τοιοῦτόν τινα τὸν λόγον ἔσχεν ἡ υἱότης πρὸς τὸ πνεῦμα τὸ ἅγιον καὶ τὸ πνεῦμα πρὸς τὴν υἱότητα. Ἀναφερομένη γὰρ ὑπὸ τοῦ πνεύματος ἡ υἱότης ὡς ὑπὸ πτεροῦ ἀναφέρει τὸ πτερόν, τουτέστι τὸ πνεῦμα, καὶ πλησίον γενομένη τῆς λεπτομεροῦς υἱότητος καὶ τοῦ θεοῦ τοῦ οὐκ ὄντος καὶ δημιουργήσαντος ἐξ οὐκ ὄντων, ἔχειν μὲν αὐτὸ μετ' αὐτῆς οὐκ ἠδύνατο, ἦν γὰρ οὐχ ὁμοούσιον, οὐδὲ φύσιν εἶχε μετὰ τῆς υἱότητος· ἀλλὰ ὥσπερ ἔστι παρὰ φύσιν καὶ ὀλέθριος τοῖς ἰχθύσιν ἀὴρ καθαρὸς καὶ ξηρός, οὕτω τῷ πνεύματι τῷ ἁγίῳ ἦν παρὰ φύσιν ἐκεῖνο τὸ ἀρρήτων ἀρρητότερον καὶ πάντων ἀνώτερον ὀνομάτων τοῦ οὐκ ὄντος ὁμοῦ θεοῦ χωρίον καὶ τῆς υἱότητος. Κατ-

50. τὸ] ὃ C M: om Bunsenius 51. αὐτῷ] ἑαυτῷ C M Cf. infra p. 320, 83. ed. Ox. 52. θεῷ ὁμοούσιος] θεομοούσιος C 54. Uncis inclusa supplevimus coll. p. 321, 86: om C M 56. οὐκ ὄντος] ὄντος C M Cf. infra p. 321, 88. 89. 57. χρησάμενος C M Bunsenius 58. Hom. Od. 7, 36. ἠὲ νόημα] ἢ ἐνόημα C 63,

secundum, aut quid tertium id quod a mundano semine extitit. Erat, inquit, in ipso semine filietas tripartita, per omnia non-enti deo consubstantialis, generata ex non-ente. Huius filietatis trifariam divisae aliud erat subtile, aliud crassum, aliud purgationis indigens. Subtile igitur statim ubi primum extitit seminis prima deiectio a non-ente perrupit et surrexit et escendit ab inferno in superum poëtica quadam usum celeritate

tanquam penna aut cogitatio,

et devenit, inquit, ad non-entem. Illum enim propter exsuperantiam pulcritudinis et formositatis omnis natura expetit, alia autem aliter. Crassior autem illa adhuc manens in semine, utpote imitabilis quaedam, escendere quidem non potuit; multo enim inferior subtilitate, quam habuit filietas, quae sua ope escendit, relicta est. Instruxit igitur filietas crassior talibus sese quibusdam alis, qualibus Plato, is qui magister erat Aristotelis, in Phaedro animam instruxit, et vocat tale Basilides non alas, sed spiritum sanctum, quem induta beneficio afficit filietas et vicissim beneficio afficitur. Quippe beneficio afficit, quando veluti avis alae ipsae per se, remotae ab avi, non facile in sublime ferrentur, nec rursus avis, remota ab alis, non facile ferretur in altum. Talem quandam rationem habebat filietas ad spiritum sanctum et spiritus ad filietatem. Sublata enim a spiritu filietas tanquam ab alis tollit alas, hoc est spiritum; et ubi appropinquavit subtili filietati et deo non-enti et qui fabricavit ex non-entibus, attinere quidem illum secum non poterat; erat enim non consubstantialis, nec naturam habebat cum filietate; sed sicuti contra naturam est piscibus et perniciosus aër purus et aridus, ita spiritui sancto erat contra naturam ille ineffabilibus ineffabilior et omnibus superior nominibus non-entis dei simul locus et filietatis. Reliquit igitur eum filietas prope locum illum beatum et qui mente com-

λεπτομερίας C   63. 64. ἀναδραμοῦσα] ἀναδραμοῦσα, ἀναδραμοῦσα δὲ Bernaysius et Bunsenius   65. ὢν] ὦ C: ὁ M Bunsenius   66. Φαίδρῳ] Φαίδωνι C M   68. ἐβεργετεῖται C   74. γὰρ ὑπὸ] γὰρ ἀπὸ C M Bunsenius   76. οὐκ ὄντος] οἰκοῦντος C: διοικοῦντος coni. M Correxit Iacobius   78. οὐδὲ] οὐσ (sic) δὲ C: οὐσίας δὲ M Correxit Iacobius   μετὰ] αὐτῆς Bunsenius   81. ἀρρήτων] ἄρρητον C M Correxit Iacob.   82. θεοχωρίον C

ἔλιπεν οὖν αὐτὸ πλησίον ἡ υἱότης ἐκείνου τοῦ μακαρίου καὶ νοηθῆναι μὴ δυναμένου μηδὲ χαρακτηρισθῆναι τινὶ λόγῳ χωρίου οὐ παντάπασιν ἔρημον οὐδὲ ἀπηλλαγμένον τῆς υἱότητος· ἀλλὰ γὰρ ὥσπερ εἰς ἄγγος ἐμβληθὲν μύρον εὐωδέστατον εἰ καὶ ὅτι μάλιστα ἐπιμελῶς ἐκκενωθείη, ὅμως ὀσμή τις ἔτι μένει τοῦ μύρου καὶ καταλείπεται, κἂν ᾖ κεχωρισμένον τοῦ ἀγγείου, καὶ μύρου ὀσμὴν τὸ ἀγγεῖον ἔχει, εἰ καὶ μὴ μύρον, οὕτως τὸ πνεῦμα τὸ ἅγιον μεμένηκε τῆς | υἱότητος ἄμοιρον καὶ ἀπηλλαγμένον, ἔχει δὲ ἐν ἑαυτῷ μύρου παραπλησίως τὴν δύναμιν, [τῆς υἱότητος] ὀσμήν· καὶ τοῦτό ἐστι τὸ λεγόμενον· ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα τοῦ Ἀαρών, ἡ ἀπὸ τοῦ πνεύματος τοῦ ἁγίου φερομένη ὀσμὴ ἄνωθεν κάτω μέχρι τῆς ἀμορφίας καὶ τοῦ διαστήματος τοῦ καθ' ἡμᾶς, ὅθεν ἤρξατο ἀνελθεῖν ἡ υἱότης οἱονεὶ ἐπὶ πτερύγων ἀετοῦ, φησί, καὶ τῶν μεταφρένων ἐνεχθεῖσα. Σπεύδει γάρ, φησί, πάντα κάτωθεν ἄνω, ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα· οὐδὲν δὲ οὕτως ἀνόητόν ἐστι τῶν [ἐν] τοῖς κρείττοσιν, ἵνα μὴ κατέλθῃ κάτω. Ἡ δὲ τρίτη υἱότης, φησίν, ἡ ἀποκαθάρσεως δεομένη ἐμμεμένηκε τῷ μεγάλῳ τῆς πανσπερμίας σωρῷ εὐεργετοῦσα καὶ εὐεργετουμένη. Τίνα δὲ τὸν τρόπον εὐεργετεῖται καὶ εὐεργετεῖ, ὕστερον ἐροῦμεν κατὰ τὸν οἰκεῖον αὐτοῦ γενόμενοι λόγον.

23. *Ἐπεὶ οὖν γέγονε πρώτη καὶ δευτέρα ἀναδρομὴ τῆς υἱότητος καὶ μεμένηκεν αὐτοῦ τὸ πνεῦμα τὸ ἅγιον τὸν εἰρημένον τρόπον, στερέωμα τῶν ὑπερκοσμίων καὶ τοῦ κόσμου μεταξὺ τεταγμένον — διῄρηται γὰρ ὑπὸ Βασιλείδου τὰ ὄντα εἰς δύο τὰς προεχεῖς καὶ πρώτας διαιρέσεις, καὶ καλεῖται κατ' αὐτὸν τὸ μέν τι κόσμος, τὸ δέ τι ὑπερκόσμια, τὸ δὲ μεταξὺ τοῦ κόσμου καὶ τῶν ὑπερκοσμίων μεθόριον πνεῦμα τοῦτο, ὅπερ ἐστὶ καὶ ἅγιον καὶ τῆς υἱότητος ἔχει μένουσαν ἐν ἑαυτῷ τὴν ὀσμήν — ὄντος οὖν τοῦ στερεώματος, ὅ ἐστιν ὑπεράνω τοῦ οὐρανοῦ, διέσφυξε καὶ ἐγεννήθη ἀπὸ τοῦ κοσμικοῦ σπέρματος καὶ τῆς πανσπερμίας τοῦ σωροῦ ὁ μέγας ἄρχων, ἡ κεφαλὴ τοῦ*

83. *ἡ υἱότης*] *υἱότητος* C M 84. *μηδὲ*] *μὴ μὴ δὲ* C 86. *μῦρον* C 89. *ἔχει εἰ*] *εἰ* C: *ἔχει* coni. M *μῦρον* C 92. *τῆς υἱότητος* add Uhlhornius coll. l. 46. 47 et p. 321, 2 ed. Ox.: om C M Bunsenius Iacobius, qui pro *ὀσμὴν* legendum esse censet *ὀσμῆς* 92. 93. Cf. Psalm. 132, 2. *Ὡς μύρον ἐπὶ κεφαλὴν [κεφαλῆς] τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν κ. τ. λ.* 96. 97. Cf. 5 Mos. 32, 11. *Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ*

prehendi aliquove verbo designari nequeat, non penitus desertum nec seiunctum a filietate; sed veluti in vasculum infusum unguentum fragrantissimum si vel diligentissima cura evacuabitur, tamen odor quidam unguenti etiamtum manet et relinquitur, etiamsi a vasculo separatum sit, et unguenti odorem retinet vas, etsi non unguentum: ita spiritus sanctus remansit a filietate remotus et seiunctus, habet autem in se unguenti similiter vim suam, filietatis odorem, et hoc est, quod dictum est: *Sicut unguentum in capite, quod descendit in barbam Aaron*, a spiritu sancto delatus odor ex alto in imum usque ad informitatem et gradum nostrum, unde coeperat surgere filietas, tanquam in alis aquilae, inquit, eiusque dorso sublata. Nituntur enim omnia, inquit, ex imo in altum, a deterioribus in meliora; nihil autem adeo ineptum est eorum, quae in melioribus sunt, ut ne descendat in imum (h. e. non descendit quidquam eorum, quae in alto sunt, in imum). Tertia autem filietas, inquit, ea quae purgatione eget, immansit in magno universorum seminum acervo beneficia et edens et recipiens. Quem autem in modum beneficia edat et recipiat, posthac dicemus, ubi ad locum ei rei proprium devenerimus.

23. Cum igitur extiterit prima et altera escensio filietatis et manserit ibi spiritus sanctus eo quo diximus modo, firmamentum in medio supramundanorum et mundi collocatum — divisa enim sunt a Basilide quaeque sunt in duas praecellentes et principes classes, et vocatur secundum eum alterum quoddam *mundus*, alterum autem quoddam *supramundana*, quod autem in medio est mundi et supramundanorum *conterminus spiritus* ille, is qui est et sanctus et filietatis habet manentem in sese odorem — cum igitur sit firmamentum, quod est super caelum, erupit et generatus est a mundano semine et seminario acervi *magnus archon*, caput mundi, pul-

ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. Cf. 2 Mos. 19, 4. 99. ἀνόητόν] ἀκίνητόν Bunsenius ἐν add M: om C 1. ἐμμεμένηκε Roeperus: μεμένηκε C M Bunsenius 6. αὐτοῦ] αὐτὸ coni. Uhlhornius τὸν] τῶν τὸν Uhlhornius 7. στερέωμα τῶν] στερεωμένων C Uhlhornius: στερεωμάτων M Bunsenius 9. προσεχεῖς C Bunsenius 11. μενθόριον C 13. ὄντος] ἐντὸς Bernaysius et Bunsenius 14. ἐγενήθη C

κόσμου, κάλλος τι καὶ μέγεθος καὶ δύναμις λυθῆναι μὴ δυναμένη. Ἀρρήτων γάρ, | φησίν, ἐστὶν ἀρρητότερος καὶ δυνατῶν δυνατώτερος καὶ σοφῶν σοφώτερος, καὶ ὅ, τι ἂν εἴπῃς πάντων τῶν καλῶν κρείττων· οὗτος γεννηθεὶς ἐπῆρεν ἑαυτὸν καὶ μετεώρισε καὶ ἠνέχθη ὅλος ἄνω μέχρι τοῦ στερεώματος, τῆς δὲ ἀναδρομῆς καὶ τοῦ ὑψώματος τὸ στερέωμα τέλος εἶναι νομίσας, καὶ μηδὲ εἶναι μετὰ ταῦτα ὅλως μηδὲν ἐπινοήσας, ἐγένετο μὲν ὑποκειμένων πάντων, ὅσα ἦν λοιπὸν κοσμικά, σοφώτερος, δυνατώτερος, ἐκπρεπέστερος, φωτεινότερος, πᾶν ὅ, τι ἂν εἴπῃς καλὸν διαφέρον χωρὶς μόνης τῆς ὑπολελειμμένης υἱότητος ἔτι ἐν τῇ πανσπερμίᾳ· ἠγνόει γὰρ ὅτι ἐστὶν αὐτοῦ σοφωτέρα καὶ δυνατωτέρα καὶ κρείττων. Νομίσας οὖν αὐτὸς εἶναι κύριος καὶ δεσπότης καὶ σοφὸς ἀρχιτέκτων τρέπεται εἰς τὴν καθ' ἕκαστα κτίσιν τοῦ κόσμου. Καὶ πρῶτον μὲν ἠξίωσε μὴ εἶναι μόνος, ἀλλὰ ἐποίησεν ἑαυτῷ καὶ ἐγέννησεν ἐκ τῶν ὑποκειμένων υἱὸν ἑαυτοῦ πολὺ κρείττονα καὶ σοφώτερον. Ταῦτα γὰρ ἦν πάντα προβεβουλευμένος ὁ οὐκ ὢν θεός, ὅτε τὴν πανσπερμίαν κατέβαλεν. Ἰδὼν οὖν τὸν υἱὸν ἐθαύμασε καὶ ἠγάπησε καὶ κατεπλάγη· τοιοῦτον γάρ τι κάλλος ἐφαίνετο υἱοῦ τῷ μεγάλῳ ἄρχοντι· καὶ ἐκάθισεν αὐτὸν ἐκ δεξιῶν ὁ ἄρχων. Αὕτη ἐστὶν ἡ κατ' αὐτοὺς ὀγδοὰς λεγομένη, ὅπου ἐστὶν ὁ μέγας ἄρχων καθήμενος. Πᾶσαν οὖν τὴν ἐπουράνιον κτίσιν, τουτέστι τὴν αἰθέριον, αὐτὸς εἰργάσατο ὁ δημιουργὸς ὁ μέγας σοφός· ἐνήργει δὲ αὐτῷ καὶ ὑπετίθετο ὁ υἱὸς ὁ τούτου γενόμενος, ὢν αὐτοῦ τοῦ δημιουργοῦ πολὺ σοφώτερος.

24. Αὕτη ἐστὶν ἡ κατὰ Ἀριστοτέλην σώματος φυσικοῦ | ὀργανικοῦ ἐντελέχεια, ψυχὴ ἐνεργοῦσα τῷ σώματι, ἧς δίχα τὸ σῶμα ἐργάζεσθαι οὐδὲν δύναται, μεῖζον καὶ ἐπιφανέστερον καὶ δυνατώτερον καὶ σοφώτερον τοῦ σώματος. Ὃν λόγον οὖν Ἀριστοτέλης ἀποδέδωκε περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος πρότερος, Βασιλείδης περὶ τοῦ μεγάλου ἄρχοντος καὶ τοῦ κατ' αὐτὸν υἱοῦ διασαφεῖ. Τόν τε γὰρ υἱὸν ὁ ἄρχων κατὰ Βασιλείδην

16. *λυθῆναι*] *λαληθῆναι* Bernaysius et Bunsenius, coll. p. 321, 5 ed. Ox. *κάλλει καὶ μεγέθει ἀνεκλαλήτῳ* 17. *Ἄρρητον* C 19. *καὶ* ante *μετεώρισε* om C Bunsenius 20. *μετεώρισε καὶ ἠνέχθη*] *μετεωρίσας καὶ ἐνεχθεὶς* Uhlhornius *στερεώματος, τῆς δὲ*] *στερεώματος ἔστη, τῆς δὲ* C Uhlhornius: *στερεώματος· ἔστη δέ, τῆς* Bunsenius 22. *ὅλως μηδὲν εἶναι* C 25. *μονῆς τῆς ὑπολελυμμένης* C 26. *ἐστὶν αὐτοῦ*]

critudo quaedam et magnitudo et potestas indissolubilis. Ineffabilibus enim, inquit, est ineffabilior et potentibus potentior et sapientibus sapientior et quidquid dices omni pulcritudine praestantior. Hic postquam generatus est in altum sese sustulit et sublimis abiit et sublatus est totus superne usque ad firmamentum; sed escensionis et sublationis firmamentum finem esse arbitratus, nec quidquam omnino esse post haec opinatus, extitit quidem subiacentibus omnibus, quaecunque restabant mundana, sapientior, potentior, illustrior, splendidior, denique quidquid dixeris eminens pulcrum praeter solam filietatem, quae etiamtum relicta erat in seminario. Ignorabat enim eam esse semet sapientiorem et potentiorem et superiorem. Arbitratus igitur se demum esse dominum et imperatorem et intelligentem architectum vertitur ad singularum quarumque partium fabricam mundi. Et primum quidem decrevit non manere solus, sed fecit sibi et generavit ex subiacentibus filium se ipso longe superiorem et sapientiorem. Haec enim omnia antea secum statuerat non-ens deus, cum seminarium poneret. Postquam igitur vidit filium, miratus est et adamavit et perculsus est; talis enim quaedam pulcritudo filii apparuit magno archonti; et considere iussit eum ad dexteram suam archon. Haec est quae secundum illos vocatur ogdoas, ubi considet magnus archon. Omnem igitur caelestem fabricam, hoc est aethercam, ipse fabricavit demiurgus, magnus sapiens, vigorem autem ei indebat et suggerebat filius ab ipso ortus, qui erat ipso demiurgo longe sapientior.

24. Haec est illa secundum Aristotelem corporis naturalis organici entelechia, anima efficax in corpore, sine qua corpus operari nequit, maius quoddam et illustrius et potentius et sapientius corpore. Quam igitur rationem Aristoteles reddidit de anima et corpore prior, Basilides de magno archonte et eo quem statuit filio illustrat. Etenim et filium archon secundum Basilidem generavit, et animam opus et ef-

ἔστι νῦν τοῦ C 26. 27. *σοφώτερα καὶ δυνατώτερα* C M Bunsenius 27. *κρείττων*] *κρείττω* M Bunsenius 30. *υἱῶν* C 34. *ἐφαίνετο* Bunsenius: *ἐγένετο* C M Iacobius, qui scribendum esse censet: *κ. ἐγένετο τῷ υἱῷ τοῦ μεγάλου ἄρχοντος* 36. *αὐτοὺς*] *αὐτοῦ* C: *αὐτὸν* susp. M Bunsenius 44. *τοῦ σώματος*] *τῆς ψυχῆς* C M Bunsenius

γεγέννηκε, τήν τε ψυχὴν ἔργον καὶ ἀποτέλεσμά φησιν εἶναι ὁ Ἀριστοτέλης φυσικοῦ σώματος ὀργανικοῦ ἐντελέχειαν. Ὡς οὖν ἡ ἐντελέχεια διοικεῖ τὸ σῶμα, οὕτως ὁ υἱὸς διοικεῖ κατὰ Βασιλείδην τὸν ἀρρήτων ἀρρητότερον θεόν. Πάντα οὖν ἐστι προνοούμενα καὶ διοικούμενα ὑπὸ τῆς ἐντελεχείας τοῦ ἄρχοντος τοῦ μεγάλου τὰ αἰθέρια, ἅτινα μέχρι σελήνης ἐστίν· ἐκεῖθεν γὰρ ἀὴρ αἰθέρος διακρίνεται. Κεκοσμημένων οὖν πάντων τῶν αἰθερίων πάλιν ἀπὸ τῆς πανσπερμίας ἄλλος ἄρχων ἀνέβη, μείζων μὲν πάντων τῶν ὑποκειμένων χωρὶς μέντοι τῆς καταλελειμμένης υἱότητος, πολὺ δὲ ὑποδεέστερος τοῦ πρώτου ἄρχοντος. Ἔστι δὲ καὶ οὗτος ἄρρητος ὑπ' αὐτῶν λεγόμενος. Καὶ καλεῖται ὁ τόπος οὗτος ἑβδομάς, καὶ πάντων τῶν ὑποκειμένων οὗτός ἐστι διοικητὴς καὶ δημιουργός, ποιήσας καὶ αὐτὸς ἑαυτῷ υἱὸν ἐκ τῆς πανσπερμίας, καὶ αὐτὸς ἑαυτοῦ φρονιμώτερον καὶ σοφώτερον, παραπλησίως τοῖς ἐπὶ τοῦ πρώτου λελεγμένοις. Τὸ δὲ ἐν τῷ διαστήματι τούτῳ ὁ σωρὸς αὐτός ἐστί, φησί, καὶ ἡ πανσπερμία, καὶ γίνεται κατὰ φύσιν τὰ γινόμενα ὡς φθάσαν τεχθῆναι ὑπὸ τοῦ τὰ μέλλοντα λέγεσθαι, ὅτε δεῖ καὶ οἷα δεῖ καὶ ὡς δεῖ λελογισμένῳ. Καὶ τούτων ἔστιν ἐπιστάτης ἢ φροντιστὴς ἢ δημιουργὸς οὐδείς· ἀρκεῖ γὰρ αὐτοῖς ὁ λογισμὸς ἐκεῖνος, ὃν ὁ οὐκ ὢν ὅτε ἐποίει ἐλογίζετο. |

25. *Ἐπεὶ οὖν τετέλεσται κατ' αὐτοὺς ὁ κόσμος ὅλος καὶ τὰ ὑπερκόσμια καὶ ἔστιν ἐνδεὲς οὐδέν, λείπεται δὲ ἐν τῇ πανσπερμίᾳ ἡ υἱότης ἡ τρίτη, ἡ καταλελειμμένη εὐεργετεῖν καὶ εὐεργετεῖσθαι ἐν τῷ σπέρματι, καὶ ἔδει τὴν ὑπολελειμμένην υἱότητα ἀποκαλυφθῆναι καὶ ἀποκατασταθῆναι ἄνω ἐκεῖ ὑπὲρ τὸ μεθόριον πνεῦμα πρὸς τὴν υἱότητα τὴν λεπτομερῆ καὶ μιμητικὴν καὶ τὸν οὐκ ὄντα, ὡς γέγραπται, φησί· Καὶ ἡ κτίσις αὐτὴ συστενάζει καὶ συνωδίνει τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἐκδεχομένη. Υἱοὶ δέ, φησίν, ἐσμὲν ἡμεῖς οἱ πνευματικοί, ἐνθάδε καταλελειμμένοι διακοσμῆσαι καὶ διατυ-*

48. *γεγένηκε* C *τήν τε ψυχὴν*] *τῆς τε ψυχῆς* Bunsenius *φησιν*] *ὥς φησιν* C M Correxit Bunsenius 52. *ἐντελεχείας*] *μεγάλης* C: *μεγαλειότητος* susp. M Bunsenius 54. *αἰθέρος*] *αἰθέριος* C M Bunsenius *κεκοσμιμένων* C 56. *μὲν*] *μέντοι* C M 58. *καὶ οὗτος ἄρρητος*] *οὗτος καὶ ὁ ῥητὸς* Bunsenius coll. p. 370, 89. 61. *αὐτὸς ἑαυτοῦ*] *αὐτὸν ἑαυτοῦ* susp. M Bunsenius 64. 65. *φθάσαν—λέγεσθαι*] Locum desperatum ita tentat Roeperus, ut proponat *φθάσαν*

fectum ait esse Aristoteles naturalis organici corporis entelechiam. Sicut igitur entelechia regit corpus, ita filius regit secundum Basilidem ineffabilibus ineffabiliorem deum. Omnia igitur sunt provisa et recta ab entelechia magni archontis aetherea, quae quidem usque ad lunam pertinent; inde enim aër ab aethere discernitur. Ornatis igitur universis aethereis rursus a seminario alius archon surrexit, maior quidem omnibus subiacentibus praeter relictam filietatem, multo autem inferior primo archonte. Est autem hic quoque ineffabilis ab iis dictus. Et vocatur hic locus hebdomas, omniumque subiacentium est hic rector et opifex, qui sibi et ipse fecit filium ex seminario, et ipse semet sapientiorem et intelligentiorem similiter iis, quae de primo diximus. Illud autem quod est in hoc gradu acervus ipse est, inquit, et seminarium, et existunt secundum naturam ea quae existunt, ut supra dictum est, ab eo, qui futura quando oportet et qualia oportet et quomodo oportet meditatus est. Et horum est praefectus aut curator aut opifex nemo. Sufficit enim iis ratiocinatio illa, quam nonens, cum faciebat, inibat.

25. Quoniam igitur perfectus est secundum illos universus mundus et quae sunt supramundana, nec quidquam deest ad perfectionem, relinquitur autem in seminario filietas tertia illa, quae relicta est ad benefaciendum et benepatiendum in semine: oportebat etiam relictam filietatem revelari et revolvi superne illuc super conterminum spiritum ad filietatem subtilem et imitabilem et ad non-entem, ut scriptum est, inquit: *Et creatura ipsa congemiscit et parturit revelationem filiorum dei expectans.* Filii autem, inquit, sumus nos spirituales, qui sumus hic relicti ad ordinandas et effingendas

ἐλέχθη — γενήσεσθαι, Uhlhornius autem φθάσαντα — λέγεσθαι, R. Scottus λεχθῆναι pro τεχθῆναι, a reliquis abstinens, Bunsenius ἔφθασε — γίνεσθαι 65. δεῖ καὶ οἶα] δικαιοῖ ἃ C M 66. λελογισμένου] λελογισμένῳ C M 68. ὃν ὁ] ὁ C M. Correxit Iacobius ὅτε] ὁτὲ C καὶ ἐλογίζετο susp. M 70. δὲ] δὴ coni. M 71. 72. ἐβεργετεῖσθαι C 72. ἔδει] δὴ C M: δεῖ Bunsenius 75—77. Cf. Rom. 8, 19. ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. 22. οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. 76. συνστενάζει C

πῶσαι καὶ διορθώσασθαι καὶ τελειῶσαι τὰς ψυχὰς κάτω φύσιν ἐχούσας μένειν ἐν τούτῳ τῷ διαστήματι. Μέχρι μὲν οὖν Μωσέως ἀπὸ Ἀδὰμ ἐβασίλευσεν ἡ ἁμαρτία, καθὼς γέγραπται· ἐβασίλευσε γὰρ ὁ μέγας ἄρχων ὁ ἔχων τὸ τέλος αὐτοῦ μέχρι στερεώματος, νομίζων αὐτὸς εἶναι θεὸς μόνος, καὶ ὑπὲρ αὐτὸν εἶναι μηδέν, πάντα γὰρ ἦν φυλασσόμενα ἀποκρύφῳ σιωπῇ. Τοῦτο, φησίν, ἐστὶ τὸ μυστήριον, ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, ἀλλὰ ἦν ἐν ἐκείνοις τοῖς χρόνοις βασιλεὺς καὶ κύριος ὡς ἐδόκει τῶν ὅλων ὁ μέγας ἄρχων, ἡ ὀγδοάς. Ἦν δὲ καὶ τούτου τοῦ διαστήματος βασιλεὺς καὶ κύριος ἡ ἑβδομάς, καὶ ἔστιν ἡ μὲν ὀγδοὰς ἄρρητος, ῥητὸν δὲ ἡ ἑβδομάς. Οὗτος ἐστί, φησίν, ὁ τῆς ἑβδομάδος ἄρχων ὁ λαλήσας τῷ Μωϋσῇ καὶ εἰπών· Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τὸ ὄνομα τοῦ θεοῦ οὐκ ἐδήλωσα αὐτοῖς (οὕτως γὰρ θέλουσι γεγράφθαι), τουτέστι τοῦ ἀρρήτου τῆς ὀγδοάδος ἄρχοντος θεοῦ. Πάντες οὖν οἱ προφῆται οἱ πρὸ τοῦ σωτῆρος, φησίν, ἐκεῖθεν ἐλάλησαν. Ἐπεὶ οὖν ἔδει ἀποκαλυφθῆναι, φησίν, ἡμᾶς τὰ τέκνα τοῦ θεοῦ, | περὶ ὧν ἐστέναξε, φησίν, ἡ κτίσις καὶ ὤδινεν, ἀπεκδεχομένη τὴν ἀποκάλυψιν, ἦλθε τὸ εὐαγγέλιον εἰς τὸν κόσμον, καὶ διῆλθε διὰ πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου· ἦλθε δὲ ὄντως, καίπερ οὐδὲν κατῆλθεν ἄνωθεν, οὐδὲ ἐξέστη ἡ μακαρία υἱότης ἐκείνου τοῦ ἀπερινοήτου καὶ μακαρίου οὐκ ὄντος θεοῦ. Ἀλλὰ γὰρ καθάπερ ὁ νάφθας ὁ ἰνδικός, ὀφθεὶς μόνον ἀπὸ πάνυ πολλοῦ διαστήματος συνάπτει πῦρ, οὕτω κάτωθεν ἀπὸ τῆς ἀμορφίας τοῦ σωροῦ διήκουσιν αἱ δυνάμεις μέχρις ἄνω τῆς υἱότητος. Ἅπτει μὲν γὰρ καὶ λαμβάνει τὰ νοήματα κατὰ τὸν νάφθαν τὸν ἰνδικόν, οἷον ἅφθας τις ὢν ὁ τοῦ μεγάλου τῆς ὀγδοάδος ἄρχοντος υἱὸς ἀπὸ τῆς μετὰ τὸ μεθόριον μακαρίας υἱότητος. Ἡ γὰρ ἐν μέσῳ τοῦ ἁγίου πνεύματος ἐν τῷ μεθορίῳ τῆς υἱότητος δύναμις ῥέοντα καὶ φερόμενα τὰ νοήματα τῆς υἱότητος μεταδίδωσι τῷ υἱῷ τοῦ μεγάλου ἄρχοντος.

79. κάτω] κατὰ C M: τὰς Bunsenius 80. 81. Cf. Rom. 5, 13. 14. ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ . . . ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως κ. τ. λ. 85. 86. Alludere videntur verba ad Coloss. 2, 3 et 1, 26. 27. 89. ῥητὸν] ῥητὸς Bunsenius 91. 92. Cf. 2 Mos. 6, 2. 3. Ἐγὼ κύριος, καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς.

et corrigendas et perficiendas animas, quae ita compositae sunt natura, ut infra in hoc gradu permaneant. *Usque igitur ad Mosen ab Adam regnavit peccatum*, sicuti scriptum est; regnavit enim magnus archon, qui habet fines suos usque ad firmamentum, arbitratus semet solum deum esse nec quidquam super se esse; omnia enim erant custodita abscondito silentio. Hoc, inquit, est mysterium, quod prioribus saeculis non intellectum est, sed erat illis temporibus rex et dominus, ut videbatur, universorum magnus archon, ogdoas. Erat autem et huius gradus rex et dominus hebdomas, et est ogdoas ineffabilis, effabilis autem hebdomas. Hic est, inquit, hebdomadis archon, qui locutus est ad Moysen et dixit: *Ego deus Abraham et Isaac et Iacob, et nomen dei non indicavi eis* (ita enim volunt scriptum esse), hoc est ineffabilis ogdoadis archontis dei. Omnes igitur prophetae, qui erant ante salvatorem, inquit, illinc locuti sunt. Quando igitur oportebat revelari, inquit, nos, qui sumus filii dei, de quibus ingemuit, inquit, creatura et parturiit expectans revelationem, venit evangelium in mundum et pervenit per omnem principatum et potestatem et dominationem et omne nomen quod nominatur. Venit autem revera, tametsi nihil devenit superne nec secessit beata filietas ab incomprehensibili illo et beato non-ente deo. Verum enim sicuti naphtha Indica conspecta tantum e satis longinquo spatio ducit ignem, ita ex infero ab informitate acervi pertingunt potestates supra usque ad filietatem. Captat enim et ducit cogitationes ad instar naphthae Indicae, quasi captator (*ἄφθας*) quidam, magni ogdoadis archontis filius a beata illa post id, quod conterminum est, filietate. Quae enim est in medio sancti spiritus in contermino filietatis potestas fluentes et ruentes cogitationes filietatis communicat cum filio magni archontis.

98. 99. Cf. Ephes. 1, 21. *ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου κ. τ. λ.* *καὶ κυριότητος*] *κυριότητος* C 99. *καὶ παντὸς*] *παντὸς* C M *ὄντως* Uhlhornius: *οὕτως* C M Bunsenius 99. 1. *καίπερ*] *καὶ* C M Bunsenius: *καίτοι* Uhlhornius 3. *ὀφθεὶς*] *ἀφθεὶς* susp. M 5. *διήκησιν* C *μέχρις ἄνω*] *ἄνω μέχρις* Jacobius 7. *νάφθαν*] *ἄφθαν* C *ἄφθας*] *ἄφθας* C: *νάφθας* M Bunsenius: *ἄφθας* s. *ἀνάφθας* coni. R. Scottus 10. *φερόμενα*] *φερόμενον* C

26. Ἦλθεν οὖν τὸ εὐαγγέλιον πρῶτον ἀπὸ τῆς υἱότητος, φησί, διὰ τοῦ παρακαθημένου τῷ ἄρχοντι υἱοῦ πρὸς τὸν ἄρχοντα, καὶ ἔμαθεν ὁ ἄρχων, ὅτι οὐκ ἦν θεὸς τῶν ὅλων, ἀλλ' ἦν γεννητὸς καὶ ἔχων αὐτοῦ ὑπεράνω τὸν τοῦ ἀρρήτου καὶ ἀκατονομάστου οὐκ ὄντος καὶ τῆς υἱότητος κατακείμενον θησαυρόν, καὶ ἐπέστρεψε καὶ ἐφοβήθη, συνιεὶς ἐν οἵᾳ ἦν ἀγνοίᾳ. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· Ἀρχὴ σοφίας φόβος κυρίου. Ἤρξατο γὰρ σοφίζεσθαι κατηχούμενος ὑπὸ τοῦ παρακαθημένου Χριστοῦ, διδασκόμενος τίς ἐστιν ὁ οὐκ ὤν, τίς ἡ υἱότης, τί τὸ ἅγιον πνεῦμα, τίς ἡ τῶν ὅλων κατασκευή, ποῦ ταῦτα ἀπο|κατασταθήσεται· αὕτη ἐστὶν ἡ σοφία ἐν μυστηρίῳ λεγομένη, περὶ ἧς, φησίν, ἡ γραφὴ λέγει· Οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος. Κατηχηθεὶς οὖν, φησίν, ὁ ἄρχων καὶ διδαχθεὶς καὶ φοβηθεὶς ἐξωμολογήσατο περὶ ἁμαρτίας, ἧς ἐποίησε μεγαλύνων ἑαυτόν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, ὑπὲρ ταύτης ἐξομολογήσομαι εἰς τὸν αἰῶνα. Ἐπεὶ οὖν κατήχητο μὲν ὁ μέγας ἄρχων, κατήχητο δὲ καὶ δεδίδακτο πᾶσα ἡ τῆς ὀγδοάδος κτίσις καὶ ἐγνωρίσθη τοῖς ἐπουρανίοις τὸ μυστήριον, ἔδει λοιπὸν καὶ ἐπὶ τὴν ἑβδομάδα ἐλθεῖν τὸ εὐαγγέλιον, ἵνα καὶ ὁ τῆς ἑβδομάδος παραπλησίως ἄρχων διδαχθῇ καὶ εὐαγγελισθήσεται. Ἐπέλαμψεν [οὖν] ὁ υἱὸς τοῦ μεγάλου ἄρχοντος τῷ υἱῷ τοῦ ἄρχοντος τῆς ἑβδομάδος τὸ φῶς, ὃ εἶχεν ἅψας αὐτὸς ἄνωθεν ἀπὸ τῆς υἱότητος, καὶ ἐφωτίσθη ὁ υἱὸς τοῦ ἄρχοντος τῆς ἑβδομάδος, καὶ εὐηγγελίσατο τὸ εὐαγγέλιον τῷ ἄρχοντι τῆς ἑβδομάδος, καὶ ὁμοίως κατὰ τὸν πρῶτον λόγον καὶ αὐτὸς ἐφοβήθη καὶ ἐξωμολογήσατο. Ἐπεὶ οὖν καὶ τὰ ἐν τῇ ἑβδομάδι πάντα πεφώτιστο καὶ διήγγελτο τὸ εὐαγγέλιον αὐτοῖς· (κτίσεις γάρ εἰσι κατ' αὐτὰ τὰ διαστήματα κατ' αὐτοὺς ἄπειροι καὶ ἀρχαὶ καὶ δυνάμεις καὶ ἐξουσίαι, περὶ ὧν μακρός ἐστι κατ' αὐτοὺς πάνυ λόγος λεγόμενος διὰ πολλῶν, ἔνθα καὶ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς φάσκουσι, καὶ τὸν μέγαν ἄρχοντα αὐτῶν εἶναι τὸν Ἀβρασὰξ διὰ τὸ περιέχειν τὸ ὄνομα αὐτοῦ ψῆφον

13. πρὸς] τὸ πρὸς C M 15. αὐτοῦ ὑπεράνω τὸν τοῦ] τὸν ὑπὲρ ἄνω τοῦ C: τὸν ὑπεράνω τοῦ M: ὑπεράνω τὸν τοῦ Uhlhornius: ὑπεράνω ἑαυτου τὸν τοῦ Roeperus: τὸν ὑπεράνω τὸν τοῦ Bunsenius secutus P. Boetticherum 15. 16. κατονομάστου C 18. Prov. 1, 7. 21.

26. Venit igitur evangelium primum a filietate, inquit, per assidentem archonti filium ad archontem, et didicit archon se non esse deum universorum, sed generatum et habentem super se ineffabilis et innominabilis non-entis et filietatis repositum thesaurum, et conversus est et metuit, intelligens in qua esset inscitia. Hoc, inquit, est id quod dictum est: *Principium sapientiae timor domini.* Incepit enim sapiens fieri institutus ab assidente Christo, doctus quis esset non-ens, quae filietas, quis spiritus sanctus, quae universorum fabrica, quo haec evasura sint. Haec est sapientia in mysterio dicta, de qua, inquit, scriptura dicit: *non in doctis humanae sapientiae verbis, sed in doctis spiritus.* Institutus igitur, inquit, archon et doctus et in timorem coniectus confessus est de peccato, quod commisit magnificans sese. Hoc, inquit, est, quod dictum est: *Peccatum meum intellexi et delictum meum agnosco, de hoc confitebor in aeternum.* Postquam igitur institutus est magnus archon, instituta autem est et erudita omnis ogdoadis creatura et intellectum est caelestibus mysterium, oportebat posthac etiam ad hebdomadem venire evangelium, ut etiam hebdomadis similiter archon edoceretur et evangelizaretur. Incendit igitur filius magni archontis filio archontis hebdomadis lumen, quod ipse habebat incensum e sublimi a filietate, et illuminatus est filius archontis hebdomadis, et nunciavit evangelium archonti hebdomadis, et pariter ad priorem modum et ipse in metum coniectus et confessus est. Postquam igitur etiam in hebdomade omnia illuminata sunt et nunciatum est evangelium iis (creaturae enim sunt per ipsos gradus ex illorum opinione infinitae et imperia et potestates et dominationes, de quibus admodum longus est sermo secundum eos multis conceptus verbis, ubi et trecentos sexaginta quinque caelos loquuntur magnumque archontem eorum esse Abrasax, quando nomen eius contineat calculum 365, ut no-

τίς ἡ των] *τίς ὁ τῶν* C 23. 24. 1 Cor. 2, 13. 26. *ἐξομολογήσατο* C M 27—29. Cf. Psalm. 31, 5 *Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα, εἶπα· Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ.* 32. *εὑδομάδα* C 33. 34. *εὐαγγελισθήσηται* M Bunsenius 34. *οὖν* om C M Bunsenius 35. *εὑδομάδος*, et sic semper. M *αὐτὸς*] *αὗτους* C 39. *ἐξομολογήσατο* C 41. *κατ᾽*] *καὶ κατ᾽* C Uhlhornius, qui post *αὐτοὺς* excidisse putat *τοὺς τόπους τῶν ἀρχόντων* vel simile quid

τξε, ὥστε τοῦ ὀνόματος τὴν ψῆφον περιέχειν πάντα, καὶ διὰ τοῦτο τὸν ἐνιαυτὸν τοσαύταις ἡμέραις συνεστάναι·) | ἀλλ' ἐπεί, φησί, ταῦθ' οὕτως ἐγένετο, ἔδει λοιπὸν καὶ τὴν ἀμορφίαν καθ' ἡμᾶς φωτισθῆναι καὶ τῇ υἱότητι τῇ ἐν τῇ ἀμορφίᾳ καταλελειμμένῃ οἱονεὶ ἐκτρώματι ἀποκαλυφθῆναι τὸ μυστήριον, ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, καθὼς γέγραπται, φησί· Κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καί· Ἤκουσα ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν. Κατῆλθεν [οὖν] ἀπὸ τῆς ἑβδομάδος τὸ φῶς, τὸ κατελθὸν ἀπὸ τῆς ὀγδοάδος ἄνωθεν τῷ υἱῷ τῆς ἑβδομάδος, ἐπὶ τὸν Ἰησοῦν τὸν υἱὸν τῆς Μαρίας, καὶ ἐφωτίσθη συνεξαφθεὶς τῷ φωτὶ τῷ λάμψαντι εἰς αὐτόν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, τὸ ἀπὸ τῆς υἱότητος διὰ τοῦ μεθορίου πνεύματος ἐπὶ τὴν ὀγδοάδα καὶ τὴν ἑβδομάδα διελθὸν μέχρι τῆς Μαρίας, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, ἡ δύναμις τῆς κρίσεως ἀπὸ τῆς ἀκρωρείας ἄνωθεν [διὰ] τοῦ δημιουργοῦ μέχρι τῆς κτίσεως, ὅ ἐστι τοῦ υἱοῦ. Μέχρι δὲ ἐκείνου φησὶ συνεστηκέναι τὸν κόσμον οὕτως, μέχρις οὗ πᾶσα ἡ υἱότης ἡ καταλελειμμένη εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς ἐν ἀμορφίᾳ καὶ εὐεργετεῖσθαι διαμορφουμένη κατακολουθήσῃ τῷ Ἰησοῦ καὶ ἀναδράμῃ καὶ ἔλθῃ ἀποκαθαρισθεῖσα· καὶ γίνεται λεπτομερεστάτη, ὡς δύνασθαι δι' αὐτῆς ἀναδραμεῖν ὥσπερ ἡ πρώτη. Πᾶσαν γὰρ ἔχει τὴν δύναμιν συνεστηριγμένην φυσικῶς τῷ φωτὶ τῷ λάμψαντι ἄνωθεν κάτω.

27. Ὅταν οὖν ἔλθῃ, φησί, πᾶσα υἱότης καὶ ἔσται ὑπὲρ τὸ μεθόριον, τὸ πνεῦμα, τότε ἐλεηθήσεται ἡ κτίσις· στένει γὰρ μέχρι τοῦ νῦν καὶ βασανίζεται καὶ μένει τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ, ἵνα πάντες ἀνέλ|θωσιν ἐντεῦθεν οἱ τῆς υἱότητος ἄνθρωποι· ἐπειδὰν [οὖν] γένηται τοῦτο, ἐπάξει, φησίν, ὁ θεὸς ἐπὶ τὸν κόσμον ὅλον τὴν μεγάλην ἄγνοιαν, ἵνα μένῃ πάντα κατὰ φύσιν καὶ μηδὲν μηδενὸς τῶν παρὰ φύσιν ἐπιθυ[μήσῃ]. Ἀλλὰ γὰρ πᾶσαι αἱ ψυχαὶ τούτου τοῦ διαστήματος,

46. ὥστε] ὡς δὴ C M Bunsenius 46. 47. *διὰ τοῦτο*] *διὰ τούτων* C M: *διὰ τοῦτον* Bunsenius 48. *ἀμορφίαν τὴν* susp. Roeperus 51. 52. Ephes. 3, 3. 5. *κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον .... ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων κ. τ. λ.* 53. 2 Cor. 12, 4. *καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.* 54. *οὖν* om C M Bunsenius 58. 60. 61. Luc. 1, 35 61. *ἐπι-*

minis calculus comprehendat omnia, eamque ob causam annum totidem dies comprehendere): postquam igitur, inquit, haec in hunc modum facta sunt, oportebat posthac et deformitatem in nostra plaga illuminari et filietati in deformitate relictae tanquam abortivae revelari mysterium, quod superioribus generationibus non innotuit, sicut scriptum est, inquit: *Secundum revelationem notum mihi factum est mysterium*, et: *Audivi arcana verba, quae non licet homini loqui.* Devenit igitur ab hebdomade lumen, quod descendit ab ogdoade desuper ad filium hebdomadis, ad Iesum filium Mariae, et illuminatus est una incensus cum lumine, quod illuxit in eum. Hoc, inquit, est, quod dictum est: *Spiritus sanctus superveniet in te*, hoc est, ille qui a filietate per conterminum spiritum ad ogdoadem et hebdomadem devenit usque ad Mariam, *et virtus altissimi obumbrabit tibi*, hoc est potestas unctionis a cacumine desuper per demiurgum usque ad creaturam, quod est ad filium. Eo usque autem ait constare mundum in hunc modum, quousque omnis filietas, quae relicta sit ad benefaciendum animis in deformitate et bene patiendum, conformata secuta sit Iesum et escendat et veniat emaculata; et fit subtilissima, ut possit per se escendere sicut prima. Omnem enim habet potestatem in unum coactam naturaliter cum lumine, quod illuxit desuper deorsum.

27. Cum igitur venerit, inquit, omnis filietas et erit super id quod conterminum est, hoc est spiritum, tum misericordiam experietur creatura; gemit enim adhuc et excruciatur et manet revelationem filiorum dei, ut omnes escendant hinc filietatis homines. Postquam igitur hoc factum erit, adducet, inquit, deus in universum mundum magnam ignorantiam, ut maneant omnia secundum naturam, nec quidquam appetat ea, quae sunt contra naturam. Verum enim omnes animae huius gra-

σκειάσει C *κρίσεως*] An *χρίσεως*?: *ὀγδοάδος* susp. Roeperus 62. *διὰ τοῦ*] *τοῦ* C M Bunsenius 64. *μέχρις οὗ*] *μέχρι σου* C 71—73. Cf. Rom. 8, 19. 22. *ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται .... οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.* 74. *οὖν* om C M Bunsenius *ἐπάξει*] *ἐπαύξει* C 75. *μένῃ* Uhlhornius, Bernaysius et Bunsenius, coll. lin. 78: *μὴ* C: *ἦ* M 76. 77. *ἐπιθῦ* (sic) C in fine versus. M

ὅσαι φύσιν ἔχουσιν ἐν τούτῳ ἀθάνατοι διαμένειν μόνῳ, μενοῦσιν οὐδὲν ἐπιστάμεναι τούτου τοῦ διαστήματος διάφορον οὐδὲ βέλτιον, οὐδὲ ἀκοή τις ἔσται τῶν ὑπερκειμένων ἐν τοῖς ὑποκειμένοις οὐδὲ γνῶσις, ἵνα μὴ τῶν ἀδυνάτων αἱ ὑποκείμεναι ψυχαὶ ὀρεγόμεναι βασανίζωνται, καθάπερ ἰχθὺς ἐπιθυμήσας ἐν τοῖς ὄρεσι μετὰ τῶν προβάτων νέμεσθαι· ἐγένετο [γὰρ] ἄν, φησίν, αὐτοῖς ἡ τοιαύτη ἐπιθυμία φθορά. Ἔστιν οὖν, φησίν, ἄφθαρτα πάντα τὰ κατὰ χώραν μένοντα, φθαρτὰ δέ, ἐὰν ἐκ τῶν κατὰ φύσιν ὑπερπηδᾶν καὶ ὑπερβαίνειν βούλοιντο. Οὕτως οὐδὲν ὁ ἄρχων τῆς ἑβδομάδος γνώσεται τῶν ὑπερκειμένων· καταλήψεται γὰρ καὶ τοῦτον ἡ μεγάλη ἄγνοια, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ λύπη καὶ ὀδύνη καὶ στεναγμός· ἐπιθυμήσει γὰρ οὐδενὸς τῶν ἀδυνάτων οὐδὲ λυπηθήσεται. Καταλήψεται δὲ ὁμοίως καὶ τὸν μέγαν ἄρχοντα τῆς ὀγδοάδος ἡ ἄγνοια αὕτη καὶ πάσας τὰς ὑποκειμένας αὐτῷ κτίσεις παραπλησίως, ἵνα μηδὲν κατὰ μηδὲν ὀρέγηται τῶν παρὰ φύσιν τινὸς μηδὲ ὀδυνῆται· καὶ οὕτως ἡ ἀποκατάστασις ἔσται πάντων κατὰ φύσιν τεθεμελιωμένων μὲν ἐν τῷ σπέρματι τῶν ὅλων ἐν ἀρχῇ, ἀποκατασταθησομένων δὲ καιροῖς ἰδίοις. Ὅτι δέ, φησίν, ἕκαστον ἰδίους ἔχει καιρούς, ἱκανὸς ὁ σωτὴρ λέγων· Οὔπω ἥκει ἡ ὥρα | μου, καὶ οἱ μάγοι τὸν ἀστέρα τεθεαμένοι· ἦν γάρ, φησί, καὶ αὐτὸς ὑπὸ γένεσιν ἀστέρων καὶ ὡρῶν ἀποκαταστάσεως ἐν τῷ μεγάλῳ προλελογισμένος σωρῷ. Οὗτος ἐστὶν ὁ κατ' αὐτοὺς νενοημένος ἔσω ἄνθρωπος πνευματικὸς ἐν τῷ ψυχικῷ (ὅ ἐστιν υἱότης ἐνταῦθα ἀπολιποῦσα τὴν ψυχήν, οὐ θνητὴν ἀλλὰ αὐτοῦ μένουσαν κατὰ φύσιν, ἥπερ ἄνω λέλοιπεν ἡ πρώτη υἱότης τὸ ἅγιον πνεῦμα τὸ μεθόριον ἐν οἰκείῳ τόπῳ), ἰδίαν τότε περιβεβλημένος ψυχήν.

Ἵνα δὲ μηδὲν τῶν κατ' αὐτοὺς παραλείπωμεν, ὅσα καὶ περὶ εὐαγγελίου λέγουσιν ἐκθήσομαι. Εὐαγγέλιόν ἐστι κατ' αὐτοὺς ἡ τῶν ὑπερκοσμίων γνῶσις, ὡς δεδήλωται, ἣν ὁ μέγας ἄρχων οὐκ ἠπίστατο. Ὡς οὖν ἐδηλώθη αὐτῷ, ὅτι καὶ τὸ πνεῦμα ἅγιον

78. 79. *μενοῦσιν* Roeperus, quocum consentire videtur Bunsenius: *μένουσιν* C M 79. *ἐπιστάμεναι τούτου*] *εἰστάμεναι. Τούτου* C: *ἐπιστάμεναι. Τούτου* M *διάφορον*] *διάφορα* C M 79. 80. *οὐδὲ βέλτιον* R. Scottus Bunsenius: *οὐ βέλτιον* C M: *οὐ γὰρ βέλτιον* Roeperus 80. 81. *ὑποκειμένοις*] *ἀποκειμένοις* C 82. *βασανίζονται* C 83. *γὰρ* om C Bunsenius 87. *οὐδὲν*] *οὐδὲ* C Roeperus, quo servato Roeperus post *γνώσεται* inserendum censet *τι* 92. *κατὰ μηδὲν*] *κατὰ*

dus, quotquot ita comparatae sunt, ut in hoc immortales maneant solo, manebunt nihil intelligentes, quod hunc gradum superet, neque melius quid, et ne fama quidem erit eorum, quae superiacent, in iis, quae subiacent, nec cognitio, ne impossibilia aventes subiacentes animae crucientur, veluti piscis in montibus cupiens cum ovibus pasci; foret enim, inquit, iis talis cupido pernicies. Sunt igitur, inquit, immortalia omnia, quae in loco suo manent, mortalia vero, cum ex iis, quae sunt secundum naturam, transilire et evagari volent. Ita archon hebdomadis nihil intelliget eorum quae superiacent; deprehendet enim hunc quoque magna ista ignorantia, ut desistat ab eo maeror et dolor et gemitus; concupiscet enim nihil eorum quae sunt impossibilia nec dolebit. Occupabit autem pariter et magnum archontem ogdoadis haec ignorantia omnesque subiacentes ei creaturas similiter, ut nihil a nulla parte concupiscat quidquam eorum, quae sunt contra naturam, neve doleat; et ita restitutio erit omnium, quae sunt secundum naturam fundata quidem in semine universorum in principio, disposita autem erunt temporibus suis. Suum autem cuique rei esse tempus, inquit, idoneus testis salvator est cum dicit: *Nondum venit hora mea*, et magi stellam conspicati; erat enim, inquit, et ipse sub genituram stellarum et horarum dispositionis in magno acervo ratione praeconceptus. Hic est, qui secundum illos intelligitur internus homo spiritualis in animali (quod est filietas, quae hic reliquit animam, non mortalem sed ibi manentem secundum naturam, qua ratione supra liquit prima filietas spiritum sanctum, hoc est id quod conterminum est, in suo loco) sua tum indutus anima.

Verum ne quid doctrinae eorum praetermittamus, quaecunque etiam de evangelio docent exponam. Evangelium est secundum eos supramundanorum intelligentia, ut declaratum est, quam magnus archon non intellexit. Cum igitur declara-

μηδένα C M 93. *παρὰ*] *κατὰ* C 95. *ἀποκατασταθησομένων* Roeperus: *ἀποκατασταμένων* C M Bunsenius 96. *καιροῖς*] *καιρὸς* C 97. *ἱκανῶς* C, unde coniicias *ἱκανῶς μαρτυρεῖ*: *μάρτυς ἱκανὸς* Bunsenius 97. Ev. Jo. 2, 4. 98. Cf. Matth. 2, 1. 2. 98. 99. *ἐπὶ γένεσιν δι' ἀστέρων* Bunsenius: *κατὰ γ. ὑπ' ἀστ.* Jacobius 1. *σωρῷ*] *σάρῳ* M 4. *ἧπερ*] *καίπερ* C M Bunsenius: *καθάπερ* Jacobius *λέλοιπεν*] *λέλυπεν* C 6. *αὐτοὺς*] *αὐτοῦ* C M Bunsenius

ἐστί, τουτέστι τὸ μεθόριον, καὶ ἡ υἱότης καὶ θεὸς ὁ τούτων αἴτιος πάντων ὁ οὐκ ὤν, ἐχάρη ἐπὶ τοῖς λεχθεῖσι καὶ ἠγαλλιάσατο· τουτέστι κατ' αὐτοὺς τὸ εὐαγγέλιον. Ὁ δὲ Ἰησοῦς γεγένηται κατ' αὐτοὺς ὡς προειρήκαμεν. Γεγενημένης δὲ τῆς γενέσεως τῆς προδεδηλωμένης, γέγονε πάντα ὁμοίως κατ' αὐτοὺς τὰ περὶ τοῦ σωτῆρος ὡς ἐν τοῖς εὐαγγελίοις γέγραπται. Γέγονε δὲ ταῦτα, φησίν, ἵνα ἀπαρχὴ τῆς φυλοκρινήσεως γένηται τῶν συγκεχυμένων ὁ Ἰησοῦς. Ἐπεὶ γάρ ἐστιν ὁ κόσμος διῃρημένος εἰς ὀγδοάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τοῦ παντὸς κόσμου, (κεφαλὴ δὲ τοῦ παντὸς κόσμου ὁ μέγας ἄρχων,) καὶ εἰς ἑβδομάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τῆς ἑβδομάδος, ὁ δημιουργὸς τῶν ὑποκειμένων, καὶ εἰς τοῦτο τὸ διάστημα τὸ καθ' ἡμᾶς, ὅπου ἐστὶν ἡ ἀμορφία, ἀναγκαῖον ἦν τὰ συγκεχυμένα φυλοκρινηθῆναι διὰ τῆς τοῦ Ἰησοῦ διαιρέσεως. Ἔπαθεν οὖν τοῦτο ὅπερ ἦν| αὐτοῦ σωματικὸν μέρος, ὃ ἦν τῆς ἀμορφίας, καὶ ἀπεκατέστη εἰς τὴν ἀμορφίαν· ἀνέστη δὲ τοῦτο ὅπερ ἦν ψυχικὸν αὐτοῦ μέρος, ὅπερ ἦν τῆς ἑβδομάδος, καὶ ἀπεκατέστη εἰς τὴν ἑβδομάδα· ἀνέστησε δὲ τοῦτο ὅπερ ἦν τῆς ἀκρωρείας οἰκεῖον τοῦ μεγάλου ἄρχοντος καὶ ἔμεινε παρὰ τὸν ἄρχοντα τὸν μέγαν· ἀνήνεγκε δὲ μέχρις ἄνω τοῦτο ὅπερ ἦν τοῦ μεθορίου πνεύματος καὶ ἔμεινεν ἐν τῷ μεθορίῳ πνεύματι· ἀπεκαθάρθη δὲ ἡ υἱότης ἡ τρίτη δι' αὐτοῦ, ἡ ἐγκαταλελειμμένη πρὸς τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι, καὶ ἀνῆλθε πρὸς τὴν μακαρίαν υἱότητα διὰ πάντων τούτων διελθοῦσα. Ὅλη γὰρ αὐτῶν ἡ ὑπόθεσις σύγχυσις οἱονεὶ πανσπερμίας καὶ φυλοκρίνησις καὶ ἀποκατάστασις τῶν συγκεχυμένων εἰς τὰ οἰκεῖα. Τῆς οὖν φυλοκρινήσεως ἀπαρχὴ γέγονεν ὁ Ἰησοῦς, καὶ τὸ πάθος οὐκ ἄλλου τινὸς χάριν γέγονεν ὑπὸ τοῦ φυλοκρινηθῆναι τὰ συγκεχυμένα Τούτῳ γὰρ τῷ τρόπῳ φησὶν ὅλην τὴν υἱότητα τὴν καταλελειμμένην εἰς τὴν ἀμορφίαν πρὸς τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι δεῖν φυλοκρινηθῆναι, ᾧ τρόπῳ καὶ ὁ Ἰησοῦς πεφυλοκρίνηται. Ταῦτα μὲν οὖν ἐστιν ἃ καὶ Βασιλείδης μυθεύει σχολάσας κατὰ τὴν Αἴγυπτον, καὶ παρ' αὐτῶν τὴν τοσαύτην σοφίαν διδαχθεὶς ἐκαρποφόρησε τοιούτους καρπούς.

11. 12. ἠγαλλιάσατο C 16. ἀπαρχὴ] ἀπ' ἀρχῆς C M Cf. infra lin. 35. φυλοκρίνης ἕως C 19. κεφαλὴ δὲ τοῦ παντὸς κόσμου om Bunsenius: An κεφαλὴ δὲ τῆς ὀγδοάδος? 20. ἥτις ἐστὶν ἡ κεφαλὴ τῆς ἑβδομάδος, ὁ δημιουργὸς] ἥτις ἐστὶν ὁ δημιουργὸς Bunsenius: An κεφαλὴ δὲ τῆς ἑβδομάδος ὁ δημιουργός? 22. 23. φυλοκριθῆναι C Bunsenius 33.

tum esset ei esse etiam spiritum sanctum, hoc est id quod conterminum est, et filietatem, et esse deum, horum auctorem omnium, eum qui non est, laetatus est iis quae dicta erant et exultavit: hoc est secundum eos evangelium. Iesus autem generatus est secundum eos ut antea diximus. Facta autem quae antea declarata est generatione, facta sunt omnia, quae pertinent ad salvatorem, similiter secundum eos atque in evangeliis scriptum est. Facta autem haec sunt, inquit, ut primitiae divisionis classium eorum quae commixta erant evaderet Iesus. Cum igitur mundus distributus sit in ogdoadem, quae est caput universi mundi (caput autem ogdoadis magnus archon), et in hebdomadem (caput autem hebdomadis opifex subiacentium), et in hunc gradum qui pertinet ad nos, ubi est deformitas: oportebat ea quae confusa erant ex classibus separari per Iesu divisionem. Passum igitur est id quod erat eius corporalis pars, quae erat deformitatis, et redacta est in deformitatem; resuscitatum autem est id quod erat in eo animale, id quod erat ab hebdomade, et rediit in hebdomadem; resuscitavit autem id quod erat domesticum summi cacuminis, magni archontis, et mansit apud magnum archontem; extulit autem usque ad id quod supra est illud quod erat contermini spiritus, et mansit in contermino spiritu; purgata autem est filietas tertia per eum, quae relicta erat ad bene faciendum et bene patiendum, et escendit ad beatam filietatem, postquam per omnia haec pervasit. Omne enim eorum argumentum est tanquam seminarii confusio et classium divisio et restitutio confusorum in loca domestica. Classium igitur divisionis primitiae factus est Iesus, et passio non alius cuiusdam gratia facta est per divisionem classium eorum quae confusa erant. Ea enim ratione ait omnem filietatem, quae relicta erat in deformitate ad bene faciendum et bene patiendum, oportere in classes dividi, qua ratione et Iesus per classes divisus est. Haec igitur sunt, quae et Basilides fabulatur, qui docuit per Aegyptum, et ab iis tantam sapientiam edoctus tales fructus tulit.

σύγχυσις] σύγχησις C 36. ὑπὸ] ἢ ὑπὸ M Bunsenius: ἢ Roeperus Jacobius 37. φυλοκριθῆναι Bunsenius 38. καταλελειμμένην] καταλελεγμένην C Bunsenius 39. δεῖν φυλοκρινηθῆναι] διαφυλοκριθῆναι C Bunsenius: διαφυλοκρινηθηναι M 41. τὴν Αἴγυπτον] τὸν Περίπατον Bernaysius

28. *Σατορνεῖλος δέ τις συνακμάσας τῷ Βασιλείδῃ κατὰ τὸν αὐτὸν χρόνον, διατρίψας δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐδογμάτισε τοιαῦτα ὁποῖα καὶ Μένανδρος. Λέγει δὲ ἕνα πατέρα ἄγνωστον τοῖς πᾶσιν ὑπάρχειν, τὸν ποιήσαντα ἀγγέλους, ἀρχαγγέλους, δυνάμεις, ἐξουσίας. Ἀπὸ δὲ ἑπτά τινων ἀγγέλων τὸν κόσμον γεγενῆσθαι καὶ πάντα τὰ ἐν αὐτῷ, καὶ τὸν ἄνθρωπον δὲ ἀγγέλων | εἶναι ποίημα, ἄνωθεν ἀπὸ τῆς αὐθεντίας φωτεινῆς εἰκόνος ἐπιφανείσης, ἣν κατασχεῖν μὴ δυνηθέντες διὰ τὸ παραχρῆμα, φησίν, ἀναδραμεῖν ἄνω, ἐκέλευσαν ἑαυτοῖς λέγοντες· Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν· οὗ γενομένου, φησίν, καὶ [μὴ] δυναμένου ἀνορθοῦσθαι τοῦ πλάσματος διὰ τὸ ἀδρανὲς τῶν ἀγγέλων, ἀλλὰ ὡς σκώληκος σκαρίζοντος, οἰκτείρασα αὐτὸν ἡ ἄνω δύναμις διὰ τὸ ἐν ὁμοιώματι αὐτῆς γεγονέναι, ἔπεμψε σπινθῆρα ζωῆς, ὃς διήγειρε τὸν ἄνθρωπον καὶ ζῆν ἐποίησε. Τοῦτον οὖν τὸν σπινθῆρα τῆς ζωῆς μετὰ τὴν τελευτὴν ἀνατρέχειν πρὸς τὰ ὁμόφυλα λέγει, καὶ τὰ λοιπά, ἐξ ὧν ἐγένετο, εἰς ἐκεῖνα ἀναλύεσθαι. Τὸν δὲ σωτῆρα ἀγέννητον ὑπέθετο καὶ ἀσώματον καὶ ἀνείδεον, δοκήσει δὲ ἐπιπεφηνέναι ἄνθρωπον. Καὶ τὸν τῶν Ἰουδαίων θεὸν ἕνα τῶν ἀγγέλων εἶναί φησι, καὶ διὰ τὸ βούλεσθαι τὸν πατέρα καταλῦσαι πάντας τοὺς ἄρχοντας, παραγενέσθαι τὸν*

Iren. *c. haer.* I, 24, 1. . . . Saturninus quidem similiter ut Menander unum patrem incognitum omnibus ostendit, qui fecit angelos, archangelos, virtutes, potestates. A septem autem quibusdam angelis mundum factum et omnia quae in eo. Hominem autem angelorum esse facturam, desursum a summa potestate lucida imagine apparente, quam cum tenere non potuissent, inquit, eo quod statim recurrerit sursum, adhortati sunt semet ipsos dicentes: *Faciamus hominem ad imaginem et similitudinem*: qui cum factus esset et non potuisset erigi plasma

---

et Bunsenius; sed cf. Euseb. *H. E.* 4, 7. ..... *Σατορνῖνόν τε Ἀντιοχέα τὸ γένος καὶ Βασιλείδην Ἀλεξανδρέα, ὧν ὁ μὲν κατὰ Συρίαν, ὁ δὲ κατ᾽ Αἴγυπτον συνεστήσαντο θεομισῶν αἱρέσεων διδασκαλεῖα.* Epiphan. *Haer.* 24, 1. *Βασιλείδης μὲν οὖν . . . ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ στειλάμενος τὴν πορείαν ἐκεῖσε τὰς διατριβὰς ἐποιεῖτο κ. τ. λ.* 43 sqq. Cum his quae sequuntur cf. Epiphan. *Haer.* 23. Theodoret. *Fab. haer.* 1, 3. et Iren. *c. haer.* 1, 24, cuius ipsa verba, quae Hippolytus exscripsit, a vetere interprete latine versa textui supposuimus 43. *Σατορνεῖλος*] *Σατορνῖ-*

28. Saturnilus autem quidam, qui per idem tempus quo Basilides viguit, degit autem Antiochiae, urbe Syriae, docuit talia qualia etiam Menander. Ait autem unum patrem incognitum universitati rerum existere, eum qui creaverit angelos, archangelos, potestates, vires. A septem autem angelis mundum extitisse omniaque in eo, et ipsum hominem angelorum esse opus, cum simul desuper ab authentia lucida imago apparuisset, quam cum detinere nequivissent, propterea quod ilico, inquit, recurrit sublime, cohortati sunt inter se his verbis: *Faciamus hominem secundum imaginem et similitudinem*, quo nato, inquit, cum figmentum sese erigere non posset ob debilitatem angelorum, sed vermis instar reperet: miserata eum superna potestas propterea quod in similitudinem eius factus erat, misit scintillam vitae, quae suscitavit hominem effecitque ut viveret. Hanc igitur scintillam vitae post obitum recurrere ad ea quae sint contribulia ait, et reliqua, ex quibus natus sit, in illa resolvi. Salvatorem autem ingeneratum statuit esse et incorporalem et figura carentem, per speciem autem apparuisse hominem. Et Iudaeorum deum unum angelorum esse ait, et quoniam voluerit pater dominatu privare omnes domi-

---

propter imbecillitatem angelorum, sed quasi vermiculus scarizaret, miserantem eius desuper virtutem, quoniam in similitudinem eius esset factus, emisisse scintillam vitae, quae erexit hominem et articulavit et vivere fecit. Hanc igitur scintillam vitae post defunctionem recurrere ad ea, quae sunt eiusdem generis, dicit, et reliqua ex quibus facta sunt illa (sic!) resolvi.

2. Salvatorem autem innatum demonstravit et incorporalem et sine figura, putative autem visum hominem; et Iudaeorum deum unum ex angelis esse dixit. Et propter hoc quod

---

λος Epiphanius et Theodoretus: *Σατορνῖνος* Eusebius 46. *τὸν ποιήσαντα*] *τοῦτον ποιήσαντα* C 49. *αὐθεντίας*] Cf. infra cap. 33. p. 404, 46. 49. 50. *φωτεινῆς*] *φωνῆς* C M: *κατὰ τὴν μορφὴν τῆς ἄνωθεν παρακυψάσης φωνῆς* Epiphanius 50. *ἣν*] *ἦν* C 51. *ἄνω* Roeperus: *ἄνωθεν* C M 52. 53. Cf. 1 Mos. 1, 26. *Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν κ. τ. λ.* 53. *μὴ* add. M 56. *ἔπεμψε*] *πέμψαι* C 60. *σωτῆρα ἀγέννητον*] *πατέρα ἀγένητον* C M 62. *διὰ τὸ*] *διὰ τοῦτο* C M

Χριστὸν ἐπὶ καταλύσει τοῦ τῶν Ἰουδαίων θεοῦ καὶ ἐπὶ σωτηρίᾳ τῶν πειθομένων αὐτῷ· εἶναι δὲ τούτους τοὺς ἔχοντας τὸν σπινθῆρα τῆς ζωῆς ἐν αὐτοῖς. Δύο γὰρ γένη τῶν ἀνθρώπων ὑπὸ τῶν ἀγγέλων πεπλάσθαι ἔφη, τὸ μὲν πονηρόν, τὸ δὲ ἀγαθόν, καὶ ἐπειδὴ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, ἐληλυθέναι τὸν σωτῆρα ἐπὶ καταλύσει τῶν φαύλων ἀνθρώπων καὶ δαιμόνων, ἐπὶ σωτηρίᾳ δὲ τῶν ἀγαθῶν. Τὸ δὲ γαμεῖν καὶ γεννᾶν ἀπὸ τοῦ σατανᾶ φησιν εἶναι· οἱ πλείους τε τῶν ἀπ' ἐκείνου καὶ ἐμψύχων ἀπέχονται, διὰ τῆς προσποιήτου ταύτης ἐγκρατείας .... τὰς δὲ προφητείας ἃς μὲν ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων λελαλῆσθαι, ἃς | δὲ ἀπὸ τοῦ σατανᾶ, ὃν καὶ αὐτὸν ἄγγελον ἀντιπράττοντα τοῖς κοσμικοῖς ὑπέθετο, μάλιστα δὲ τῷ τῶν Ἰουδαίων θεῷ. Ταῦτα μὲν οὖν ὁ Σατορνεῖλος.

29. Μαρκίων δὲ ὁ Ποντικὸς πολὺ τούτων μανικώτερος, τὰ πολλὰ τῶν πλειόνων παραπεμψάμενος ἐπὶ τὸ ἀναιδέστερον ὁρμήσας δύο ἀρχὰς τοῦ παντὸς ὑπέθετο, ἀγαθόν τινα λέγων καὶ τὸν ἕτερον πονηρόν· καὶ αὐτὸς δὲ νομίζων καινόν τι παρεισαγαγεῖν σχολὴν ἐσκεύασεν ἀπονοίας γέμουσαν καὶ κυνικοῦ βίου, ὤν τις μάχιμος. Οὗτος νομίζων λήσεσθαι τοὺς πολλούς, ὅτι μὴ Χριστοῦ τυγχάνοι μαθητὴς ἀλλ' Ἐμπεδοκλέους πολὺ αὐτῷ προγενεστέρου τυγχάνοντος, ταὐτὰ ὁρίσας ἐδογμάτισε δύο εἶναι τὰ τοῦ παντὸς αἴτια, νεῖκος καὶ φιλίαν. Τί γὰρ φησὶν ὁ Ἐμπε-

---

dissolvere voluerint patrem eius omnes principes, advenisse Christum ad destructionem Iudaeorum dei et ad salutem credentium ei; esse autem hos, qui habent scintillam vitae eius. Duo enim genera hic primus hominum plasmata esse ab angelis dixit, alterum quidem nequam, alterum autem bonum. Et quoniam daemones pessimos adiuvant, venisse salvatorem ad dissolutionem malorum hominum et daemoniorum, ad salu-

---

65. *τούτους τοὺς*] *τούτους* C M 67. *τὸ μὲν — τὸ δὲ*] *τὸν μὲν — τὸν δὲ* C M 69. *ἐπικαταλύσει* C 71. *γενᾶν* C *πλείους τε*] *πλείους δὲ* scribendum censet M, qui verba *οἱ πλείους — ἐγκρατείας* lunulis inclusit 72. *πρὸς ποιητοῦ* C 73. Post *ἐγκρατείας* lacunam signavimus; videntur excidisse verba *πλανῶντες πολλούς: ὅθεν καὶ οἱ πλείους αὐτῶν ἐμψύχων ἀπέχονται, ὅπως διὰ τῆς προσποιητῆς δῆθεν πολιτείας αὐτῶν τινας ἐπαγάγωνται εἰς τὴν αὐτῶν ἀπάτην* Epiphanius l. l.

nantes, advenisse Christum ad privandum dominatu Iudaeorum deum et ad salvandos eos qui sibi obsequerentur, esse autem hos eos qui haberent scintillam vitae in semet ipsis. Duo enim genera hominum ab angelis ficta esse ait, alterum malum, alterum bonum, et cum auxiliarentur daemones malis, venisse salvatorem ad tollendos malos homines et daemones, ad salvandos autem bonos. Ducere autem uxorem et procreare prolem a Satana inquit esse; plerique autem eorum, qui sunt ab eo, etiam animantibus abstinent per eamque affectatam continentiam multos seducunt. Vaticinationes autem partim ab angelis mundificibus praedicatas esse, partim autem a Satana, quem et ipsum angelum statuit esse, qui adversetur iis qui sunt in mundo angelis, maxime autem deo Iudaeorum. Haec igitur Saturnilus.

29. Marcion autem Ponticus, multo his vesanior, plerisque ex plurimis omissis in maiorem impudentiam progressus, duo principia universi statuit, cum bonum unum ponit, alterum malum. Et ipse opinatus sese novum quiddam subintroduxisse scholam constituit vesania abundantem et canina vita, quippe furiosus quidam erat. Hic arbitratus oblituros esse homines se non esse Christi discipulum sed Empedoclis, qui multo ante ipsum fuit, eadem definiit et docuit duas esse universi causas: discordiam et amicitiam. Quid enim docet

---

tem autem bonorum. Nubere autem et generare a Satana dicunt esse. Multi autem ex iis, qui sunt ab eo, et ab animalibus abstinent, per fictam huiusmodi continentiam seducentes multos. Prophetias autem quasdam quidem ab iis angelis, qui mundum fabricaverint, dictas, quasdam autem a Satana, quem et ipsum angelum adversarium mundi fabricatoribus ostendit, maxime autem Iudaeorum deo.

---

§. 2. 75. *ὑπέθετο*] *ὑπέθεντο* C M 75. 76. *τῷ — θεῷ*] *τὸν — θεόν* C M 81. *γέμουσαν*] *γέμουσα* C 82. *ὧν τις μάχιμος*] *ὧν τις μάχλος* coni. M: R. Scotto haec ex glossa marginali nata videntur *ὧν τις* sive *εἷς Μάξιμος*, quae spectare arbitratur ad Maximum Cynicum, qui a concilio Constantinopolitano damnatus est: an *μανικός*? *Οὗτος*] *ὅτι* C 84. *ταὐτὰ*] *ταῦτα* C M

δοκλῆς περὶ τῆς τοῦ κόσμου διαγωγῆς; εἰ καὶ προείπομεν, ἀλλά γε καὶ νῦν πρὸς τὸ ἀντιπαραθεῖναι τῇ τοῦ κλεψιλόγου αἱρέσει οὐ σιωπήσομαι. Οὗτός φησιν εἶναι τὰ πάντα στοιχεῖα, ἐξ ὧν ὁ κόσμος συνέστηκε καὶ ἔστιν, ἕξ, δύο μὲν ὑλικά, γῆν καὶ ὕδωρ, δύο δὲ ὄργανα, οἷς τὰ ὑλικὰ κοσμεῖται καὶ μεταβάλλεται, πῦρ καὶ ἀέρα, δύο δὲ τὰ ἐργαζόμενα τοῖς ὀργάνοις τὴν ὕλην καὶ δημιουργοῦντα, νεῖκος καὶ φιλίαν, λέγων ὧδέ πως·

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς [ἀργής], Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς,
Νῆστις γε ἣ δακρύοις τέγγει κρουνῷ μακρόγιον.

Ζεύς ἐστι τὸ πῦρ, Ἥρη δὲ φερέσβιος ἡ γῆ ἡ φέρουσα | τοὺς πρὸς τὸν βίον καρπούς, Ἀϊδωνεὺς δὲ ὁ ἀήρ, ὅτι πάντα δι' αὐτοῦ βλέποντες μόνον αὐτὸν οὐ καθορῶμεν, Νῆστις δὲ τὸ ὕδωρ· μόνον γὰρ τοῦτο ὄχημα τροφῆς αἴτιον γινόμενον πᾶσι τοῖς τρεφομένοις, αὐτὸ καθ' αὑτὸ τρέφειν οὐ δυνάμενον τὰ τρεφόμενα. Εἰ γὰρ ἔτρεφε, φησίν, οὐκ ἄν ποτε λιμῷ κατελήφθη τὰ ζῷα, ὕδατος ἐν τῷ κόσμῳ πλεονάζοντος ἀεί. Διὰ τοῦτο Νῆστιν καλεῖ τὸ ὕδωρ, ὅτι τροφῆς αἴτιον γινόμενον τρέφειν οὐκ εὐτονεῖ τὰ τρεφόμενα. Ταῦτα μὲν οὖν ἐστιν ὡς τύπῳ περιλαβεῖν τοῦ κόσμου τὰ συνέχοντα τὴν ὅλην ὑπόθεσιν· ὕδωρ καὶ γῆ, ἐξ ὧν τὰ γινόμενα, πῦρ καὶ πνεῦμα, τὰ ὄργανα καὶ τὰ δραστήρια, νεῖκος δὲ καὶ φιλία, τὰ δημιουργοῦντα τεχνικῶς. Καὶ ἡ μὲν φιλία εἰρήνη τίς ἐστι καὶ ὁμόνοια καὶ στοργὴ ἕνα τέλειον κατηρτισμένον εἶναι προαιρουμένη τὸν κόσμον, τὸ δὲ νεῖκος ἀεὶ διασπᾷ τὸν ἕνα καὶ κατακερματίζει ἢ ἀπεργάζεται ἐξ ἑνὸς πολλά. Ἔστι μὲν οὖν τὸ μὲν νεῖκος αἴτιον τῆς κτίσεως πάσης, ὅ φησιν οὐλόμενον εἶναι, τουτέστιν ὀλέθριον· μέλει γὰρ αὐτῷ, ὅπως διὰ παντὸς αἰῶνος ἡ κτίσις αὐτὴ συνεστήκῃ· καὶ ἔστι πάντων τῶν

86. Cf. supra p. 14, 1—14. Empedoclea ab Hippolyto conservata accuratius tractavit Schneidewinus *Philol.* vol. VI p. 155 sqq. et Bern. ten Brink *ibid.* p. 730 sqq. Recepit in *Fragmenta Empedoclis* Henr. Stein (*Bonnae* 1852). Post Steinium eosdem versus variis coniecturis tentaverunt Th. Bergkius in censura Steiniani libelli in *Jahnii Nov. Annall. philol.* a. 1853 Tom. LXVIII p. 21 sqq. A. Mullachius in *Quaestt. Empedocl. spec. secundo Berolini* 1853 edito et Guil. Hollenberg in *Empedocleis Berol.* eodem anno editis. 93—95. Empedocl. vss. 55—57. Karsten.; vss. 33—35. Stein., qui reliquorum scriptorum testimonia apponunt. Redeunt iidem versus infra l. X, c. 7. p. 313 ed. Ox. 94. *ἀργής* om C: *ἀήρ* infra p. 313.

Empedocles de mundi administratione? Etiamsi antea diximus, tamen etiamnunc in comparationem haereseos hominis doctrinam suam suffurati non silebimus. Hic omnia elementa, ex quibus mundus constitit et extat, sex esse ait, quorum duo sint materialia, terram et aquam, duo autem instrumenta, quibus materialia instruantur et commutentur, ignem et aërem, duo autem quae operentur instrumentis materiem et dispensent, discordiam et amicitiam, cum dicit sic fere:

Quattuor universorum radices primum audi:
Iuppiter [lucidus] Iunoque alma et Aïdoneus
Nestisque quae lacrimis humectat scaturiginem humanam.

Iuppiter est ignis, Iuno autem alma terra, quae fert fruges ad victum necessarias, Aïdoneus autem aër, quoniam omnia per eum videntes ipsum non conspicimus, Nestis autem aqua; solum enim hoc vehiculum, quod nutritionem efficit iis quae aluntur, cum ipsum per se nequeat nutrire ea quae aluntur. Si enim nutriret, inquit, nunquam fame corriperentur animalia, cum aqua in mundo semper abundet. Propterea Nestin vocat aquam, quia cum efficiat nutritionem nutrire nequeat ea quae aluntur. Haec igitur sunt, ut primis lineamentis adumbremus, quae mundi continent universam speciem: aqua et terra, ex quibus ea quae nascuntur, ignis et spiritus, instrumenta et agentia, discordia autem et amicitia, ea quae operantur per artem. Et amicitia quidem pax quaedam est et consensio et caritas, quae eo nititur, ut unus perfectus et consummatus sit mundus; discordia autem semper distrahit unum illum et dirimit vel reddit ex uno multa. Est igitur discordia causa universi mundi, quam ait *οὐλόμενον* esse, id est perniciosam; curae enim ei est, ut mundus per omne aevum idem

ἠδ'] *ἡ δὲ* C 95. *γε*] *δὲ* infra l. l. *ἡ δακρύοις*] *ἡδακτοῖς* infra l. l. *τέγγει*] *σπονδε* (sic) infra *μακρόγιον*] *μαβρόντιον* infra. Steinius ex aliis fontibus versum ita edidit: *Νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον*, quem alii aliter tentaverunt, veluti B. Brinkius in *Philol.* VI p. 730 sqq.: *Νῆστις δακρυόεσσά τ' ἐπὶ κρουνῶν μακρογείων* 98. *βλέποτες* C 1. *καθ' αὐτὸ* C 9. 10. *κατηρτισμένον*] *κατειρτισμένον* C: Fort. *καὶ κατηρτισμένον* M 12. 13. *οὐλόμενον*] Cf. infra p. 313, 74 ed. Ox. 14. *αὐτὴ*] *αὐτὴ* C M *συνεστήκῃ*: *συνέστηκε* C M

γεγονότων τῆς γενέσεως δημιουργὸς καὶ ποιητὴς τὸ νεῖκος τὸ ὀλέθριον, τῆς δὲ ἐκ τοῦ κόσμου τῶν γεγονότων ἐξαγωγῆς καὶ μεταβολῆς καὶ εἰς τὸν ἕνα ἀποκαταστάσεως ἡ φιλία· περὶ ὧν ὁ Ἐμπεδοκλῆς ὅτι ἐστὶν ἀθάνατα δύο καὶ ἀγέννητα καὶ ἀρχὴν τοῦ γενέσθαι μηδέποτε εἰληφότα, ἀλλαχοῦ λέγει τοιοῦτόν τινα τρόπον· |

ἦ γὰρ καὶ πάρος ἦν τε καὶ ἔσσεται, οὐδέ ποτ', οἴω,
τούτων ἀμφοτέρων κενεώσεται ἄσπετος αἰών.

Τίνων τούτων; τοῦ νείκους καὶ τῆς φιλίας· οὐ γὰρ ἤρξαντο γενέσθαι, ἀλλὰ προῆσαν καὶ ἔσονται ἀεὶ διὰ τὴν ἀγεννησίαν φθορὰν ὑπομεῖναι μὴ δυνάμενα. Τὸ δὲ πῦρ [καὶ τὸ ὕδωρ] καὶ ἡ γῆ καὶ ὁ ἀὴρ θνήσκοντα καὶ ἀναβιοῦντα. Ὅταν μὲν γὰρ ἀποθάνῃ ταῦτα ὑπὸ τοῦ νείκους γινόμενα, παραλαμβάνουσα αὐτὰ ἡ φιλία προσάγει καὶ προστίθησι καὶ προσοικειοῖ τῷ παντί, ἵνα μένῃ τὸ πᾶν ἕν, ὑπὸ τῆς φιλίας ἀεὶ διακοσμούμενον μονοτρόπως καὶ μονοειδῶς. Ὅταν δὲ ἡ φιλία ἐκ πολλῶν ποιήσῃ τὸ ἓν καὶ τὰ διεσπασμένα προσοικειώσῃ τῷ ἑνί, πάλιν τὸ νεῖκος ἀπὸ τοῦ ἑνὸς ἀποσπᾷ καὶ ποιεῖ πολλά, τουτέστι πῦρ, ὕδωρ, γῆν, ἀέρα, τὰ ἐκ τούτων γεννώμενα ζῷα καὶ φυτὰ καὶ ὅσα μέρη τοῦ κόσμου κατανοοῦμεν. Καὶ περὶ μὲν τῆς τοῦ κόσμου ἰδέας, ὁποία τίς ἐστιν ὑπὸ τῆς φιλίας κοσμουμένη, λέγει τοιοῦτόν τινα τρόπον·

Οὐ γὰρ ἀπὸ νώτοιο δύο κλάδοι ἀΐσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦνατ', οὐ μήδεα γενήεντα,
ἀλλὰ σφαῖρος ἔην καὶ ἶσος ἐστὶν αὐτῷ.

Τοιοῦτόν τι καὶ κάλλιστον εἶδος τοῦ κόσμου ἡ φιλία ἐκ πολλῶν ἓν ἀπεργάζεται· τὸ δὲ νεῖκος, τὸ τῆς τῶν κατὰ μέρος διακοσμήσεως αἴτιον, ἐξ ἑνὸς ἐκείνου ἀποσπᾷ | καὶ ἀπεργάζεται πολλά. Καὶ τοῦτό ἐστιν ὃ λέγει περὶ τῆς ἑαυτοῦ γεννήσεως ὁ Ἐμπεδοκλῆς·

17. *τὸν ἕνα*] *τὸ ἕν?* Sauppius. 18. *ἀγένητα* C M. Cf. infra p 390, 3 19. *ἀλλαχοῦ*] *ἀλλὰ* C M, qui *ἀλλὰ* delendum arbitratur, nisi quid exciderit: *ἄλλῃ τε λέγει καὶ τοῦτον τὸν τρόπον* Roeperus 21. 22. Cf. supra p. 264, 32. 33. et quae ibi adnotavimus 21. *ἦ*] *εἰ* C M *τε*] om C M *ἔσσεται*] *ἔσται* C *οὐδέ ποτ', οἴω,*] *οὐδέπω τοίω* C: *οὐδέποτ', οἴω,* M 22. *κενεώσεται*] *κενώσεται* C: *κεινώσεται* M: *κεκενώσεται* Sauppius *ἄσπετος*] *ἄσβεστος* C 23. *ἤρξαντο*] *ἤρξατο* C 25. *καὶ τὸ ὕδωρ* om C M. Cf. lin. 32 26. *θνήσκοντα καὶ ἀναβιοῦντα*] *θνήσκουσι καὶ ἀναβιοῦσι* susp. Sauppius 29. *διακοσμούμενον*] *διὰ κοσμομούμενον* C 30. *ποιήσῃ*] *ποιήσει* C 31. *προσοικειώσῃ* Roeperus: *προσοικονομήσει* C: *προσοικονομήσῃ* M 33. *τὰ*] *καὶ τὰ* susp. Sauppius 35. *κοσμομουμένη λέγει, λέγει* (sic) C 36—38. Empedocl. vss. 360—62. Karsten., vss. 348—50. Stein., qui collatis aliis testibus haec ita conformavit:

consistat; et est omnium generatorum generationis dispensator et effector discordia perniciosa, exitus autem ex mundo eorum, quae generata sunt, et commutationis et in unum restitutionis amicitia: de quibus Empedocles, scilicet esse immortalia duo et ingenerata et quae initium nascendi nunquam ceperint, alio loco dicit in hunc fere modum:

Profecto enim et prius erat et erit nec unquam, opinor,
His ambobus vacuabitur immensum aevum.

Quibusnam his? Discordia et amicitia; non enim coeperunt esse, sed ante erant et erunt in aeternum, quoniam, cum generata non sint, perniciem subire nequeunt. Ignis autem [et aqua] et terra et aër morientia sunt et in vitam redeuntia. Cum enim mortua sunt haec, quae a discordia oriuntur, comprehendens ea amicitia adducit et apponit et conciliat universo, ut universum permaneat unum, ab amicitia semper dispositum in unum eundemque modum eademque ratione. Quando autem amicitia ex multis effecit unum, et ea quae distracta sunt conciliavit uni, rursus discordia abstrahit ab uno et reddit multa, hoc est ignem, aquam, terram, aërem, quae ex his generantur animalia et sata et quascunque partes mundi conspicimus. Et de mundi quidem specie, qualis quaedam sit ab amicitia disposita, dicit in hunc fere modum:

Non enim a tergo duo rami surgunt,
Non pedes, non vegeta genua, non inguina genitalia,
Verum globus est et ab omni parte aequalis sibi.

Talem quandam et pulcherrimam speciem mundi amicitia ex multis unam efficit; discordia autem, quae causa est per partem dispositionis, ex uno illo distrahit et efficit multa. Et hoc est, quod de sua generatione dicit Empedocles:

οὐ μὲν ἀπαὶ νώτοιο δύο κλάδοι ἀΐσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦν', οὐ μήδεα λαχνήεντα,
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, κ. τ. λ.

36. *νότοιο* C   *ἀΐσονται* C   37. *μήδεα γεννήεντα* Sauppius   38. *ἀλλὰ σφαῖρος ἔεις καὶ πάντοθεν ἶσος ἑαυτῷ* Schneidewin. l. l.: *ἀλλὰ σφαῖρος ἔην καὶ πάντ' ἴσος ἐστὶν ἑαυτῷ* coni. M: *ἔην* tuetur v. Empedocl. Karsten.; si vere, videndum an pro *ἐστὶν* substituas *ἔσκεν,* ac si Empedocles *ἴσος* dixerit pro *ἶσος,* ut Karstenius vult, an in *καὶ* lateat *πάντη δ',* (de *ἑαυτῷ* enim nihil dubium) ipsum versum autem Hippolytus aliunde assuerit. Roeperus   40. *τῶν* delendum esse censet Sauppius.

τῶν καὶ ἐγὼ νῦν εἰμι φυγὰς θεόθεν καὶ ἀλήτης,

τουτέστι θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα, ἐν ᾧ ἦν πρὶν ὑπὸ τοῦ νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ νείκους διακόσμησιν·

Νείκεϊ, γάρ φησι, μαινομένῳ [πίσυνος, νεῖκος μαινόμενον] τεταραγμένον καὶ ἄστατον τὸν δημιουργὸν τοῦδε τοῦ κόσμου ὁ Ἐμπεδοκλῆς ἀποκαλῶν. Αὕτη γάρ ἐστιν η καταδίκη καὶ ἀνάγκη τῶν ψυχῶν, ὧν ἀποσπᾷ τὸ νεῖκος ἀπὸ τοῦ ἑνὸς καὶ δημιουργεῖ καὶ ἐργάζεται, λέγων τοιοῦτον τινὰ τρόπον·

ὅς καὶ ἐπίορκον ἁμαρτήσας ἐπομώσει,
δαιμόνιοί τε μακραίωνος λελάχασι βίοιο,

δαίμονας τὰς ψυχὰς λέγων μακραίωνας, ὅτι εἰσὶν ἀθάνατοι καὶ μακροὺς ζῶσιν αἰῶνας·

τρὶς μὲν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι,

μάκαρας καλῶν τοὺς συνηγμένους ὑπὸ τῆς φιλίας ἀπὸ τῶν πολλῶν εἰς τὴν ἑνότητα τοῦ κόσμου τοῦ νοητοῦ. Τούτους οὖν φησιν ἀλάλησθαι καὶ

φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν,
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.

Ἀργαλέας κελεύθους φησὶν εἶναι τῶν ψυχῶν τὰς εἰς τὰ σώματα μεταβολὰς καὶ μετακοσμήσεις. Τοῦτ' ἐστὶν ὃ λέγει·

ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους· |

μεταλλάσσουσι γὰρ αἱ ψυχαὶ σῶμα ἐκ σώματος, ὑπὸ τοῦ νείκους μεταβαλλόμεναι καὶ κολαζόμεναι καὶ οὐκ ἐώμεναι μένειν εἰς τὸ ἕν· ἀλλὰ κολάζεσθαι ἐν πάσαις κολάσεσιν ὑπὸ τοῦ νείκους τὰς ψυχὰς μεταβαλλομένας σῶμα ἐκ σώματος.

Αἰθέριόν γε (φησί) μένος ψυχὰς πόντονδε διώκει,

43. vs. 7. Karsten., vs. 381 Stein., qui edidit: τῶν καὶ ἐγὼ νῦν εἰμί, φυγὰς θεόθεν καὶ ἀλήτης νῦν om C M, additum ex aliis fontibus 47. Νείκεϊ γάρ, φησί, μαινομένῳ πίσυνος, Νεῖκος μαινόμενον] Νείκη γὰρ φησὶ μαινόμενον καὶ C M: Νεῖκος γάρ φησι μαινόμενον καὶ Mullachius. Verba Empedoclis ipsa latere docet locus integrior apud Stein. vs. 382, Karsten. vs. 8. 48. τεταραγμένον] τεταγμένον C 49. τοῦδε Roeperus: τὸ δὲ C: τόνδε M 51. λέγων] ὃ λεγει susp. Sauppius 52. 53. Empedocl. vs. 372 sq. Stein., qui primus priorem versum Empedoclis inseruit. Edidit autem Steinius:

εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μιηνῃ
αἵματος ἢ ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ

Contra Schneidewinus l. l. p. 162 proposuit:

quorum et ego nunc sum exul divinitus et erro,

hoc est, *deum* appellans quod unum est et illius unitatem, in quo erat, antequam a discordia abstraheretur et versaretur in multis his, quae sunt secundum discordiae dispositionem;

Discordia enim, inquit, *insaniente fretus,*

discordiam insanientem perturbatum et instabilem demiurgum huius mundi appellans Empedocles. Haec enim est damnatio et necessitas animarum, quas abstrahit discordia ab eo quod unum est et dispensat et administrat, cum ait in hunc fere modum:

qui et scelere commisso peieravit
daemon, qui longaevam nacti sunt vitam,

daemonas appellans longaevas animas, quia sunt immortales et longa vivunt aeva;

triginta milia eos annorum a beatis segregatos errare,

beatos appellans eos, qui per amicitiam coacti sunt a multis illis in unitatem mundi intelligibilis. Hos igitur ait *errare* et

nascentes omnigenas per tempus species mortalium,
difficiles vitae mutantes vias.

Difficiles vias ait esse animarum in corpora commutationes et transfigurationes. Hoc est quod ait:

difficiles vitae mutantes vias;

mutant enim animae corpus ex corpore, cum a discordia commutantur et puniuntur et vetantur manere in uno; puniri vero omnibus poenis a discordia animas commutatas corpus ex corpore.

Aetherea enim (inquit) *vis animas versus mare fugat,*

εὖτέ τις ἀμπλακίῃσι φρενῶν φίλα γυῖα μιήνῃ
αἵμασιν, ἢ ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ

53. Empedocl. vs. 4. Karst.: *δαίμων, οἵτε μακραίωνος λελάχασι βίοιο,* Steinius. Cf. Philolog. l. l. p. 162. 163, ubi Schneidewinus *λελάγασι* ex Hesychio defendit: *λελάχωσι* susp. M: *δαίμων, οἵτε βίοιο λελόγχασι μακραίωνος* Mullachius *βίοιο*] *βίοις* C 54. *μακρεῶνας* C 56. Empedocl. vs. 5. Karst., vs. 374. Stein. *μὲν*] *μιν* Steinius, quanquam etiam Origenes habet *μὲν* *ἀλάλησθε* C M 57. *μάκαρας*] *μακαρίας* C M *ὑπὸ τῆς*] *ἀπὸ τῆς* C 60. Empedocl. vs. 6. Karsten., vs. 375. Stein. *φυομένους*] *φυόμενον* Steinius: *γεινόμενον* Mullachius *χρόνου*] *χρόνον* C M *εἴδεα*] *ἴδεα* C 61. Empedocl. vs. 376. Stein. 62. 63. *τὰς σώματα* C 63. *μετὰ κοσμίσεις* C 69—72. Empedocl. vss. 16—19. Karsten., vss. 377—380. Stein. 69. *Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει* Karstenius et Steinius *πόντονδε διώκει*] *πόντον δέε χθονὸς διώκει* C

πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Αὕτη ἐστὶν ἡ κόλασις ἣν κολάζει ὁ δημιουργός, καθάπερ χαλκεύς τις μετακοσμῶν σίδηρον καὶ ἐκ πυρὸς εἰς ὕδωρ μεταβάπτων· πῦρ γάρ ἐστιν ὁ αἰθήρ, ὅθεν εἰς πόντον μεταβάλλει τὰς ψυχὰς ὁ δημιουργός, χθὼν δὲ ἡ γῆ· ὅθεν φησίν· ἐξ ὕδατος εἰς γῆν, ἐκ γῆς δὲ εἰς τὸν ἀέρα, τουτέστιν ὃ λέγει·

γαῖα δ' ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Μισουμένας οὖν τὰς ψυχὰς καὶ βασανιζομένας καὶ κολαζομένας ἐν τῷδε τῷ κόσμῳ κατὰ τὸν Ἐμπεδοκλέα συνάγει ἡ φιλία, ἀγαθή τις οὖσα καὶ κατοικτείρουσα τὸν στεναγμὸν αὐτῶν καὶ τὴν ἄτακτον καὶ πονηρὰν τοῦ νείκους τοῦ μαινομένου *κατασκευήν, καὶ ἐξάγειν κατ' ὀλίγον ἐκ τοῦ κόσμου καὶ προσοικειοῦν τῷ ἑνὶ σπεύδουσα καὶ κοπιῶσα, ὅπως τὰ πάντα εἰς τὴν ἑνότητα καταντήσῃ ὑπ' αὐτῆς ἀγόμενα. Διὰ τὴν τοιαύτην οὖν τοῦ ὀλεθρίου νείκους διακόσμησιν τοῦδε τοῦ μεμερισμένου κόσμου πάντων ἐμψύχων ὁ Ἐμπεδοκλῆς τοὺς | ἑαυτοῦ μαθητὰς ἀπέχεσθαι παρακαλεῖ· εἶναι γάρ φησι τὰ σώματα τῶν ζῴων τὰ ἐσθιόμενα ψυχῶν κεκολασμένων οἰκητήρια· καὶ ἐγκρατεῖς εἶναι τοὺς τῶν τοιούτων λόγων ἀκροωμένους τῆς πρὸς γυναῖκα ὁμιλίας διδάσκει, ἵνα μὴ συνεργάζωνται καὶ συνεπιλαμβάνωνται τῶν ἔργων, ὧν δημιουργεῖ τὸ νεῖκος, τὸ τῆς φιλίας ἔργον λύον ἀεὶ καὶ διασπῶν. Τοῦτον εἶναί φησιν ὁ Ἐμπεδοκλῆς νόμον μέγιστον τῆς τοῦ παντὸς διοικήσεως, λέγων ὧδέ πως·*

Ἔστιν ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν,
ἀΐδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις,

ἀνάγκην *καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν φιλίαν μεταβολήν·* θεοὺς *δέ, ὡς ἔφην, τέσσαρας μὲν θνητούς, πῦρ, ὕδωρ, γῆν, ἀέρα, δύο δὲ ἀθανάτους, ἀγεννήτους, πολεμίους ἑαυτοῖς διὰ παντός, τὸ νεῖκος καὶ τὴν φιλίαν· καὶ τὸ μὲν νεῖκος ἀδικεῖν διὰ παντὸς καὶ*

70. *δ' ἐς χθονὸς*] *δεε.* (una littera exesa) *χθονὸς* C *οὖδας*] *οὗδας* C *ἀπέπτυσε*] *ἀνέπτυσε* Karsten. *γαῖα δ' ἐς*] *γέα δ' εἰς* C 71. *φαέθοντος*] *ἀκάμαντος* Karstenius et Steinius ex Plutarcho 78. *εἰς* C 79. *ὅδ' αἰθέρος ἔμβαλλε* C

mare autem in terrae solum expuit, terra autem in radios
splendentis solis, is autem aetheris iniecit verticibus;
alius autem ex alio accipit, oderunt autem universi.

Haec est poena, qua punit demiurgus, tanquam faber, qui ferrum transformat et ex igne in aquam transmergit; ignis enim est aether, unde in mare transfert animas demiurgus, tellus autem terra; quare ait: ex aqua in terram, ex terra autem in aërem, hoc est quod ait:

terra autem in radios
splendentis solis, is autem aetheris iniecit verticibus,
alius autem ex alio accipit, oderunt autem universi.

Invisas igitur animas et cruciatas et punitas in hoc mundo secundum Empedoclem congregat amicitia, cum sit bona quaedam et miseretur gemitum earum et inordinatam et pravam *discordiae insanientis* dispositionem, et educere brevi e mundo et conciliare uni nitatur et laboret, ut omnia in unitatem cedant a se ducta. Propter hanc igitur perniciabilis discordiae dispensationem huius dispertiti mundi ab omnibus animatis abstinere discipulos suos iubet Empedocles; esse enim ait corpora animalium quae comeduntur punitarum animarum habitacula; docetque eos, qui talibus dictis obtemperant, sese continere a muliebri consuetudine, ne participes fiant et consortes operum, quae dispensat discordia, quae opus amicitiae solvat semper et distrahat. Hanc ait Empedocles esse summam legem administrationis universi, cum dicit sic fere:

Est Necessitatis res, deorum statutum priscum,
immortale, stabilibus obsignatum iuramentis,

Necessitatem vocans ex uno in multa per discordiam et ex multis in unum per amicitiam commutationem; *deos* autem, ut dicebam, quattuor mortales, ignem, aquam, terram, aërem, duo autem immortales, ingeneratos, hostiles sibimet ipsis perpetuo, discordiam et amicitiam; et discordiam quidem iniuste agere perpetuo et maiora concupiscere et abstrahere ea, quae

80. *δ' ἐξ*] *ἐξ* C M 93. *ὁμιλίας*] *ὁμιλήσας* C *διδάσκειν* C *συνεργάζονται* C 93. 94. *συνεπιλαμβάνονται* C 97. 98. Empedocl. vss. 1. 2. Karsten., vss. 369. 70. Stein. 97. *Ἔστιν Ἀνάγκης*] *Ἔστι τί ἀνάγκη* C 98. *πλατέεσι κατεσφραγισμένον* C

πλεονεκτεῖν καὶ ἀποσπᾶν τὰ τῆς φιλίας καὶ ἑαυτῷ προσνέμειν, τὴν δὲ φιλίαν ἀεὶ καὶ διὰ παντός, ἀγαθήν τινα οὖσαν καὶ τῆς ἑνότητος ἐπιμελουμένην, τὰ ἀπεσπασμένα τοῦ παντὸς καὶ βεβασανισμένα καὶ κεκολασμένα ἐν τῇ κτίσει ὑπὸ τοῦ δημιουργοῦ ἀνακαλεῖσθαι καὶ προσάγειν καὶ ἓν ποιεῖν. Τοιαύτη τις ἡ κατὰ τὸν Ἐμπεδοκλέα ἡμῖν ἡ τοῦ κόσμου γένεσις καὶ φθορὰ καὶ σύστασις ἐξ ἀγαθοῦ καὶ κακοῦ συνεστῶσα φιλοσοφεῖται. Εἶναι δέ φησι καὶ νοητὴν τρίτην τινὰ δύναμιν, ἣν καὶ ἐκ τούτων ἐπινοεῖσθαι δύνασθαι, λέγων ὧδέ πως· |

εἰ γάρ καὶ ἐν σφαδίνῃσιν ὑπὸ πραπίδεσιν ἐρείσας
εὐμενέως καθαρῇσιν ἐποπτεύεις μελέτῃσιν,
ταῦτα δέ σοι μάλα πάντα δι᾽ αἰῶνος παρέσονται.
Ἄλλα τε πόλλ᾽ ἀπὸ τῶνδε κτ ..... αὐτὰ γὰρ αὔξει
ταῦτ᾽ εἰς ἔθος ἕκαστον, ὅπῃ φύσις ἐστὶν ἑκάστῳ.
Εἰ δὲ σὺ τἄλλ᾽ οἱῶν ἐπιρέξεις οἷα κατ᾽ ἄνδρας
μυρία δῆλα πέλονται τάτ᾽ ἀμβλύνουσι μέριμναι,
σῆς ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο,
σφῶν αὐτῶν ποθέοντα φίλην ἐπὶ γέναν ἱκέσθαι.
Πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ γνωματοσισον.

30. Ἐπειδὰν οὖν Μαρκίων ἢ τῶν ἐκείνου κυνῶν τις ὑλακτῇ κατὰ τοῦ δημιουργοῦ, τοὺς ἐκ τῆς ἀντιπαραθέσεως ἀγαθοῦ καὶ κακοῦ προφέρων λόγους, δεῖ αὐτοῖς λέγειν, ὅτι τούτους οὔτε Παῦλος ὁ ἀπόστολος, οὔτε Μάρκος ὁ κολοβοδάκτυλος ἀνήγγει-

9. ἓν ποιεῖν] ἐμποιεῖν C: ἑνοποιεῖν coni. M 12. καὶ νοητὴν] καινὸν τὴν C ἣν] ἧν C 14. sqq. Hos versus, qui ex solo Hippolyto innotuerunt, ita refingere periclitatus est Schneidewinus *Philolog.* VI, 166.

Εἰ γάρ κέν σφ᾽ ἀδινῇσιν ὑπὸ πραπίδεσσιν ἐρείσας
εὐμενέως καθαρῇσιν ἐποπτεύσῃς μελέτῃσιν,
ταῦτά τε σοι μάλα πάντα δι᾽ αἰῶνος παρέσονται
ἄλλα τε πόλλ᾽ ἀπὸ τῶνδε κατερχόμεν᾽· αὐτὰ γὰρ αὔξει
ταῦτ᾽ εἰς ἦθος ἕκαστον, ὅπῃ φύσις ἐστὶν ἑκάστῳ.
εἰ δὲ σύ γ᾽ ἀλλοίων ἐπορέξεαι, οἷα κατ᾽ ἄνδρας
μυρία δείλ᾽ ἀπάλαμνα, τά τ᾽ ἀμβλύνουσι μερίμνας,
ἰσ᾽ ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο,
σφῶν αὐτῶν ποθέοντα φίλην ἐπὶ γένναν ἱκέσθαι.
πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

Quem universe secutus est Steinius vs. 222 sqq., nisi quod vs. 225. ex emendat. Ritschelii, in quam etiam Meinekius incidit, dedit: τῶν κεκτήσεαι, vs. 228 δειλὰ πέλονται, vs. 229 ζῆν (vel γῆν) ἄφαρ. Alia experti sunt alii, veluti A. Meinekius in *Diar. Antiq. Marburg.*

sunt amicitiae, sibique ipsi arrogare, amicitiam autem semper et perpetuo, cum bona quaedam sit et unitati consulat, ea, quae abstracta sint ab universo et cruciata et punita in creatione a demiurgo, revocare ad se et adducere et unum reddere. Talis quaedam secundum Empedoclem nobis mundi generatio et pernicies et conditio ex bono et malo constans exhibetur. Esse autem ait et tertiam quandam intelligibilem potestatem, quam etiam ex his subintelligi posse, his fere verbis usus:

Nam si ea densis praecordiis substratis
benevole puris observabis meditationibus,
et haec tibi valde multa per aevum praesto erunt,
et alia multa ab hisce orta descendunt; sponte enim augescunt
haec in peculiarem indolem, prouti nata est natura singulorum.
Sin vero tu diversa inter se venaberis, qualia per homines
sexcenta misera obvia sunt, quae obtundunt curas,
profecto te cito deficient vertentibus annis,
suam ipsorum concupiscentia caram ad gentem redire.
Omnia enim scito sensum habere et sortem intellectus.

30. Quando igitur Marcion vel quis ex canibus eius allatrat demiurgum, dum profert ex contrapositione boni et mali rationes, oportet iis dicere, haec neque Paulum apostolum, neque Marcum digitis mutilatum renunciavisse (horum

a. 1852. IV. p. 376. vs. 227 sqq.:

εἰ δὲ σύγ' ἀλλοίων ἐπορέξεαι οἷα κατ' ἄνδρας
μυρία δεινὰ πέλει τά τ' ἀπαμβλύνουσι μέριμναι
ἦ σ' ἄφαρ ἐκλείψουσι,

Roeperus vs. 223. malit *ἐμμενέως,* vs. 228. *πέλοντο*, vs. 231. *γνώματος αἶσαν* coll. Diog. Laërt. III, 16, Bergkius (in censura ed. Steinianae in *Jahnii nov. annalibus philol.* a. 1853. p. 25) vs. 224. *ταῦτα δέ,* vs. 225. *τῶνδε κατόψεαι,* vs. 227. *τ' ἄλλ' οἵων ἐπιδέρκεαι,* vs. 228. *μυρί' ἄδηλ' ἔμπαια,* vs. 229. *ἦ σ' ἄφαρ* ut Meinekius 14. *καὶ ἐν*] *κεν* susp. etiam M *σφαδίνησιν*] *σφαδανῇσιν* coni. M 15. *ἐποπτεύεις*] *ἐποπτεύῃς* susp M 16. *μάλα*] *μᾶλλα* C 17. Leg. *κατέρχεται.* Terminationis vestigia supersunt. M: *κατάσσεται* Schneidewinus *Philol.* X, 364 *αὔξει*] *ἤξει* coni. M 18. *ἔθος*] *ἦθος* coni. etiam M 21. *περιπλομένοις* C 22. Corrig. sive *γένναν* sive *γαῖαν.* M 23. *γνωματοσισον*] *γνώματος ἰσχύν* coni. M. Cf. Sext. Emp. *adv. math.* 8, 286, unde vera scriptura *νώματος αἶσαν* petita est, quam etiam supra p. 240, 30 restituimus 26. *κακοῦ*] *καλοῦ* C M 27. *κολοβοδάκτυλος*] Epi-

λαν, (τούτων γὰρ οὐδὲν ἐν τῷ κατὰ Μάρκον εὐαγγελίῳ γέγραπται), ἀλλὰ Ἐμπεδοκλῆς Μιῶνος Ἀκραγαντῖνος, ὃν συλαγωγῶν μέχρι νῦν λανθάνειν ὑπελάμβανε τὴν διαταγὴν πάσης τῆς κατ᾽ αὐτὸν αἱρέσεως ἀπὸ τῆς Σικελίας εἰς τοὺς εὐαγγελικοὺς λόγους μεταφέρων αὐταῖς λέξεσι. Φέρε γάρ, ὦ Μαρκίων, καθάπερ τὴν ἀντιπαράθεσιν πεποίηκας ἀγαθοῦ καὶ κακοῦ, ἀντιπαραθῶ κἀγὼ σήμερον κατακολουθῶν τοῖς σοῖς, ὡς ὑπολαμβάνεις, δόγμασι. Δημιουργὸν φῂς εἶναι τοῦ κόσμου πονηρόν· εἶτα οὐκ ἐγκαλύπτῃ τοὺς Ἐμπεδοκλέους λόγους τὴν ἐκκλησίαν κατηχῶν; Ἀγαθὸν φῂς εἶναι θεὸν καταλύοντα τὰ τοῦ | δημιουργοῦ ποιήματα· εἶτ᾽ οὐ καταφανῶς τὴν Ἐμπεδοκλέους φιλίαν εὐαγγελίζῃ τοῖς ἀκροωμένοις τὸν ἀγαθόν; Κωλύεις γαμεῖν, τεκνοῦν, ἀπέχεσθαι βρωμάτων, ὧν ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· τοὺς Ἐμπεδοκλέους λανθάνεις διδάσκων καθαρμούς; ἑπόμενος γὰρ ὡς ἀληθῶς κατὰ πάντα τούτῳ τὰ βρώματα παραιτεῖσθαι τοὺς ἑαυτοῦ μαθητὰς διδάσκεις, ἵνα μὴ φάγωσι σῶμά τι λείψανον ψυχῆς ὑπὸ τοῦ δημιουργοῦ κεκολασμένης· λύεις τοὺς ὑπὸ τοῦ θεοῦ συνηρμοσμένους γάμους τοῖς Ἐμπεδοκλέους ἀκολουθῶν δόγμασιν, ἵνα σοι φυλαχθῇ τὸ τῆς φιλίας ἔργον ἓν ἀδιαίρετον. Διαιρεῖ γὰρ ὁ γάμος κατὰ Ἐμπεδοκλέα τὸ ἓν καὶ ποιεῖ πολλά, καθὼς ἀπεδείξαμεν.

31. Ἡ μὲν οὖν πρώτη καὶ καθαριωτάτη Μαρκίωνος αἵρεσις, ἐξ ἀγαθοῦ καὶ κακοῦ τὴν σύστασιν ἔχουσα, Ἐμπεδοκλέους ἡμῖν εἶναι πεφανέρωται· ἐπεὶ δὲ ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις νῦν καινότερόν τι ἐπεχείρησε Μαρκιωνιστής τις Πρέπων Ἀσσύριος, πρὸς Βαρδησιάνην τὸν Ἀρμένιον ἐγγράφως ποιήσας λόγους περὶ τῆς αἱρέσεως, οὐδὲ τοῦτο σιωπήσομαι. Τρίτην φά-

theton a viris doctis infeliciter attrectatum vindicavit J. S. W. in *The Journal of classical and sacred philology. Cambridge. March 1855.* p. 87, allatis his ex praefatione quae dicitur Hieronymi ad Evangelium Marci in Cod. Amiatino: *Denique amputasse sibi post fidem pollicem dicitur, ut sacerdotio reprobus haberetur* cet. Eadem narratio legitur etiam in Codice Arabico, quem Fleischerus descripsit in *Zeitschrift der Deutschen morgenländischen Gesellschaft. Leipzig 1854.* Vol. VIII, p. 586, quod testimonium H. Ewaldo debemus. Videtur autem Hippolytus hac appellatione ideo usus esse, ut simul alluderet ad mutilatum, quo Marcion uteretur, evangelium, quod, cum Lucae esset, Hippolytus prave Marco adscribebat. Idem, cum Paulum Marco consociet, Marcioneum

enim nihil in evangelio Marci scriptum est), sed Empedoclem Metonis Agrigentinum, quem expilans ad hoc usque tempus opinabatur fugere omnes sese dispositionem universae suae haeresis a Sicilia in evangelicas rationes transferre ipsis verbis. Age enim, o Marcion, sicuti contrapositionem instituisti boni et mali, contraponam et ipse hodie, secutus tua, quae opinaris, dogmata. Demiurgum ais mundi esse malum; exinde nonne erubescis Empedoclis doctrinas ecclesiam te docere? Bonum esse ais deum dissolventem demiurgi figmenta; exinde non aperte Empedoclis amicitiam evangelii loco profiteris coram iis, qui auribus accipiunt bonum tuum? Vetas nubere, liberos procreare, abstinere a cibis, quos deus creavit ad percipiendum fidelibus et his qui cognoverunt veritatem; Empedoclis lates lustrationes docens? Secutus enim reapse per omnia hunc cibos recusare doces discipulos tuos, ne vescantur corpore aliquo, quod reliquum sit animae a demiurgo punitae. Solvis a deo consociata matrimonia Empedoclis secutus doctrinam, ut tibi conservetur amicitiae opus unum indiscretum. Discernit enim matrimonium secundum Empedoclem id quod unum est et facit multa, sicut demonstravimus.

31. Ergo primam et maxime germanam Marcionis haeresin, ex bono et malo conflatam, Empedocleam esse nobis declaratum est. Quoniam autem hoc nostro aevo novi aliquid et mirabilius conatus est Marcionista quidam nomine Prepon Assyrius, qui ad Bardesianem Armenium scripto fecit verba de haeresi, ne hoc quidem silebo. Tertium professus princi-

Novi Foederis canonem complectitur universum. 28. *οὐδὲν*] *οὐδὲ* C *κατὰ* om C 29. *Μιῶνος*] Rectius *Μέτωνος*. Cf. Sturzii Empedocl. p. 4. 36. *ἐγκαλύπτῃ*] *ἐγκαταλύπτη* C 38. *εἶτ᾽ οὐ*] *εἶ τοῦ* C: *εἶτα* M *εὐαγγελήζη* C 39—41. Cf. 1 Timoth. 4, 3: *κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ* (sic pr C, *ὧν* corr C) *ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσιν τὴν ἀλήθειαν κ. τ. λ.* 45. *κεκολασμένης*] *καὶ κολασμένης* C 52. *Ἐπεὶ δὲ*] *Ἔπὶ δὲ* C 53. *καινότερόν*] *κενώτερόν* C *Μαρκιωνιστής τις*] *Μαρκίων, νῆστίς τις* C M, qui pro *Μαρκίων* legendum esse censet: *Μαρκίωνος* 53. 54. *Ἀσσύριος*] *ἀσύριος* C 54. Prima littera nominis *Βαρδ.* exesa. M *ποιήσας*] R. Scottus: *ποιήσασθαι* C M. Latetne in *θαι* numerus librorum, veluti $\overline{\vartheta}$?

σκων δίκαιον εἶναι ἀρχὴν καὶ μέσην ἀγαθοῦ καὶ κακοῦ τεταγμένην, οὐδ᾽ οὕτως δὴ ὁ Πρέπων τὰς Ἐμπεδοκλέους διαφυγεῖν ἴσχυσε δόξας. Κόσμον γάρ φησιν εἶναι ὁ Ἐμπεδοκλῆς τὸν ὑπὸ τοῦ νείκους διοικούμενον τοῦ πονηροῦ, καὶ ἕτερον νοητὸν τὸν ὑπὸ τῆς φιλίας, καὶ εἶναι ταύτας τὰς διαφερούσας ἀρχὰς δύο ἀγαθοῦ καὶ κακοῦ, μέσον δὲ εἶναι τῶν διαφόρων ἀρχῶν δίκαιον λόγον, καθ᾽ ὃν συγκρίνεται τὰ διῃρημένα ὑπὸ τοῦ νείκους καὶ προσαρμόζεται κατὰ τὴν φιλίαν τῷ ἑνί. Τοῦτον δὲ αὐτὸν | τὸν δίκαιον λόγον τὸν τῇ φιλίᾳ συναγωνιζόμενον Μοῦσαν ὁ Ἐμπεδοκλῆς προσαγορεύων, καὶ αὐτὸς αὐτῷ συναγωνίζεσθαι παρακαλεῖ, λέγων ὧδέ πως·

εἰκάραι φημερίων ἕνεκεν τινός, ἄμβροτε Μοῦσα,
ἡμετέρας μελέτας διὰ φροντίδος ἐλθεῖν
εὐχομένων, νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακαρίων ἀγαθὸν λόγον ἐμφαίνοντι.

Τούτοις κατακολουθῶν Μαρκίων τὴν γένεσιν τοῦ σωτῆρος ἡμῶν παντάπασι παρῃτήσατο, ἄτοπον εἶναι νομίζων ὑπὸ τὸ πλάσμα τοῦ ὀλεθρίου τούτου νείκους γεγονέναι τὸν λόγον τὸν τῇ φιλίᾳ συναγωνιζόμενον, τουτέστι τῷ ἀγαθῷ, ἀλλὰ χωρὶς γενέσεως ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος κατεληλυθότα αὐτὸν ἄνωθεν, μέσον ὄντα κακοῦ καὶ ἀγαθοῦ, διδάσκειν ἐν ταῖς συναγωγαῖς. Εἰ γὰρ μέσος τίς ἐστιν, ἀπήλλακται, φησί, πάσης τῆς τοῦ κακοῦ φύσεως· κακὸς δ᾽ ἐστίν, ὡς λέγει, ὁ δημιουργὸς καὶ τούτου τὰ ποιήματα. Διὰ τοῦτο ἀγέννητος κατῆλθεν ὁ Ἰησοῦς, φησίν, ἵνα ᾖ πάσης ἀπηλλαγμένος κακίας. Ἀπήλλακται δέ, φησί, καὶ τῆς τοῦ ἀγαθοῦ φύσεως, ἵνα ᾖ μέσος τις, ὥς φησιν ὁ Παῦλος, καὶ ὡς αὐτὸς ὁμολογεῖ· Τί με λέ-

57. *οὕτως*] *οὗτος* C M *δὴ*] *δὲ* C 57. 58. *τὰς Ἐμπεδοκλέους — δόξας*] *τῆς Ἐμπεδοκλέους — δόξης* C M 64. *συναγονιζόμενον* C 65. *αὐτῷ* C 67—70. Hos versus, quos ex Hippolyto demum cognovimus, Schneidewinus ita redintegravit *l. l.* p. 167:

Εἰ γὰρ ἐφημερίων ἕνεκέν τί σοι, ἄμβροτε Μοῦσα,
ἡμετέρης ἔμελεν μελέτας διὰ φροντίδος ἐλθεῖν,
εὐχομένῳ νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων καθαρὸν λόγον ἀμφαίνοντι.

Ab his Steinius, cui sunt versus 338—341, ita discessit, ut versu ultimo *ἐμφαίνοντι* servaret; Bergkius tamen l. l. p. 26. negans posse ista ferri, quanquam certo restitui locum non posse confessus, haec excogitavit:

pium id quod iustum est et in medio inter bonum et malum positum, ne sic quidem Prepon valuit Empedoclis doctrinas effugere. Mundum enim ait esse Empedocles eum, qui a discordia mala gubernetur, et alterum intelligibilem, qui ab amicitia, et esse haec diversa principia duo boni et mali, mediam autem esse diversorum principiorum iustam rationem, qua colligantur discreta a discordia et adiungantur per amicitiam uni. Hanc ipsam iustam rationem, quae auxilietur amicitiae, Musam Empedocles appellans et ipse sibi auxilio advocat in hunc fere modum:

Si enim circa mortales res, immortalis Musa,
cordi tibi fuit meditationes in nostram mentem venire:
precanti nunc rursus adesto, Calliopea,
circa deos beatos integram doctrinam aperienti.

Haec secutus Marcion generationem salvatoris nostri prorsus respuit, absonum esse arbitratus sub figmentum perniciosae huius discordiae venisse rationem, quae auxilietur amicitiae, hoc est bono; sed seorsum a generatione anno decimo quinto imperii Tiberii Caesaris delapsum eum superne, intermedium inter bonum et malum, docuisse in synagogis. Si enim medius quidam est, remotus est, inquit, ab omni natura mali; malus autem est, sicuti ait, demiurgus huiusque opera. Propterea, inquit, non-generatus descendit Iesus, ut esset ab omni remotus malitia. Remotus autem est, inquit, etiam a boni natura, ut sit medius quidam, ut ait Paulus, et ut ipse confitetur: *Quid me dicitis bonum? unus est bonus.* Haec quidem

εἰ γὰρ ἐφημερίων ἕνεκεν τινός, ἄμβροτε Μοῦσα,
ἡμετέρας μελέτας ἀδινῆς (s. *καθαρῆς*) *διὰ φροντίδος ἐλθεῖν*
(*εὐμενέως . . . . . τὸ πάρος ποτ᾽ ἔδωκας*)
εὐχομένῳ· νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.

67. *εἰ γὰρ ἐφημερίων ἔμελεν,* sc. *σοι* coni. M 70. *μακάρων* M 71—85. Recensuit haec verba Bunsenius in *Analect. Ante-Nicaen.* Vol. I, 99. 73. *τούτου*] *τὰ τοῦ* C 74—78. Cf. cum his initium evangelii Marcionitici 74. *συναγονιζόμενον* C 75. *ἔτει πεντεκαιδεκάτῳ*] *ἔτη πέντε καὶ δεκάτω* C *Τιβερίου*] *τηβερίου* C 77. *μέσος τις*] *μεσότης* C M: *μεσίτης* Bunsenius coll. Galat. 3, 19. 79. *ἀγένητος* C M 81. 82. *ἤ μέσος τις*] *ἡ μεσότης* C: *ἤ μεσότης* M: *ἤ μεσίτης* Roeperus et Bunsenius 82. 83. Cf. Luc. 18, 19. Marc. 10, 18 *Τί με λέγεις*

γετε ἀγαθόν; εἷς ἐστὶν ἀγαθός. Ταῦτα μὲν οὖν τὰ Μαρκίωνι δόξαντα, δι᾽ ὧν ἐπλάνησε πολλοὺς τοῖς Ἐμπεδοκλέους λόγοις χρησάμενος, καὶ τὴν ὑπ᾽ ἐκείνου ἐφηυρημένην φιλοσοφίαν ἰδίᾳ δόξῃ μετάγων αἵρεσιν ἄθεον συνεστήσατο, ἣν ἱκανῶς ἠλέγχθαι ὑφ᾽ ἡμῶν νομίζω μηθέν τε κατα|λελεῖφθαι, ὧν κλεψιλογήσαντες παρ᾽ Ἑλλήνων τοὺς Χριστοῦ μαθητὰς ἐπηρεάζουσιν, ὡς τούτων αὐτοῖς γενομένους διδασκάλους. Ἀλλ᾽ ἐπεὶ καὶ τὰ τούτου ἱκανῶς ἡμῖν δοκεῖ ἐκτεθεῖσθαι, ἴδωμεν τί λέγει καὶ Καρποκράτης.

32. *Καρποκράτης τὸν μὲν κόσμον καὶ τὰ ἐν αὐτῷ ὑπὸ ἀγγέλων πολὺ ὑποβεβηκότων τοῦ ἀγενήτου πατρὸς γεγενῆσθαι λέγει, τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγεννῆσθαι, καὶ ὅμοιον τοῖς ἀνθρώποις γεγονότα δικαιότερον τῶν λοιπῶν γενέσθαι, τὴν δὲ ψυχὴν αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγονυῖαν διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγενήτου θεοῦ περιφορᾷ, καὶ διὰ τοῦτο ὑπ᾽ ἐκείνου αὐτῇ καταπεμφθῆναι δύναμιν, ὅπως τοὺς κοσμοποιοὺς ἐκφυγεῖν δι᾽ αὐτῆς δυνηθῇ· ἣν καὶ διὰ πάν-*

Epiphan. *Haer.* XXVII, 2. *Οὗτος δὲ πάλιν ἄνω μὲν μίαν ἀρχὴν λέγει καὶ πατέρα τῶν ὅλων καὶ ἄγνωστον καὶ ἀκατονόμαστον, ἴσα τοῖς ἄλλοις εἰσάγειν βουλόμενος. Τὸν δὲ κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ὑπὸ ἀγγέλων γεγενῆσθαι, τῶν πολύ τι ὑπὸ τοῦ πατρὸς τοῦ ἀγνώστου ὑποβεβηκότων· τούτους γὰρ λέγει ἀποστάντας ἀπὸ τῆς ἄνω δυνάμεως οὕτω τὸν κόσμον πεποιηκέναι. Ἰησοῦν δὲ τὸν κύριον ἡμῶν ἀπὸ Ἰωσὴφ λέγει γεγεννῆσθαι, καθάπερ καὶ πάντες ἄνθρωποι ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς ἐγεννήθησαν, εἶναι δὲ αὐτὸν ὅμοιον τοῖς πᾶσι, βίῳ δὲ διενηνοχέναι σωφροσύνῃ τε καὶ ἀρετῇ καὶ βίῳ δικαιοσύνης. Ἐπειδὴ δέ, φησίν, εὔτονον ἔσχε ψυχὴν παρὰ τοὺς ἄλλους ἀνθρώπους καὶ ἐμνημόνευε τὰ ὁραθέντα ὑπ᾽ αὐτῆς ἄνω, ὅτε ἦν ἐν τῇ περιφορᾷ τοῦ ἀγνώστου πατρός, ἀπεστάλθαι ὑπὸ τοῦ αὐτοῦ πατρός, φησίν, εἰς τὴν αὐτοῦ ψυχὴν δυνάμεις, ὅπως τὰ ὁραθέντα αὐτῇ ἀναμνημονεύσασα καὶ ἐνδυναμωθεῖσα φύγῃ τοὺς κοσμοποιοὺς ἀγγέλους ἐν τῷ διὰ πάντων χωρῆσαι τῶν ἐν τῷ κόσμῳ πραγμά-*

ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. Matth. 19, 17: *Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστὶν ὁ ἀγαθός.* Cf. Angerum in *Synopsis Evv. Matthaei Marci Lucae, Lipsiae MDCCCLII* 83. *εἷς*] *εἰ* C 87. *ἠλέγχθαι*] *ἤλεγχεν* C 91. *καὶ Καρποκράτης*] *Καρποκράτης* C M

sunt quae Marcioni placuerunt, per quae in errorem duxit multos usus Empedoclis decretis, et ab illo inventam philosophiam ad suam opinionem traducens impiam haeresin constituit, quam nobis videmur satis coarguisse nec quidquam reliqui fecisse eorum, quae Graecis suffurati Christi discipulos diffamant, quasi horum ipsis extiterint magistri. Sed quoniam huius quoque doctrinam satis videmur nobis exposuisse, videamus quid et Carpocrates dicat.

32. Carpocrates mundum et quae sunt in eo ab angelis multo inferioribus non-generato patre fabricatum esse dicit, Iesum autem ex Iosepho genitum esse, et consimilis cum esset hominibus, iustiorem reliquis extitisse, animam autem eius, firma et pura cum nata fuerit, recordatam esse ea, quae viderit in circumlatione cum non-generato deo, propterea que ab illo ipsi demissam esse potestatem, ut per eum mundi fabros illos effugere valeret: quam et per omnia transgressam in omni-

---

Iren. *c. haer.* I, 25, 1. Carpocrates autem et qui ab eo mundum quidem et ea quae in eo sunt ab angelis multo inferioribus ingenito patre factum esse dicunt. Iesum autem e Ioseph natum, et cum similis reliquis hominibus fuerit, distasse a reliquis secundum id, quod anima eius, firma et munda cum esset, commemorata fuerit, quae visa essent sibi in ea circumlatione, quae fuisset ingenito deo, et propter hoc ab eo missam esse ei virtutem, uti mundi fabricatores effugere posset, et per omnes transgressa et in omnibus liberata

---

92. sqq. Quae sequuntur Hippolytus ex Irenaeo hausit, cuius ipsa verba cum deperdita sint, et veterem Irenaei versionem et quae Latinis Irenaei verbis Graeca apud Epiphanium fere respondent, textui supposuimus. Cf. etiam cum his Theodoret. *haer. fab.* 1, 5. 94. *γεγενῆσθαι* CM 98. *αὐτῇ*] *αὐτῷ* M, qui in C ultimam litteram exesam testatur

των χωρήσασαν ἐν πᾶσί τε ἐλευθερωθεῖσαν ἀνεληλυθέναι πρὸς αὐτόν, [καὶ ὁμοίως τὴν] τὰ ὅμοια αὐτῇ ἀσπαζομένην. Τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψυχὴν ἐννόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις εἰληφέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσεσι πάθη προσόντα τοῖς ἀνθρώποις. Τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψυχῇ δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια. Διὸ καὶ εἰς τοῦτο τὸ τῦφος κατεληλύθασιν, ὥστε τοὺς μὲν ὁμοίους αὐτῷ εἶναι λέγουσι τῷ Ἰησοῦ, τοὺς δὲ καὶ ἔτι κατά τι δυνατωτέρους τινάς, ὄντας δὲ καὶ διαφορωτέρους τῶν ἐκείνου μαθητῶν, οἷον Πέτρου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων, τούτους δὲ κατὰ μηδὲν ἀπολείπεσθαι

των καὶ πράξεων τῶν ὑπὸ τῶν ἀνθρώπων γινομένων καὶ ἐν παραβύστῳ ἀτόπων ἔργων καὶ ἀθεμίτων, καὶ ὅπως διὰ πασῶν τῶν πράξεων ἐλευθερωθεῖσα ἡ αὐτὴ ψυχή, φησί, τοῦ Ἰησοῦ ἀνέλθῃ πρὸς τὸν αὐτὸν πατέρα τὸν ἄγνωστον, τὸν δυνάμεις αὐτῇ ἀποστείλαντα ἄνωθεν, ἵνα πασῶν τῶν πράξεων χωρήσασα καὶ ἐλευθερωθεῖσα διέλθοι πρὸς αὐτὸν ἄνω. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ὁμοίας αὐτῇ ψυχάς, τὰ ἴσα αὐτῇ ἀσπασαμένας, τὸν αὐτὸν τρόπον ἐλευθερωθείσας ἄνω πτῆναι πρὸς τὸν ἄγνωστον πατέρα ἐν τῷ τὰς πάσας πράξεις πραξάσας ὁμοίως τῶν πάντων ἀπαλλαγείσας λοιπὸν ἐλευθερωθῆναι. Τὴν δὲ ψυχὴν τοῦ Ἰησοῦ ἐν τοῖς τῶν Ἰουδαίων ἔθεσιν ἀνατραφεῖσαν καταφρονῆσαι αὐτῶν καὶ διὰ τοῦτο δυνάμεις εἰληφέναι, δι' ὧν τὰ ἐπὶ κολάσεσι πάθη προσόντα τοῖς ἀνθρώποις δυνηθεὶς πρᾶξαι ὑπερβῆναι τοὺς κοσμοποιοὺς ἴσχυσεν. Οὐ μόνον δὲ αὐτὴν τὴν ψυχὴν τοῦ Ἰησοῦ τοῦτο δεδυνῆσθαι, ἀλλὰ καὶ τὴν δυναμένην διὰ τῶν πράξεων χωρήσασαν ὑπερβῆναι τοὺς κοσμοποιοὺς αὐτοὺς ἀγγέλους, καὶ αὐτή, ἐὰν λάβῃ δυνάμεις, καὶ τὰ ὅμοια πράξῃ καθάπερ τοῦ Ἰησοῦ, ὡς προεῖπον. Ὅθεν εἰς τῦφον οὗτοι ἐληλακότες μέγαν οἱ ὑπὸ τοῦ ἀπατεῶνος τούτου ἀπατηθέντες ἑαυτοὺς προκριτέους ἡγοῦνται καὶ αὐτοῦ τοῦ Ἰησοῦ· ἄλλοι δὲ ἐξ αὐτῶν οὐκ Ἰησοῦ φασιν ἀλλὰ Πέτρου καὶ Ἀνδρέου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων ἑαυτοὺς ὑπερφερεστέρους εἶναι διὰ τὴν

---

1. ἐλευθερωθεῖσαν ἀνεληλυθέναι] ἐλευθερωθεῖσαν ἐληλυθέναι C M 2. καὶ ὁμοίως τὴν τὰ ὅμοια αὐτῇ] τὰ ὅμοια αὐτῆς C M 4. εἰληφέναι] ἐπιτετελεκέναι C M 5. κολάσεσι] κολάσει C M 9. τοὺς] αὐ-

busque liberatam rursus ascendisse ad eum, pariterque eam animam, quae paria ipsi amplecteretur. Iesu autem animam dicunt ex lege exercitatam in Iudaicis institutis despexisse illa, et propter hoc potestates accepisse, per quas destruxerit passiones, quae ad puniendos homines comparatae sint. Eam igitur animam, quae similiter atque Christi anima possit despicere mundifabros archontes, similiter accipere potestatem ad efficienda similia. Quare etiam eo superbiae devenerunt, ut alios pares ipsi esse Iesu dicant, alios autem vel etiam ab aliqua parte potentiores quosdam, quique etiam praestantiores sint illius discipulis, veluti Petro et Paulo et reliquis apostolis, hos autem a nulla parte inferiores esse Iesu. Animas autem

---

ascenderet ad eum, et eas, quae similiter ei amplecterentur, similiter. Iesu autem dicunt animam in Iudaeorum consuetudine nutritam contempsisse eos et propter hoc virtutes accepisse, per quas evacuavit quae fuerunt in poenis passiones, quae inerant hominibus.

2. Eam igitur, quae similiter atque illa Iesu anima potest contemnere mundi fabricatores archontas, similiter accipere virtutes ad operandum similia. Quapropter et ad tantum elationis provecti sunt, ut quidam quidem similes sese dicant Iesu, quidam autem adhuc et secundum aliquid illo fortiores, qui sunt distantes amplius quam illius discipuli, ut puta quam Petrus et Paulus et reliqui apostoli, hos autem in nullo de-

---

τοὺς C M   ὁμοίους] ὁμοίως C   10. καὶ ἔτι κατά τι] καὶ ἔτι C M   δυνατωτέρους τινάς, ὄντας δὲ] δυνατωτέρους, τινὰς δὲ C M   12. μηδὲν] μηδένα C M

τοῦ Ἰησοῦ. Τὰς δὲ ψυχὰς αὐτῶν ἐκ τῆς ὑπερκειμένης ἐξουσίας παρούσας, καὶ διὰ τοῦτο ὡσαύτως καταφρονούσας τῶν κοσμοποιῶν, | τῆς αὐτῆς ἠξιῶσθαι δυνάμεως καὶ αὖθις εἰς τὸ αὐτὸ χωρῆσαι· εἰ δέ τις ἐκείνου πλέον καταφρονήσειεν τῶν ἐνταῦθα, δύνασθαι διαφορώτερον αὐτοῦ ὑπάρχειν. Τέχνας οὖν μαγικὰς ἐξεργάζονται καὶ ἐπαοιδάς, φίλτρα τε καὶ χαριτήσια, παρέδρους τε καὶ ὀνειροπόμπους καὶ τὰ λοιπὰ κακουργήματα, φάσκοντες ἐξουσίαν ἔχειν πρὸς τὸ κυριεύειν ἤδη τῶν ἀρχόντων καὶ ποιητῶν τοῦδε τοῦ κόσμου, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν αὐτῷ ποιημάτων ἁπάντων· οἵτινες καὶ αὐτοὶ εἰς διαβολὴν τοῦ θείου τῆς ἐκκλησίας ὀνόματος πρὸς τὰ ἔθνη ὑπὸ τοῦ σατανᾶ προεβλήθησαν, ἵνα κατ' ἄλλον καὶ ἄλλον τρόπον τὰ ἐκείνων ἀκούοντες ἄνθρωποι, καὶ δοκοῦντες ἡμᾶς πάντας τοιούτους ὑπάρχειν ἀποστρέφωσι τὰς ἀκοὰς αὐτῶν ἀπὸ τοῦ τῆς ἀληθείας κηρύγματος, ἢ καὶ βλέποντες τὰ ἐκείνων ἅπαντας ἡμᾶς βλασφημῶσιν. Εἰς τοσοῦτον δὲ μετενσωματοῦσθαι φάσκουσι τὰς ψυχάς, ὅσον πάντα τὰ ἁμαρτήματα πληρώσωσιν· ὅταν δὲ μηδὲν λείπῃ, τότε ἐλευθερωθεῖσαν ἀπαλλαγῆναι πρὸς ἐκεῖνον τὸν ὑπεράνω τῶν κοσμοποιῶν ἀγγέλων θεόν, καὶ οὕτως σωθήσεσθαι πάσας τὰς ψυχάς. Τινὲς δὲ φθάσασαι ἐν μιᾷ παρουσίᾳ ἀναμιγῆναι πά-

---

ὑπερβολὴν τῆς γνώσεως καὶ τὸ περισσότερον τῆς διαπράξεως διαφόρων διεξόδων· ἄλλοι δὲ ἐξ αὐτῶν φάσκουσι μηδὲν διενηνοχέναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αἱ γὰρ ψυχαὶ ἐκ τῆς αὐτῆς περιφορᾶς εἰσι καὶ ὁμοίως κατὰ τὴν τοῦ Ἰησοῦ πάντων καταφρόνησιν ποιησάμεναι. Καὶ αἱ πᾶσαι, φασί, ψυχαὶ τῆς αὐτῆς δυνάμεως ἠξιώθησαν, ἧς καὶ τοῦ Ἰησοῦ ἠξίωται· διὸ καὶ ταύτάς φασι χωρεῖν διὰ πάσης πράξεως, καθάπερ ἀμέλει καὶ ἡ τοῦ Ἰησοῦ διελήλυθεν. Εἰ δὲ καί τις πάλιν δυνηθείη ὑπὲρ τὸν Ἰησοῦν καταφρονῆσαι, διαφορώτερος ἔσται αὐτοῦ.

---

3. Artes enim magicas operantur et ipsi et incantationes, phillra quoque et charitesia et paredros et oniropompos et reliquas malignationes, dicentes se potestatem habere ad dominandum iam principibus et fabricatoribus huius mundi; non solum autem, sed et his omnibus, quae in eo sunt facta. Qui et ipsi ad detractionem divini ecclesiae nominis, quemadmodum et gentes a Satana praemissi sunt, uti secundum alium

---

14. *καταφρονούσας*] *καταφρονεῖν* C M 14. 15. *κοσμοποιῶν*] *κοσμοποιῶν διὰ* C: *κοσμοποιῶν διὰ τὸ* M 18. *ἐξεργάζονται*] *ἐξερ-*

eorum ex superiacente potestate ortas, et ideo aeque despicientes mundi fabros, dignas habitas esse eadem potestate et rursus in idem transire. Si quis autem magis quam ille despiceret res terrenas, posse eum praestantiorem evadere quam illum. Artes igitur magicas usurpant et incantationes philtraque et charitesia paredrosque et somniorum auctores reliquaque maleficia, profitentes sese potestatem habere, qua iam superiores evadant dominantibus et conditoribus huius mundi, immo vero vel operibus in eo universis: cum quidem et ipsi ad diffamationem divini ecclesiae nominis coram gentibus a Satana progeniti sint, ut homines in hunc atque illum modum praecepta illorum audientes, ratique nos omnes tales esse, avertant aures suas a praeconio veritatis, vel etiam intuentes quae sunt illorum omnibus nobis maledicant. In tantum autem aiunt migrare in corpora animas, donec omnia peccata impleant; ubi autem nihil reliqui sit, tunc liberatam (*sc.* animam) abscedere ad illum, qui mundi fabris angelis superior sedeat, deum,

---

minorari a Iesu. Animas enim ipsorum ex eadem circumlatione devenientes, et ideo similiter contemnentes mundi fabricatores, eadem dignas habitas esse virtute, et rursus in idem abire. Si quis autem plus quam ille contempserit ea, quae sunt hic, posse meliorem quam illum esse.

---

et alium modum quae sunt illorum audientes homines, et putantes omnes nos tales esse, avertant aures suas a praeconio veritatis, aut et videntes, quae sunt illorum, omnes nos blasphement in nullo eis communicantes cet.

§. 4. Et id quod ait: *Non exies inde, quoadusque novissimum quadrantem reddas*, interpretantur, quasi non exeat quis a potestate angelorum eorum qui mundum fa-

---

γαζόμενον C: *ἐξεργαζόμενοι* M *χαρητήσια* C 27. *ἢ καὶ*] om C M *ἅπαντας* Sauppius: *ἅπαντα* C M *βλασφημοῦσιν* C 28—38. Irenaei versionem veterem textui supposuimus. Cf. cum his etiam Epiphanium 28. *ὅσον*] *ἕως ἂν* susp. Sauppius 30. *ἐλευθερωθείσας* susp. M 32. *Τινὲς*] *Εἴ τινες* C M *ἀναμιγῆναι*] *ἀνεμίγησαν* Bunsenius in *Hippolytus and his age. London 1854.* p. 372.

σαις ἁμαρτίαις οὐκέτι μετενσωματοῦνται, ἀλλὰ πάντα ὁμοῦ ἀποδοῦσαι τὰ ὀφλήματα ἐλευθερωθήσονται τοῦ μηκέτι γενέσθαι ἐν σώματι. Τούτων τινὲς καὶ καυτηριάζουσι τοὺς ἰδίους μαθητὰς ἐν τοῖς ὀπίσω μέρεσι τοῦ λοβοῦ τοῦ δεξιοῦ ὠτός. Καὶ εἰκόνας δὲ κατασκευάζουσι τοῦ Χριστοῦ λέγοντες ὑπὸ Πιλάτου τῷ καιρῷ ἐκείνῳ γενέσθαι.

33. *Κήρινθος δέ τις, αὐτὸς Αἰγυπτίων παιδείᾳ ἀσκηθείς, ἔλεγεν οὐχ ὑπὸ τοῦ πρώτου θεοῦ γεγονέναι τὸν κόσμον,* | *ἀλλ' ὑπὸ δυνάμεώς τινος κεχωρισμένης τῆς ὑπὲρ τὰ ὅλα ἐξουσίας καὶ ἀγνοούσης τὸν ὑπὲρ πάντα θεόν. Τὸν δὲ Ἰησοῦν ὑπέθετο μὴ ἐκ παρθένου γεγενῆσθαι, γεγονέναι δὲ αὐτὸν ἐξ Ἰωσὴφ καὶ Μαρίας υἱὸν ὁμοίως τοῖς λοιποῖς ἅπασιν ἀνθρώποις, καὶ δικαιότερον γεγονέναι καὶ σοφώτερον. Καὶ μετὰ τὸ βάπτισμα κατελθεῖν εἰς αὐτὸν ἐκ τῆς ὑπὲρ τὰ ὅλα αὐθεντίας τὸν Χριστὸν ἐν εἴδει περιστερᾶς, καὶ τότε κηρῦξαι τὸν ἄγνωστον πατέρα, καὶ δυνάμεις ἐπιτελέσαι, πρὸς δὲ τῷ τέλει ἀποπτῆναι τὸν Χριστὸν ἀπὸ τοῦ Ἰησοῦ, καὶ τὸν Ἰησοῦν πεπονθέναι καὶ ἐγηγέρθαι, τὸν δὲ Χριστὸν ἀπαθῆ διαμεμενηκέναι πνευματικὸν ὑπάρχοντα.*

---

bricaverunt; sic (*al.* sed sit) transcorporatum semper, quoadusque in omni omnino operatione, quae in mundo est, fiat, et cum nihil defuerit ei, tum liberatam eius animam elevari (*al.* eliberari) ad illum deum, qui est supra angelos mundi fabricatores. Sic quoque salvari et omnes animas, sive ipsae praeoccupantes in uno adventu in omnibus misceantur operationibus, sive de corpore in corpus transmigrantes, vel immissae in unaquaque specie vitae adimplentes et reddentes debita liberari, uti iam non faciant (*al.* fiant) in corpore.

§. 6. Alii vero ex ipsis signant cauteriantes suos discipulos in posterioribus partibus extantiae dextrae auris ..... Gnosticos se autem vocant, et imagines quasdam quidem depictas, quasdam autem et de reliqua materia fabricatas habent, dicentes formam Christi factam a Pilato illo in tempore, quo fuit Iesus cum hominibus.

---

39. sqq. Haec quoque Hippolytus ex Irenaeo transtulit, cuius veterem versionem exscripsimus. Cf. etiam Theodoret. *haer. fab.* 2, 3, et infra l. X, c. 21. p. 327. sq. ed. Ox. 39. *αὐτὸς*] *καὶ αὐτὸς* M et Bunsenius l. l. p. 373. 40. *θεοῦ*] om C M 44. *υἱὸν*] *οἷον*

et in hunc modum omnes salvatum iri animas. Quaedam autem, praevertentes in una praesentia repleri omnibus peccatis, non iam transcorporantur, sed omnia simul reddentes debita liberabuntur, ut iam non in corpora transeant. Horum quidam etiam inurunt discipulos suos in posteriore parte dextrae auriculae. Et imagines etiam conficiunt Christi, dicentes a Pilato illo tempore factas esse.

33. Cerinthus autem quidam, ipse Aegyptiorum disciplina excultus, dicebat non a primo deo factum esse mundum, sed a virtute quadam, quae separata sit ab ea potestate, quae sit super omnia, ignoretque deum, qui sit super omnia. Iesum autem statuit non ex virgine natum esse, natum autem esse eum ex Iosepho et Maria filium consimiliter reliquis hominibus omnibus, iustioremque extitisse et sapientiorem. Et post baptismum devenisse in eum ab ea principalitate, quae est super omnia, Christum in figura columbae, et tum nunciavisse incognitum patrem et virtutes perfecisse, sub finem autem avolasse Christum a Iesu, Iesumque passum esse et resurrexisse, Christum autem a patiendo liberum permansisse, cum esset spiritualis.

Iren. *c. haer.* I, 26, 1. Et Cerinthus autem quidam in Asia non a primo deo factum esse mundum docuit, sed a virtute quadam valde separata et distante ab ea principalitate, quae est super universa, et ignorante eum, qui est super omnia deum. Iesum autem subiecit non ex virgine natum (impossibile enim hoc ei visum est), fuisse autem eum Ioseph et Mariae filium, similiter ut reliqui omnes homines, et plus potuisse iustitia et prudentia et sapientia ab hominibus. Et post baptismum descendisse in eum ab ea principalitate, quae est super omnia, Christum figura columbae, et hunc annunciasse incognitum patrem et virtutes perfecisse, in fine autem revolasse iterum Christum de Iesu, et Iesum passum esse et resurrexisse, Christum autem impassibilem perseverasse existentem spiritualem.

C M 46. *ἐκ*] *τὸν* C M: *τὸν ἐκ* R. Scottus 47. *ἄγνωστον*] *γνωστὸν* C M 48. *ἀποπτῆναι*] *ἀποστῆσαι* C M 49. *Ἰησοῦ*] *Χριστοῦ* C M 50. *πνευματικὸν*] *πατρικὸν* C M

34. *Ἐβιωναῖοι δὲ ὁμολογοῦσι μὲν τὸν κόσμον ὑπὸ τοῦ ὄντως θεοῦ γεγονέναι, τὰ δὲ περὶ τὸν Χριστὸν ὁμοίως τῷ Κηρίνθῳ καὶ Καρποκράτει μυθεύουσιν. Ἔθεσιν Ἰουδαϊκοῖς ζῶσι, κατὰ νόμον φάσκοντες δικαιοῦσθαι, καὶ τὸν Ἰησοῦν λέγοντες δεδικαιῶσθαι ποιήσαντα τὸν νόμον· διὸ καὶ Χριστὸν αὐτὸν τοῦ θεοῦ ὠνομάσθαι, καὶ Ἰησοῦν, ἐπεὶ μηδεὶς τῶν [ἑτέρων] ἐτέλεσε τὸν νόμον· εἰ γὰρ καὶ ἕτερός τις πεποιήκει τὰ ἐν νόμῳ προςτεταγμένα, ἦν ἂν ἐκεῖνος ὁ Χριστός. Δύνασθαι δὲ καὶ ἑαυτοὺς ὁμοίως ποιήσαντας Χριστοὺς γενέσθαι· καὶ γὰρ καὶ αὐτὸν ὁμοίως ἄνθρωπον εἶναι πᾶσι λέγουσιν.*

35. *Θεόδοτος δέ τις ὢν Βυζάντιος εἰσήγαγεν αἵρεσιν καινήν, φάσκων τὰ περὶ μὲν τῆς τοῦ παντὸς ἀρχῆς σύμφωνα ἐκ μέρους τοῖς τῆς ἀληθοῦς ἐκκλησίας, ὑπὸ τοῦ θεοῦ πάντα ὁμολογῶν γεγονέναι, τὸν δὲ Χριστὸν ἐκ τῆς τῶν γνωστικῶν καὶ Κηρίνθου καὶ Ἐβίωνος σχολῆς ἀποσπάσας φάσκει τοιούτῳ τινὶ τρόπῳ πεφηνέναι· καὶ | τὸν μὲν Ἰησοῦν εἶναι ἄνθρωπον ἐκ παρθένου γεγενημένον κατὰ βουλὴν τοῦ πατρός, βιώσαντα δὲ κοινῶς πᾶσιν ἀνθρώποις καὶ εὐσεβέστατον γεγονότα ὕστερον ἐπὶ τοῦ βαπτίσματος ἐπὶ τῷ Ἰορδάνῃ κεχωρηκέναι τὸν Χριστὸν ἄνωθεν κατεληλυθότα ἐν εἴδει περιστερᾶς, ὅθεν οὐ πρότερον τὰς δυνάμεις ἐν αὐτῷ ἐνηργηκέναι, ἢ ὅτε κατελθὸν ἀνεδείχθη ἐν αὐτῷ τὸ πνεῦμα, ὃ εἶναι τὸν Χριστὸν προσαγορεύει. Θεὸν δὲ οὐδέποτε τοῦτον γεγονέναι οὗτοι θέλουσιν ἐπὶ τῇ καθόδῳ τοῦ πνεύματος, ἕτεροι δὲ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν.*

36. *Διαφόρων δὲ γενομένων ἐν αὐτοῖς ζητήσεων ἐπεχείρησέ τις καὶ αὐτὸς Θεόδοτος καλούμενος, τραπεζίτης τὴν τέχνην, λέγειν δύναμίν τινὰ τὸν Μελχισεδὲκ εἶναι μεγίστην, καὶ τοῦτον εἶναι μείζονα τοῦ Χριστοῦ, οὗ κατ᾽ εἰκόνα φάσκουσι τὸν Χριστὸν τυγχάνειν, καὶ αὐτοὶ ὁμοίως τοῖς προειρημένοις Θεοδοτια-*

---

2. Qui autem dicuntur Ebionaei, consentiunt quidem mundum a deo factum, ea autem, quae sunt erga dominum,

---

52. sqq. Cf. Irenaeum, cuius veterem versionem textui supposuimus 52. *μὲν* om C M 55. *δικαιοῦσθε* C 56. *δεδικαιῶσθαι*] *δὲ δικαιῶσθαι* C 56. 57. *Χριστὸν τὸν τοῦ θεοῦ ὠνομάσθαι Ἰησοῦν* Bunsenius 57. *τῶν ἑτέρων*] *τῶν* C: *αὐτῶν* M: *τῶν ἄλλων* R. Scot-

34. Ebionaei autem consentiunt quidem mundum ab eo, qui re vera deus est, factum esse, quae autem ad Christum pertinent, consimiliter Cerintho et Carpocrati fabulantur. Moribus Iudaicis utuntur, secundum legem dictitantes sese iustificari, et Iesum dicentes iustificatum esse, cum observaverit legem; quapropter et Christum (unctum) dei vocatum esse eum et Iesum, cum nemo ex reliquis observaverit legem; etenim si quis alius fecisset, quae in lege praescripta sunt, ille evasisset Christus. Posse autem et semet ipsos, similiter cum fecerint, Christos evadere; etenim et ipsum hominem aeque atque omnes esse dicunt.

35. Theodotus autem quidam natione Byzantius introduxit haeresin novam, docens ea, quae sunt de origine universi, congrua ex parte doctrinae verae ecclesiae, cum a deo omnia profecta esse consentit, Christum autem, e gnosticorum et Cerinthi Ebionisque schola avellens, ait tali quodam modo apparuisse: Et Iesum quidem esse hominem ex virgine natum secundum voluntatem patris, cum vixisset autem eodem quo universi homines modo et cum piissimus fuisset, postea in baptismo ad Iordanem cepisse Christum superne delapsum in specie columbae, quapropter non prius potestates in eo viguisse, quam postquam is, qui delapsus erat, emicuerit in illo spiritus, quem esse Christum appellat. Deum autem nunquam hunc factum esse volunt per descensum spiritus; alii autem (sc. volunt deum factum esse) post resurrectionem a mortuis.

36. Cum autem diversae inter illos ortae essent quaestiones, aggressus est quidam, et ipse nomine Theodotus, nummulariam professus, dicere potestatem quandam Melchisedec esse maximam, et hunc esse maiorem Christo, cuius imaginem aiunt Christum referre, et ipsi consimiliter quos supra

---

non similiter (l. consimiliter) ut Cerinthus et Carpocrates opinantur. Cet.

---

tus: *τῶν πρὸ αὐτῶν* Bunsenius 62. *ὧν*] *ἦν* C M *εἰσήγαγεν*] *εἰσήγαγε δ'* susp. M 62. 63. *καινήν*] *κενήν* C 67. *καὶ τὸν*] *τὸν* susp. Sauppius 72. *ἢ ὅτε*] *ἢ ὥστε* C 74. *οὗτοι*] *αὐτὸν* C 76. 77. *πεχείρησε* C 79. *φάσκουσι* omittendum putat Sauppius

νοῖς ἄνθρωπον εἶναι λέγουσι τὸν Ἰησοῦν, καὶ κατὰ τὸν αὐτὸν λόγον τὸν Χριστὸν εἰς αὐτὸν κατεληλυθέναι.

Γνωστικῶν δὲ διάφοροι γνῶμαι, ὧν οὐκ ἄξιον καταριθμεῖν τὰς φλυάρους δόξας ἐκρίναμεν, οὔσας πολλὰς ἀλόγους τε καὶ βλασφημίας γεμούσας, ὧν πάνυ σεμνότεροι περὶ τὸ θεῖον οἱ φιλοσοφήσαντες ἀφ' Ἑλλήνων ἠλέγχθησαν. Πολλῆς δὲ αὐτοῖς συστάσεως κακῶν αἴτιος γεγένηται Νικόλαος, εἷς τῶν ἑπτὰ εἰς διακονίαν ὑπὸ τῶν ἀποστόλων κατασταθείς, ὃς ἀποστὰς τῆς κατ' εὐθεῖαν διδασκαλίας ἐδίδασκεν ἀδιαφορίαν βίου τε καὶ βρώσεως, οὗ τοὺς μαθητὰς ἐνυβρίζοντας τὸ ἅγιον πνεῦμα διὰ τῆς ἀποκαλύψεως Ἰωάννης ἤλεγχε πορνεύοντας καὶ εἰδωλόθυτα ἐσθίοντας. |

37. *Κέρδων δέ τις καὶ αὐτὸς ἀφορμὰς ὁμοίως παρὰ τούτων λαβὼν καὶ Σίμωνος, λέγει τὸν ὑπὸ Μωσέως καὶ προφητῶν θεὸν κεκηρυγμένον μὴ εἶναι πατέρα Ἰησοῦ Χριστοῦ. Τοῦτον μὲν γὰρ ἐγνῶσθαι, τὸν δὲ τοῦ Χριστοῦ πατέρα εἶναι ἄγνωστον, καὶ τὸν μὲν εἶναι δίκαιον, τὸν δὲ ἀγαθόν. Τούτου δὲ τὸ δόγμα ἐκράτυνε Μαρκίων, τάς τε ἀντιπαραθέσεις ἐπιχειρήσας, καὶ ὅσα αὐτῷ ἔδοξεν εἰς τὸν τῶν ἁπάντων δη-*

Euseb. *H. E.* IV, 11. *Ἔν γε μὴν τῷ πρώτῳ αὖθις περὶ τοῦ Κέρδωνος ταῦτα διέξεισι* (sc. *ὁ Εἰρηναῖος*)· *Κέρδων δέ τις ἀπὸ τῶν περὶ τὸν Σίμωνα τὰς ἀφορμὰς λαβών, καὶ ἐπιδημήσας ἐν τῇ Ῥώμῃ ἐπὶ Ὑγίνου, ἔνατον κλῆρον τῆς ἐπισκοπικῆς διαδοχῆς ἀπὸ τῶν ἀποστόλων ἔχοντος, ἐδίδαξε τὸν ὑπὸ τοῦ νόμου καὶ προφητῶν κεκηρυγμένον θεὸν μὴ εἶναι πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τὸν μὲν γὰρ γνωρίζεσθαι, τὸν δὲ ἀγνῶτα εἶναι, καὶ τὸν μὲν δίκαιον, τὸν δὲ ἀγαθὸν ὑπάρχειν. Διαδεξάμενος δὲ αὐτὸν Μαρκίων ὁ Ποντικὸς ηὔξησε τὸ διδασκαλεῖον ἀπηρυθριασμένως βλασφημῶν.*

---

83. *γνῶμαι*] *εἰσὶ γνῶμαι* susp. M 84. *πολλὰς ἀλόγους*] *πολλῆς ἀλογίας* Roeperus 85. *σεμνότερον* C *περὶ*] *πρὸς* coni. Bunsenius (*Hippolytus and his age* 1, 377.) 86. *ἀφ'*] *ἐξ?* Sauppius *ἠλέγχθησαν* Roeperus: *ἠνέχθησαν* C M 86—92. Cf. cum his Iren. *c. haer.* I, 26, 3: Nicolaitae autem magistrum quidem habent Nicolaum, unum ex VII, qui primi ad diaconium ab apostolis ordinati sunt: qui indiscrete vivunt. Plenissime autem per Ioannis Apocalypsin manifestantur qui sint, nullam differentiam esse docentes in moechando

diximus Theodotianis hominem aiunt esse Iesum, et secundum eandem rationem Christum in eum descendisse.

Gnosticorum autem diversae sunt sententiae, quorum indignas arbitrati sumus quas referremus sententias, quippe quae multae sint et male sanae plenaeque blasphemiae, quibus admodum graviores circa numen divinum qui a Graecis philosophabantur convicti sunt. Multifariae autem catervae malorum auctor illis extitit Nicolaus, unus ex septem illis ab apostolis ad diaconiam institutis, qui spreta quae ex recto erat disciplina docebat indifferentiam vitae et cibi, cuius discipulos illudentes sancto spiritui per Apocalypsin Ioannes coarguit scortantes et idolothytis vescentes.

37. Cerdon autem quidam, et ipse simili modo ab his profectus et Simone, ait eum, qui a Mose et prophetis praedicetur deum, non esse patrem Iesu Christi. Illum enim cognosci, Christi autem patrem incognitum esse, et illum esse iustum, hunc autem bonum. Huius autem doctrinam corroborabat Marcion, qui et contrapositiones conabatur et quaecun-

---

Iren. *c. haer.* 1, 27, 1. Et Cerdon autem quidam ab iis, qui sunt erga Simonem occasionem accipiens, cum venisset Romam sub Hygino, qui octavum locum episcopatus per successionem ab apostolis habuit, docuit eum, qui a lege et prophetis annunciatus sit deus, non esse patrem domini nostri Christi Iesu. Hunc enim cognosci, illum autem ignorari, et alterum quidem iustum, alterum autem bonum esse.

2. Succedens autem ei Marcion Ponticus adampliavit doctrinam, impudorate blasphemans eum, qui a lege et prophetis annunciatus est deus, malorum factorem et bellorum concupiscentem et inconstantem quoque sententia et contrarium sibi ipsum dicens.

---

et idolothyton edere. Quapropter dixit et de iis sermo: *Sed hoc habes, quod odisti opera Nicolaitarum, quae et ego odi.* (Apoc. 2, 6.) 86. *Πολλῆς δὲ αὐτοῖς*] *Πολλῆς δὲ αὐτῶν* C M: *Πολλοῖς δ' αὖ τῶν* Bunsenius l. l. p. 378, qui p. 377. idem quod nos coniecerat 90. *βρώσεως*] *γνώσεως* C M. Sicut nos etiam Bunsenius coniecit l. l. p. 378 *ἐνυβρίζον τὸ* C 91. *Ἰωάννου* C 93—1. Cf. cum his Iren. *c. haer.* I, 27, 1, cuius Graeca, ex Eusebio sumpta veteremque versionem textui supposuimus, et Theodoret. *Haer. fabul.* 1, 24

μιουργὸν δυσφημήσας. Ὁμοίως δὲ καὶ Λουκιανὸς ὁ τούτου μαθητής.

38. Ἀπελλῆς δὲ ἐκ τούτων γενόμενος οὕτως λέγει· Εἶναι τινὰ θεὸν ἀγαθόν, καθὼς καὶ Μαρκίων ὑπέθετο, τὸν δὲ πάντα κτίσαντα εἶναι δίκαιον, ὃς τὰ γενόμενα ἐδημιούργησε, καὶ τρίτον τὸν Μωσεῖ λαλήσαντα, πύρινον δὲ τοῦτον εἶναι, εἶναι δὲ καὶ τέταρτον ἕτερον, κακῶν αἴτιον· τούτους δὲ ἀγγέλους ὀνομάζει. Νόμον δὲ καὶ προφήτας δυσφημεῖ, ἀνθρώπινα καὶ ψευδῆ φάσκων εἶναι τὰ γεγραμμένα, τῶν δὲ εὐαγγελίων ἢ τοῦ ἀποστόλου τὰ ἀρέσκοντα αὐτῷ αἱρεῖται. Φιλουμένης δέ τινος λόγοις προσέχει ὡς προφήτιδος φανερώσεσι. Τὸν δὲ Χριστὸν ἐκ τῆς ὕπερθεν δυνάμεως κατεληλυθέναι, τουτέστι τοῦ ἀγαθοῦ, κἀκείνου αὐτὸν εἶναι υἱόν, τοῦτον δὲ οὐκ ἐκ παρθένου γεγενῆσθαι, οὐ δὲ ἄσαρκον εἶναι τὸν φανέντα λέγει, ἀλλ' ἐκ τῆς τοῦ παντὸς οὐσίας μεταλαβόντα μερῶν σῶμα πεποιηκέναι, τουτέστι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, καὶ ἐν τούτῳ τῷ σώματι λαθόντα τὰς κοσμικὰς ἐξουσίας βεβιωκέναι ὃν ἐβίωσε χρόνον ἐν κόσμῳ· αὖθις δὲ ὑπὸ Ἰουδαίων ἀνασκολοπισθέντα θανεῖν, καὶ μετὰ τρεῖς ἡμέρας ἐγερθέντα φανῆναι τοῖς μαθηταῖς, δείξαντα τοὺς τύπους τῶν ἥλων καὶ τῆς | πλευρᾶς, πείθοντα ὅτι αὐτὸς εἴη καὶ οὐ φάντασμα, ἀλλὰ ἔνσαρκος ἦν. Σάρκα, φησί, δείξας ἀπέδωκε γῇ, ἐξ ἧς περ ἦν οὐσίας, μηδὲν ἀλλότριον πλεονεκτῶν, ἀλλὰ πρὸς καιρὸν χρησάμενος, ἑκάστοις τὰ ἴδια ἀπέδωκε, λύσας πάλιν τὸν δεσμὸν τοῦ σώματος, θερμῷ τὸ θερμόν, ψυχρῷ τὸ ψυχρόν, ὑγρῷ τὸ ὑγρόν, ξηρῷ τὸ ξηρόν, καὶ οὕτως ἐπορεύθη πρὸς τὸν ἀγαθὸν πατέρα, καταλιπὼν τὸ τῆς ζωῆς σπέρμα εἰς τὸν κόσμον διὰ τῶν μαθητῶν τοῖς πιστεύουσι.

Δοκεῖ ἡμῖν καὶ ταῦτα ἱκανῶς ἐκτεθεῖσθαι· ἀλλ' ἐπεὶ μηδὲν παραλιπεῖν ἀνέλεγκτον ἐκρίναμεν τῶν ὑπό τινων δεδογματισμένων, ἴδωμεν τί καὶ τὸ τοῖς Δοκήταις ἐπινενοημένον. |

1. *δυσφημίσας* C *δὲ καὶ*] *τε καὶ* C M 3. sqq. Cf. Pseudo-Tertullian. *adv. omnes haer.* c. 6. Tertull. *de Praescript. Haeret.* c. 30. Euseb. *H. E.* V, 13. Theodoret. *Haer. fab.* 1, 25. 3. *Ἀπελῆς* C 7. *δὲ καὶ*] *τὲ καὶ* C 11. *φανερώσεσι*] *φανερῶς* C M

que ei placebant contra fabricatorem universi diffamabat. Consimiliter autem etiam Lucianus, huius discipulus.

38. Apelles autem ab his ortus ait in hunc modum: Esse deum quendam bonum, sicuti etiam Marcion supponebat, eum autem, qui universa creaverit esse iustum, qui fabricatus sit ea, quae facta sunt, et tertium esse, qui cum Mose locutus sit, hunc autem esse igneum, esse autem etiam alium quartum, malorum auctorem; hos autem angelos nominat. Legem autem et prophetas proscindit, cum humana et mendacia dicat esse quae scripta sunt, ex evangeliis autem vel apostolo quae ipsi placent sibi eligit. Philumenae autem cuiusdam sermonibus sese applicat tanquam prophetissae revelationibus. Christum autem a superna potestate descendisse, hoc est a bono, illiusque ipsum esse filium, hunc autem non ex virgine esse natum, neque carne caruisse eum qui apparuerit ait, sed ex substantia universi cum partes ceperit corpus sibi confecisse, hoc est calidi et frigidi et humidi et sicci, et in hoc corpore latentem mundanas potestates vixisse tempus, quod vixerit in mundo; rursus autem a Iudaeis crucifixum eum mortuum esse, et post tres dies resuscitatum apparuisse discipulis, et monstrata figura clavorum et lateris sui persuasisse iis semet ipsum esse et non phantasma, sed carnem sese habere. Carnem, inquit, postquam monstravit reddidit terrae, qua ex substantia erat, nihil alieni aucupatus, sed ad tempus usus singulis sua reddidit, vinculum corporis solvens, calido calidum, frigido frigidum, humido humidum, sicco siccum, et ita abiit ad bonum patrem relicto semine vitae in mundo per discipulos credentibus.

39. Videmur nobis et haec satis exposuisse; quoniam autem nihil irrefutatum praetermittere decrevimus eorum, quae a quibuscunque docta sunt, videamus quid etiam a Docetis inventum sit.

Cf. infra l. X, c. 20. p. 327. ed. Ox. 14. τὸν φανέντα] φανέντα C M 17. λαθόντα] λαβόντα M 20—22. Cf. Ev. Io. 20, 25 et Luc. 24, 39. 23. ἀλλότριον] ἄλτριον C 31. τοῖς] τῆς C

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ ΒΙΒΛΙΟΝ Η'.

---

1. *Τάδε ἔνεστιν ἐν τῇ ὀγδόῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου·*

2. *Τίνα τοῖς Δοκηταῖς τὰ δοκοῦντα, καὶ ὅτι ἐκ φυσικῆς φιλοσοφίας ἃ λέγουσιν ἐδογμάτισαν.*

3. *Πῶς ὁ Μονόϊμος ληρεῖ ποιηταῖς καὶ γεωμέτραις καὶ ἀριθμητικοῖς προσέχων.*

4. *Πῶς Τατιανὸς γεγένηται ἐκ τῶν Οὐαλεντίνου καὶ Μαρκίωνος δοξῶν τὰς ἑαυτοῦ συνιστῶν, ὁ δὲ Ἑρμογένης τοῖς Σωκράτους δόγμασι κέχρηται, οὐ τοῖς Χριστοῦ.*

5. *Πῶς πλανῶνται οἱ τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἐπιτελεῖν φιλονεικοῦντες.*

6. *Τίς ἡ πλάνη τῶν Φρυγῶν, νομιζόντων Μοντανὸν καὶ Πρισκίλλαν καὶ Μαξιμίλλαν προφήτας.*

7. *Τίς ἡ τῶν Ἐγκρατιτῶν κενοδοξία, καὶ ὅτι ἐξ αὐτῶν καὶ οὐκ ἐξ ἁγίων γραφῶν τὰ δόγματα αὐτῶν συνέστηκεν, [ἀλλ' ἐκ τῶν παρ' Ἰνδοῖς γυμνοσοφιστῶν.]*

8. *Ἐπεὶ οἱ πολλοὶ τῇ τοῦ κυρίου συμβουλίᾳ μὴ χρώμενοι, τὴν δοκὸν ἐν τῷ ὀφθαλμῷ ἔχοντες, ὁρᾶν ἐπαγ|γέλλονται τυφλώττοντες, δοκεῖ ἡμῖν μηδὲ τὰ τούτων δόγματα σιωπᾶν, ὅπως κἂν διὰ τοῦ ὑφ' ἡμῶν γινομένου ἐλέγχου πρὸς αὐτῶν αἰδεσθέντες ἐπιγνῶσι, πῶς συνεβούλευσεν ὁ σωτὴρ ἐξαιρεῖν τὴν δοκὸν πρῶτον, εἶτα διαβλέπειν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ. Αὐτάρκως οὖν καὶ ἱκανῶς ἐκθέμενοι τὰ τῶν πλειόνων ἐν ταῖς πρὸ ταύτης βίβλοις ἑπτά, νῦν τὰ ἀκόλουθα οὐ σιωπήσομεν, τὸ ἄφθονον τῆς χάριτος τοῦ ἁγίου πνεύματος ἐπιδεικνύντες, καὶ τοὺς τῷ δοκεῖν ἀσφάλειαν λόγων κεκτῆσθαι ἐλέγξομεν, οἵγε ἑαυτοὺς Δοκητὰς ἀπεκάλεσαν,*

3. *Δοκήταις* C M, qui Codicis accentum variantem in *Δοκῆται* et *Δοκηταί* servavit. 5. *ὁ Μονόϊμος*] *ὁ μὲν Νόϊμος* corr C, sicut infra l. X, c. 17. p. 325 ed. Ox. *Οἱ δὲ κατὰ Νόϊμον: Μονόιμος* Theodoret. *Haer. fab.* 1, 18. *ληρεῖ*] *ληροῖ* C M 7. *γεγένηται*] *αἱρετικὸς γεγένηται* coni. M: An *κεκίνηται*? Cf. supra p. 346, 24. *Οὐαλεντιανοῦ* C 8. *δοξῶν τὰς ἑαυτοῦ συνιστῶν* Roeperus: *δόξας ἑαυτὸν*

REFUTATIONIS OMNIUM HAERESIUM
LIBER OCTAVUS.

---

1. Haec insunt in octavo libro refutationis omnium haeresium:

2. Quaenam Opinarii (Docetae) opinati sint, quos a naturali philosophia profectos doctrinam suam professos esse.

3. Quomodo Monoimus ineptiat poëtis et geometris arithmeticisque sese applicans.

4. Quomodo Tatianus profectus sit a Valentini et Marcionis sententiis suas ipsius constituens, Hermogenes autem Socratis placitis usus sit, non Christi.

5. Quomodo aberrent, qui ut pascha die decima quarta celebrent litigiose contendant.

6. Quisnam sit error Phrygum, qui Montanum et Priscillam Maximillamque prophetas esse putent.

7. Quaenam Continentium (Encratitarum) sit inanis gloria, quorum praecepta ex ipsis, non ex sacris scripturis profecta esse, [sed ex gymnosophistis apud Indos.]

8. Quoniam plerique consilio domini non usi trabem in oculo habentes se videre profitentur, cum caecutiant, placet nobis ne horum quidem dogmata silere, ut vel per refutationem a nobis factam ex se ipsis pudentes cognoscant, quomodo consilium dederit salvator eximendae trabis primo, tum perspiciendae festucae in oculo fratris. Sufficienter igitur satisque postquam exposuimus plurimorum doctrinas in septem qui hunc praecedunt libris, nunc quae sequuntur non silebimus, monstrantes liberalitatem gratiae spiritus sancti, illosque qui opinando securitatem sermonum sese nactos esse putant, coarguemus, qui quidem semet ipsos Docetas appellaverunt

συνιστᾷν C: *δόξας ἑαυτῷ συνιστῶν* coni. M 14. *Ἐγκρατητῶν* C M 14. 15. *ἐξ αὐτῶν καὶ* delenda esse censet M 15. 16. *ἀλλ' — γυμνοσοφιστῶν* uncinis inclusimus 17. sqq. Cf. Matth. 7, 3. 4. Luc. 6, 41. 42. 18. *ἐπαγγέλονται* C 20. *πρὸς αὐτῶν*] *αὐτῶν?* 27. Post *κεκτῆσθαι* excidit *οἰομένους* vel tale quid. M *οἵγε*] *οἷς* C: *οἵ* M

δογματίζοντες ταῦτα· Θεὸν εἶναι τὸν πρῶτον οἱονεὶ σπέρμα συκῆς, μεγέθει μὲν ἐλάχιστον παντελῶς, δυνάμει δὲ ἄπειρον, ταπεινὸν μέγεθος, ἀνήριθμον ἐν πλήθει, πρὸς γένεσιν ἀπροσδεές, φοβουμένων καταφυγή, γυμνῶν σκέπη, αἰσχύνης ἐπικάλυμμα, ζητούμενος καρπός, ἐφ᾽ ὃν ἦλθεν ὁ ζητῶν, φησί, τρὶς καὶ οὐχ εὗρε, διὸ κατηράσατο, φησί, τῇ συκῇ, ὅτι τὸν γλυκὺν ἐκεῖνον καρπὸν οὐχ εὗρεν ἐν αὐτῇ, καρπὸν ζητούμενον. Τοιούτου δὲ ὄντος, ὡς εἰπεῖν τύπῳ, καὶ τηλικούτου, μικροῦ καὶ ἀμεγέθους κατ᾽ ἐκείνους τοῦ θεοῦ, γέγονεν ὁ κόσμος, ὡς ἐκείνοις δοκεῖ, τοιοῦτον τινὰ τρόπον· Ἁπαλῶν γενομένων τῶν κλάδων τῆς συκῆς προῆλθε φύλλα, ὥσπερ ἐστὶν ὁρώμενον, ἑπομένως δὲ ὁ καρπός, ἐν ᾧ τὸ ἄπειρον καὶ τὸ ἀνεξαρίθμητον θησαυριζόμενον φυλάσσεται σπέρμα συκῆς. Τρία οὖν εἶναι δοκοῦμεν τὰ πρώτως ὑπὸ τοῦ σπέρματος γενόμενα τοῦ συκίνου· πρέμνον, ὅπερ ἔστιν ἡ συκῆ, φύλλα, καὶ καρπός, τὸ σῦκον, ὡς προειρήκαμεν. Οὕτως, φησί, τρεῖς γεγόνασιν αἰῶνες, ἀπὸ τῆς πρώτης | ἀρχῆς τῶν ὅλων ἀρχαί· καὶ τοῦτο, φησίν, οὐκ ἐσιώπησεν οὐδὲ Μωϋσῆς λέγων, ὅτι οἱ λόγοι τοῦ θεοῦ τρεῖς εἰσίν· σκότος, γνόφος, θύελλα, καὶ οὐ προσέθηκεν. Οὐδὲν γάρ, φησίν, ὁ θεὸς τοῖς τρισὶ προσέθηκεν αἰῶσιν, ἀλλ᾽ αὐτοὶ πάντα τοῖς γενητοῖς πᾶσιν ἐπήρκεσαν καὶ ἐπαρκοῦσι. Μένει δὲ ὁ θεὸς αὐτὸς καθ᾽ ἑαυτὸν πολὺ τῶν τριῶν αἰώνων κεχωρισμένος. Τούτων, φησί, τῶν αἰώνων ἀρχὴν γενέσεως λαβών, ὡς λέλεκται, κατ᾽ ὀλίγον ηὔξησε καὶ ἐμεγαλύνθη καὶ ἐγένετο τέλειος. Τὸ δὲ τέλειον εἶναι δοκοῦσιν ἀριθμούμενον δέκα. Ἴσων οὖν γεγονότων ἀριθμῷ καὶ τελειότητι τῶν αἰώνων, ὡς ἐκεῖνοι δοκοῦσι, τριάκοντα γεγόνασιν αἰῶνες οἱ πάντες, ἕκαστος αὐτῶν ἐν δεκάδι πληρούμενος. Εἰσὶ δὲ ἀλλήλων διαίρετοι καὶ τιμὴν ἔχοντες οἱ τρεῖς πρὸς ἑαυτοὺς μίαν, θέσει μόνῃ διαφέροντες, ὅτι τὸ μὲν ἔστι πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τούτων τρίτον. Ἡ δὲ θέσις αὐτοῖς διαφορὰν δυνάμεως παρέ-

28. τὸν πρῶτον] τὸ πρῶτον coni. M; sed cf. infra l. X, c. 16. p. 324 init. ed. Ox. οἱωνεὶ C 29. ἄπειρον om C M 30—32. Cf. 1 Mos. 3, 7. 31. καταφυγήν, — σκέπην Sauppius 32—34. Luc. 13, 6. 7. Matth. 21, 19. 20. Marc. 11, 13. 14. 20. 21. 32. ἐπικάλυμα C ζητούμενον καρπόν Sauppius 33. τρὶς] κύριος Roeperus: sed cf. Luc. 13, 6. 7. 34. καρπὸν aut delendum aut in τὸν mutandum esse putat M: καρπὸν ζητούμενον delendum esse censet Sauppius 35. τύπῳ] τόπῳ C 36. ἀμεγέθους] μεγέθους C 37—39. Cf. Matth.

talia professi: Deum primum esse, tanquam semen sit arboris fici, magnitudine quidem prorsus minimum, potentia autem infinitum, humilis magnitudo, innumera multitudine, ad generationem sufficiens, metuentium refugium, nudorum tegumentum, pudendi velamentum, fructus quaesitus, ad quem venit quaerens, inquit, ter et non invenit; propterea maledixit, inquit, arbori fici, quia dulcem illum fructum non invenit in ea, fructum quaesitum. Talis autem cum sit, ut strictim dicamus, tantusque, hoc est parvus et minutus secundum illos deus, mundus factus est, ut illis placet, in hunc fere modum: Postquam rami arboris fici teneri facti sunt, provenerunt folia, sicuti videre licet, deinde autem fructus, in quo infinitum et innumerabile reconditum custoditur semen ficus. Tria igitur esse opinamur, quae primo a semine ficulneo extiterint: stirpem, quae est arbor fici, folia et fructum, hoc est ficum, ut antea diximus. Ita, inquit, tres extiterunt aeones, a primo principio universi principia; et hoc, inquit, ne Moses quidem siluit, cum dicat voces dei tres esse: *tenebrae*, *caligo*, *turbo*, *nihilque addidit.* Nihil enim, inquit, deus tribus addidit aeonibus, sed ipsi omnia universis quae nata sunt praestiterunt atque praestant. Manet autem deus ipse per se longe a tribus aeonibus remotus. Horum, inquit, aeonum principium generationis nactus, ut dictum est, quisque paullatim crevit et auctus est et evasit perfectus. Perfectum autem esse opinantur id, quod numeratur decem. Cum igitur numero et perfectione pares inter se evaserint aeones, ut illi opinantur, triginta extiterunt aeones universi, quisque eorum decade absolutus. Sunt autem a se invicem discreti et honorem habent invicem unum, cum positione tantum differant, quia aliud primum est, aliud secundum, aliud eorum tertium. Positio autem iis differentiam potentiae exhibuit; qui enim

24, 32. Marc. 13, 28. 43. *Οὕτως*] *Οὗτος* C: *Οὗτοι* susp. R. Scottus 46. Cf. 5 Mos. 5, 19. *Τὰ ῥήματα ταῦτα ἐλάλησε κύριος πρὸς πᾶσαν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός (σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη, καὶ οὐ προσέθηκε), καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας καὶ ἔδωκεν ἐμοί.* *θύελα* C 51. Ante *κατ' ὀλίγον* inserendum videtur *ἕκαστος* 53. *ἀριθμῷ*] *ἀριθμῶν* C 55. 56. *διαίρετοι καὶ*] *διαιρετικοὶ* C M, qui *διαιρετοὶ καὶ* minus recte susp.

σχεν· ὁ μὲν γὰρ ἔγγιστα τῷ πρώτῳ θεῷ, τῷ οἱονεὶ σπέρματι, θέσεως τυχὼν τῶν ἄλλων γονιμωτέραν ἔσχε δύναμιν, δεκάκις αὐτὸς αὐτὸν μεγέθει μετρήσας ὁ ἀμέτρητος· ὁ δὲ τῇ θέσει τοῦ πρώτου γενόμενος δεύτερος, ἑξάκις αὐτὸν κατέλαβεν ὁ ἀκατάληπτος· ὁ δὲ ἤδη τρίτος τῇ θέσει, εἰς ἄπειρον διάστημα διὰ τὴν αὔξησιν τῶν ἀδελφῶν γενόμενος, τρὶς νοήσας ἑαυτόν, οἱονεὶ δεσμόν τινα τῆς ἑνότητος αὐτὸν ἔδησεν αἰώνιον.

9. *Καὶ τοῦτο εἶναι δοκοῦσιν οὗτοι τὸ λελεγμένον ὑπὸ τοῦ σωτῆρος· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ [τὸ] πεσὸν εἰς τὴν γῆν τὴν καλὴν καὶ ἀγαθὴν ἐποίει ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. Καὶ διὰ τοῦτο | εἴρηκε, φησίν· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω, ὅτι ταῦτα οὐκ ἔστι πάντων ἀκούσματα. Οὗτοι πάντες οἱ αἰῶνες οἵ τε τρεῖς καὶ οἱ ἀπ' αὐτῶν ἀπειράκις ἄπειροι πάντες εἰσὶν αἰῶνες ἀρσενοθήλυες. Αὐξηθέντες οὖν καὶ μεγαλυνθέντες καὶ γενόμενοι οὗτοι πάντες ἐξ ἑνὸς ἐκείνου τοῦ πρώτου σπέρματος, τῆς συμφωνίας αὐτῶν καὶ τῆς ἑνότητος οἱ πάντες, εἰς ἕνα ὁμοῦ γενόμενοι αἰῶνα τὸν μέσον αὐτῶν, γέννημα κοινὸν οἱ πάντες ἐγέννησαν ἐκ παρθένου μιᾶς, τὸν ἐν μεσότητι Μαρίας σωτῆρα πάντων, ἰσοδύναμον κατὰ πάντα τῷ σπέρματι τῷ συκίνῳ, πλὴν ὅτι γεννητὸς οὗτος, τὸ δὲ πρῶτον σπέρμα ἐκεῖνο, ὅθεν γέγονεν ἡ συκῆ, ἐστὶν ἀγέννητον. Κεκοσμημένων οὖν τῶν τριῶν αἰώνων ἐκείνων παναρέτως καὶ παναγίως, ὡς δοκοῦσιν οὗτοι διδάσκοντες, καὶ τοῦ παιδὸς ἐκείνου τοῦ μονογενοῦς, (γέγονε γὰρ μόνος τοῖς ἀπείροις αἰῶσιν ἐκ τριγενοῦς· τρεῖς γὰρ αὐτὸν ἐγέννησαν ὁμοφρονοῦντες αἰῶνες ἀμέτρητοι·) κεκόσμητο μὲν ἀνενδεὴς πᾶσα ἡ νοητὴ φύσις, φῶς δὲ ἦν ἅπαντα ἐκεῖνα τὰ νοητὰ καὶ αἰώνια, φῶς δὲ οὐκ ἄμορφον οὐδὲ ἀργόν, οὐδὲ οἱονεί τινος ἐπιποιοῦντος δεόμενον, ἀλλὰ ἔχον ἐν ἑαυτῷ κατὰ τὸ πλῆθος τῶν ἀπειράκις ἀπείρων κατὰ τὸ παράδειγμα τῆς συκῆς ἀπείρους ἰδέας ζῴων τῶν ἐκεῖ πολυποικίλων, κατέλαμψεν ἄνωθεν εἰς τὸ ὑποκείμενον χάος. Τὸ δὲ φωτισθὲν ὁμοῦ καὶ μορφω-*

60. *θέσεως τυχῶν*] *θέσεως, τυχὸν* C M 62. *αὐτὸν*] *αὑτὸν* C M 65. *αὐτὸν*] *αὑτὸν* C M *αἰώνιον*] *αἰώνων?* 67—69. Cf. Matth. 13, 3. 8. Marc. 4, 3. 8. Luc. 8, 5. 8. 67. 68. *τὸ* ante *πεσὸν* om C M, qui *τὸ σπέρμα* excidisse existimat 70. Matth. 13, 9. Marc. 4, 9. Luc. 8, 8. 71. *πάντων*] *πάντως* C 74. *γενόμενοι*] An *τέλειοι γενόμενοι?* Cf. supra p. 263, 55. 74—77. Cf. supra p. 278, 66 sqq. 76. 77. *γένημα — ἐγένησαν* C 77. 78.

proxime a primo deo, qui tanquam semen est, positionem nactus est, genitaliorem reliquis habuit potestatem, decies semet magnitudine mensus ipse immensus; qui autem positione primi factus est secundus, sexies semet comprehendit incomprehensibilis ille; is autem, qui iam tertius positione, in infinitam distantiam propter incrementa fratrum delatus, cum ter semet cogitaret, tanquam vinculum quoddam unitatis semet ipsum vinxit aeonum.

9. Et hoc opinantur hi esse id, quod dictum est a salvatore: *Exiit seminans ad seminandum, et id, quod cecidit in terram pulchram et bonam, faciebat aliud centum, aliud sexaginta, aliud triginta.* Et propterea dixit, inquit: *Qui habet aures audiendi audiat*, quia haec non ab omnibus audiuntur. Omnes hi aeones, et tres illi et qui ab iis orti sunt infinities infiniti universi sunt aeones masculofeminei. Cum igitur creverunt et aucti sunt et extiterunt hi omnes ex uno illo primo semine, concentus sui atque unitatis cuncti simul, in unum congressi aeonem ipsorum medium, partum communem universi genuerunt ex virgine una, salvatorem eorum, qui in medietate sunt, omnium, eiusdem ab omni parte potentiae atque semen ficulneum, nisi quod hic genitus sit, illud autem primum semen, unde fici arbor extitit, non-genitum. Postquam igitur ornati sunt tres illi aeones omni virtute et sanctitate, ut opinantur hi docentes, et filius ille unigenitus (genitus enim est solus infinitis illis aeonibus ex trigenito; tres enim eum genuerunt consentientes aeones immensi): ornata erat absoluta omnis natura intelligibilis; lux autem erant universa illa intelligibilia et aeterna, lux autem non informis neque ignava, neque tanquam indigens aliquo, qui subveniat; sed cum habeat in semet ipsa secundum multitudinem illorum infinities infinitorum ad exemplum ficus infinitas animalium, quae illic sunt, pervariorum species, luxit desuper in subiacens chaos. Id autem collustratum simul et conformatum illis,

μιᾶς, τὸν ἐν μεσότητι Μαρίας σωτῆρα πάντων] *μιᾶς, Μαρίας, σωτῆρα, τὸν ἐν μεσότητι πάντων* R. Scottus: *Μαρίας* delendum esse putat Sauppius. An *μιᾶς, τῶν ἐν μεσότητι σωτῆρα πάντων?* Cf. infra l. X, c. 16. p. 324. ed. Ox. *γεννῆσαι ἐκ παρθένου Μαρίας σωτῆρα τῶν πάντων* 79. 80. *γενητὸς—ἀγένητον* C M 80. *κεκοσμημένων*] *καικεκοσμιμένων* C: *κατακεκοσμημένων* R. Scottus 84. *ἀμέτριτοι* C 88. *κατὰ*] *καὶ κατὰ* coni. M

θὲν ἐκείναις ἄνωθεν ταῖς πολυποικίλοις ἰδέαις, πῆξιν ἔλαβε καὶ ἀνεδέξατο τὰς ἰδέας τὰς ἄνωθεν ἁπάσας ἀπὸ τοῦ τρίτου αἰῶνος τοῦ τριπλασιάσαντος αὐτόν. Ὁ δὲ αἰὼν οὗτος ὁ τρίτος τοὺς χαρακτῆρας βλέπων πάντας ἀθρόως τοὺς ἑαυτοῦ εἰς τὸ ὑποκείμενον κάτω σκότος κατειλημμένους, τήν τε δύναμιν τοῦ σκότους οὐκ ἀγνοῶν | καὶ τὸ ἀφελὲς τοῦ φωτὸς ὁμοῦ καὶ ἄφθονον, οὐκ εἴασεν ἐπὶ πολὺ τοὺς φωτεινοὺς χαρακτῆρας ἄνωθεν ὑπὸ τοῦ σκότους κάτω κατασπασθῆναι· ἀλλὰ γὰρ ὑπέταξε τοῖς αἰῶσι [στερέωμα]. Στερεώσας οὖν κάτωθεν, καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ σκότους καὶ ἀνὰ μέσον τοῦ φωτός, καὶ ἐκάλεσε τὸ φῶς ἡμέραν, ὃ ἦν ὑπεράνω τοῦ στερεώματος, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Πασῶν οὖν, ὡς ἔφην, τῶν ἀπείρων τοῦ τρίτου αἰῶνος ἰδεῶν ἀπειλημμένων ἐν τούτῳ τῷ κατωτάτῳ σκότῳ, καὶ αὐτοῦ τοῦ τοιούτου αἰῶνος ἐναπεσφράγισται μετὰ τῶν λοιπῶν τὸ ἐκτύπωμα, πῦρ ζῶν ἀπὸ φωτὸς γενόμενον, ὅθεν ὁ μέγας ἄρχων ἐγένετο, περὶ οὗ λέγει Μωϋσῆς· Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τοῦτον λέγει Μωϋσῆς πύρινον θεὸν ἀπὸ τοῦ βάτου λαλήσαντα, τουτέστιν ἀπὸ τοῦ σκοτεινοῦ ἀέρος· (βάτος γάρ ἐστι πᾶς ὁ σκότει ὑποκείμενος ἀήρ) βάτον δέ, φησίν, εἴρηκε Μωϋσῆς, ὅτι ἄνωθεν κάτω πᾶσαι διέβησαν τοῦ φωτὸς αἱ ἰδέαι βατὸν ἔχουσαι τὸν ἀέρα. Οὐδὲν δὲ ἧττον καὶ ἡμῖν ὁ λόγος ἀπὸ τοῦ βάτου γνωρίζεται, φωνὴ γάρ ἐστι σημαντικὴ τοῦ λόγου πλησσόμενος ἀήρ, οὗ δίχα λόγος ἀνθρώπινος οὐ γνωρίζεται. Οὐ μόνον δὲ ὁ λόγος ἡμῖν ἀπὸ τοῦ βάτου, τουτέστιν ἀέρος, νομοθετεῖ καὶ συμπολιτεύεται, ἀλλὰ γὰρ καὶ ὀσμαὶ καὶ χρώματα διὰ τοῦ ἀέρος ἡμῖν τὰς δυνάμεις τὰς ἑαυτῶν ἐμφανίζουσιν.

10. Οὗτος οὖν ὁ πυροειδὴς θεός, ὁ πῦρ ἀπὸ φωτὸς γενόμενος, πεποίηκε τὸν κόσμον οὕτως, ὥς φησι Μωϋσῆς, αὐτὸς ὢν ἀνυπόστατος, σκότος ἔχων τὴν οὐσίαν, ἐνυβρίζων ἀεὶ τοῖς κατειλημμένοις ἄνωθεν κάτω τοῦ | φωτὸς αἰωνίοις χαρακτῆρσι.

93. αὐτόν] αὑτόν C M 96. ἀφελὲς] ἀσφαλὲς C M. Cf. infra l. X, c. 16. p. 324. ed. Ox. Correxit iam Bernaysius in *Ep. critic. ad Bunsenium* (Bunsenii *Analecta Ante-Nicaena* Vol. III. p. 307. 8. not.) 99. αἰῶσι στερέωμα. Στερεώσας οὖν] αἰῶσι. Στερεώσας οὖν C M: αἰῶσι στερέωμα οὐρανοῦ Bernaysius l. l. Cf. infra p. 324. ed. Ox. ἐποίησεν οὐρανόν, καὶ μέσον πήξας κ. τ. λ. 99—3. Cf. 1 Mos. 1, 4. 5. 7. καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον

quae supra sunt pervariis speciebus, concrevit et accepit species supernas omnes a tertio aeone, qui semet ipsum triplicavit. Aeon autem hic tertius cum notas suas videret universas simul in subiacentes infra tenebras susceptas, cumque potestatem tenebrarum non ignoraret et simplicitatem lucis simul et liberalitatem, non passus est diu lucidas notas desuper a tenebris deorsum deripi; at enim substruxit aeonibus firmamentum caeli. Postquam igitur firmavit inferne, *et divisit tenebras a luce appellavitque lucem diem, quae erat super firmamentum, et tenebras appellavit noctem.* Universis igitur, ut dixi, infinitis tertii aeonis ideis deprehensis in infimis his tenebris, etiam ipsius huiusce aeonis cum reliquis expressa est imago, ignis vivus a luce genitus, unde magnus archon extitit, de quo Moses ait: *In principio creavit deus caelum et terram.* Hunc dicit Moses igneum deum, qui e rubo (ἀπὸ τοῦ βάτου) locutus sit, hoc est e tenebricoso aëre (βάτος enim est universus aër tenebris subiacens), βάτον autem, inquit, dixit Moses, quia desuper deorsum omnes pertransierunt lucis species, quibus aër permeabilis (βατός) est. Non autem minus etiam nobis verbum a rubo notum fit, vox enim, significans verbum, est aër pulsatus, quo dempto verbum humanum non cognoscitur. Non solum autem verbum nobis a rubo, hoc est ab aëre leges dat et nobiscum versatur, sed enim et odores et colores per aërem nobis facultates suas manifestant.

10. Hic igitur deus igneus, qui ignis a luce extitit, mundum fecit ita ut Moses ait, ipse cum non subsistat tenebris tanquam substantia utens, perpetuo contumeliis afficiens aeternas illas desuper inferne susceptas lucis notas. Usque

τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. 99. 1. *διεχώρησεν* C 3. *Πασῶν*] *Πάντων* C M. Cf. infra p. 324. ed. Ox. 8. 9. 1 Mos. 1, 1. 9. 10. Cf. 2 Mos. 3, 2. 13. *βατὸν*] *βάτον* C M, qui iam observavit Docetas hic in verbali *βατόν* ludere: *πάτον* si non scribendum at certe audiendum esse putat Roeperus 20. Voc. *θεὸς* exesum, sed compendii reliquiae apparent. M

Μέχρι μὲν οὖν τῆς τοῦ σωτῆρος φανερώσεως ὑπὸ τοῦ θεοῦ τοῦ φωτὸς τοῦ πυρώδους, τοῦ δημιουργοῦ, πολλή τις ἦν πλάνη τῶν ψυχῶν· ψυχαὶ γὰρ αἱ ἰδέαι καλοῦνται, ὅτι ἀποψυγεῖσαι τῶν ἄνω ἐν σκότει διατελοῦσι, μεταβαλλόμεναι ἐκ σωμάτων εἰς σώματα, ὑπὸ τοῦ δημιουργοῦ φρουρούμενα. Ὅτι δὲ τοῦθ᾽ οὕτως ἔχει, φησίν, ἔνεστι καὶ ἐκ τοῦ Ἰὼβ κατανοῆσαι λέγοντος· Καὶ ἐγὼ πλανῆτις καὶ τόπον ἐκ τόπων μεταβαίνουσα καὶ οἰκίαν ἐξ οἰκίας, καὶ τοῦ σωτῆρος λέγοντος· Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. Ἀπὸ δὲ τοῦ σωτῆρος μετενσωμάτωσις πέπαυται, πίστις δὲ κηρύσσεται εἰς ἄφεσιν ἁμαρτιῶν. Τοιοῦτόν τινα τρόπον ὁ μονογενὴς υἱὸς ἐκεῖνος, ὁ τῶν αἰώνων ἄνωθεν τὰς ἰδέας βλέπων τὰς ἄνωθεν μεταβαλλομένας ἐν τοῖς σκοτεινοῖς σώμασι, ῥύσασθαι κατελθὼν ἠθέλησεν. Εἰδὼς δέ, ὅτι τὸ πλήρωμα τῶν ὅλων αἰώνων οὐδὲ οἱ αἰῶνες ἀθρόον ἰδεῖν ὑπομένουσιν, ἀλλὰ καταπλαγέντες οἱ φθαρτοὶ φθορὰν ὑπομένουσι, μεγέθει καὶ δόξῃ δυνάμεως κατειλημμένοι, συστείλας ἑαυτὸν ὡς ἀστραπὴν μεγίστην ἐν ἐλαχίστῳ σώματι, μᾶλλον δὲ ὡς φῶς ὄψεως ὑπὸ τοῖς βλεφάροις συνεσταλμένον, ἐξικνεῖται μέχρις οὐρανοῦ, καὶ τῶν ἀστέρων ἐπιψαύσας τῶν ἐκεῖ πάλιν ἑαυτὸν συστέλλει ὑπὸ τοῖς βλεφάροις τῆς ὄψεως ὅτε βούλεται. Καὶ τοῦτο ποιοῦν τὸ φῶς τῆς ὄψεως, καὶ πανταχῆ γινόμενον καὶ πάντα, ἡμῖν ἐστιν ἀφανές, μόνον δὲ ὁρῶμεν ἡμεῖς ὄψεως βλέφαρα, κανθοὺς λευκούς, ὑμένα εὐρὺν πολύπτυχον πολυκτηδόνα, χιτῶνα κερατο|ειδῆ, ὑπὸ δὲ τοῦτον κόρην ῥαγοειδῆ, ἀμφιβληστροειδῆ, δισκοειδῆ, καὶ εἴ τινες ἄλλοι τοῦ φωτὸς τῆς ὄψεώς εἰσι χιτῶνες, οὓς ἐστολισμένη κέκρυπται. Οὕτως, φησίν, ὁ μονογενὴς παῖς ἄνωθεν αἰώνιος ἐπενδυσάμενος κατὰ ἕνα ἕκαστον τοῦ τρίτου αἰῶνος αἰῶνα, καὶ γενόμενος ἐν τριακοντάδι αἰώνων εἰσῆλθεν εἰς τόνδε τὸν κόσμον τηλικοῦτος ὤν, ἡλίκον εἴπομεν, ἀφανής, ἄγνωστος, ἄδοξος, ἀπιστούμενος. Ἵν᾽ οὖν, φασὶν οἱ Δοκηταί, καὶ τὸ σκότος ἐπενδύσηται τὸ ἐξώτερον, τὴν σάρκα φησίν, ἄγγελος συνοδεύσας αὐτῷ ἄνωθεν τὴν Μαριὰμ εὐηγγελίσατο, φησίν, ὡς γέγραπται. Ἐγεννήθη τὸ ἐξ αὐτῆς ὡς γέγραπται. Γεννηθὲν δὲ

29. ἔνεστι C 30. 31. Iob. 2, 9. . . *καὶ ἐγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας κ. τ. λ.* 30. *πλανῆτις*] *πλανήτης* C 31—33. Matth. 11, 14. 15. 39.

igitur ad salvatoris apparitionem a deo lucis igneae, demiurgo, multa quaedam erat erratio animarum; animae *(ψυχαί)* enim ideae appellantur, quia refrigeratae a supernis in tenebris peragunt, transmutatae e corporibus in corpora a demiurgo custodita. Haec autem ita esse, inquit, licet etiam ex Iob intelligere, cum dicit: *Et ego sum erro et in locum e locis transiens et in domum ex domo*, et cum salvator dicit: *Et si vultis recipere, ipse est Elias, qui venturus est. Qui habet aures audiendi audiat.* Inde autem a salvatore migratio animarum cessavit, fides vero praedicatur ad remissionem peccatorum. Tali quodam modo unigenitus filius ille, cum aeonum, qui supra sunt, ideas videret desuper transmutatas in tenebricosis corporibus, liberare eas descendens voluit. Cum autem sciret, ut pleroma universorum aeonum simul viderent, ne aeones quidem valere, sed consternatos eos corruptibiles corruptionem pati, magnitudine et splendore potestatis correptos: coëgit se tanquam fulgur maximum in minimo corpore, imo vero tanquam lumen oculi sub palpebris coactum, et pervenit usque ad caelum, stellisque, quae ibi sunt, contactis rursus se cogit sub palpebris oculi quando vult. Idemque cum facit lumen oculi, quod et ubique existit et omnia, nobis est occultum, cernimus autem nos nil nisi oculi palpebras, angulos candidos, membranam laxam, sinuosam, venosam, tunicam corneam, sub ea autem pupillam racemosam, reticulatam, orbiculatam, et si quae aliae luminis oculi sunt tunicae, quibus vestitum occultatum est. Ita, inquit, unigenitus filius superne aeternus, superindutus secundum singulos quosque tertii aeonis aeones, cum extitit in triacontade aeonum, introivit in hunc mundum tantus, quantum diximus, occultus, ignotus, obscurus, noncreditus. Ut igitur, inquiunt Docetae, etiam tenebris induerentur exterioribus, — carnem dicit — angelus, qui ei comitatus est superne, Mariae laetum nuncium attulit, inquit, sicuti scriptum est. Generatum est id, quod ex ea est generatum,

ἀθρόον] *οἱ ἀθρόον* C: *οἱ ἀθρόοι* Chr. Petersenius 40. *οἱ*] *ὡς?* Chr. Petersenius 44. *ἐπιψαύσας τῶν*] *ἐπιψαυσάντων* C: *ἐπιφαυσάντων* M 45. *τοῦτο*] *ταὐτὸ?* 47. 48. *ὑμένα εὐρὺν*] *ὑμένας ῥὶν* C: *ὑμένα σάρκινον* Roeperus 48. *πολυκτηδόνα*] *πολυκτηνον* pr C, eadem manu mutatum in *πολυκτηνδόνα* 52. *αἰῶνος*] *αἰῶνες* C M 53. *τόνδε τὸν*] *τὸν δέκατον* C M 58. *Ἐγενήθη* C

ἐνεδύσατο αὐτὸ ἄνωθεν ἐλθών, καὶ πάντα ἐποίησεν οὕτως, ὡς ἐν τοῖς εὐαγγελίοις γέγραπται, ἐλούσατο εἰς τὸν Ἰορδάνην, ἐλούσατο δὲ τύπον καὶ σφράγισμα λαβὼν ἐν τῷ ὕδατι τοῦ γεγεννημένου σώματος ἀπὸ τῆς παρθένου, ἵν᾽, ὅταν ὁ ἄρχων κατακρίνῃ τὸ ἴδιον πλάσμα θανάτῳ, τῷ σταυρῷ, ψυχὴ ἐκείνη ἐν τῷ σώματι τραφεῖσα, ἀπεκδυσαμένη τὸ σῶμα καὶ προσηλώσασα πρὸς τὸ ξύλον, καὶ θριαμβεύσασα δι᾽ αὐτοῦ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ εὑρεθῇ γυμνή, ἀλλ᾽ ἐνδύσηται τὸ ἐν τῷ ὕδατι, ὅτε ἐβαπτίζετο, ἀντὶ τῆς σαρκὸς ἐκείνης ἐκτετυπωμένον σῶμα. Τοῦτό ἐστι, φησίν, ὃ λέγει ὁ σωτήρ· Ἐ ὰ ν μ ή τ ι ς γ ε ν ν η θ ῇ ἐ ξ ὕ δ α τ ο ς κ α ὶ π ν ε ύ μ α τ ο ς, ο ὐ κ ε ἰ σ ε λ ε ύ σ ε τ α ι ε ἰ ς τ ὴ ν β α σ ι λ ε ί α ν τ ῶ ν ο ὐ ρ α ν ῶ ν· ὅ τ ι τ ὸ γ ε γ ε ν ν η μ έ ν ο ν ἐ κ τ ῆ ς σ α ρ κ ὸ ς σ ά ρ ξ ἐ σ τ ι ν. Ἀπὸ τῶν τριάκοντα οὖν αἰώνων τριάκοντα ἰδέας ἐνεδύσατο· διὰ τοῦτο ἐπὶ τριάκοντα ἔτη γέγονεν ἐπὶ τῆς γῆς ὁ αἰώνιος ἐκεῖνος, ἑκάστου αἰῶνος ἰδίᾳ ἐνιαυτῷ φανερουμένου. | Εἰσὶ δὲ καὶ ἀπὸ ἑκάστου τῶν τριάκοντα αἰώνων ἅπασαι ἰδέαι κατειλημμέναι ψυχαί, καὶ φύσιν ἔχει τούτων ἑκάστη νοεῖν τὸν κατὰ φύσιν Ἰησοῦν, ὃν ἐκεῖνος ὁ μονογενὴς ὁ αἰώνιος ἀπὸ τῶν αἰωνίων τόπων ἐνεδύσατο· εἰσὶ δὲ οὗτοι διάφοροι. Διὰ τοῦτο τοσαῦται αἱρέσεις ζητοῦσι τὸν Ἰησοῦν περιμαχήτως, καὶ ἔστι πάσαις οἰκεῖος αὐταῖς, ἄλλῃ δὲ ἄλλος ὁρώμενος ἀπ᾽ ἄλλου τόπου, ἐφ᾽ ὃν ἑκάστη φέρεται, φησίν, καὶ σπεύδει δοκοῦσα τοῦτον εἶναι μόνον, ὅς ἐστιν αὐτῆς συγγενὴς ἴδιος καὶ πολίτης, ὃν ἰδοῦσα πρῶτον ἴδιον ἐγνώρισε μὲν ὡς ἀδελφόν, τοὺς δὲ ἄλλους νόθους. Οἱ μὲν οὖν ἐκ τῶν ὑποκάτω τόπων τὴν φύσιν ἔχοντες τὰς ὑπὲρ αὐτοὺς ἰδέας τοῦ σωτῆρος ἰδεῖν οὐ δύνανται, οἱ δὲ ἄνωθεν, φησίν, ἀπὸ τῆς

59. *αὐτὸ ἄνωθεν*] *αὐτὸς ἄνωθεν? αὐτὸ ὁ ἄνωθεν?* 61. 62. *γεγενημένου* C 63. *ψυχὴ*] *αὐτὴ* C M 64—66. Cf. Col. 2, 11. 14. 15. . . . *ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός . . . ἐξαλείψας τὸ καθ᾽ ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.* 65. *θριαμβεύσας* C 65. 66. Cf. 2 Cor. 5, 3. . . . *εἴπερ καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα.* 68—71. Ev. Io. 3, 5. 6. *Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν κ. τ. λ.* 70. *γεγενημένον* C 73. 74. *ἰδίᾳ*

ut scriptum est. Generato autem hoc ipso indutus est is, qui superne venit, et omnia fecit ita, ut in evangeliis scriptum est, lavatus est in Iordane, lavatus autem imaginem et sigillum expressit aqua corporis a virgine nati, ut, simul atque archon addixerit suum figmentum morti, cruci, anima illa in illo corpore nutrita, cum corpus deposuisset et adfixisset ad lignum et triumphasset per ipsum principatus et potestates, ne nuda inveniretur, sed indueretur corpore, quod aqua, cum baptizabatur, loco carnis illius effictum est. Hoc, inquit, est, quod ait salvator: *Nisi quis renatus fuerit ex aqua et spiritu, non introibit in regnum caelorum; quod enim natum est ex carne caro est.* A triginta igitur aeonibus triginta ideas induit; propterea ad triginta annos extitit in terris aeternus ille, cum quisque aeon peculiariter per annum manifestaretur. Sunt autem etiam a singulis quibusque triginta illorum aeonum cunctae ideae susceptae animae, quarum quaeque ita nata est, ut intelligat Iesum eum, qui ipsius naturae par est, quem unigenitus ille aeternus ex aeternis locis induit; sunt autem hi diversi. Propterea tot haereses quaerunt Iesum summo studio, et est ille iis omnibus proprius, alii autem tanquam alius apparens ab alio loco, ad quem quaeque fertur, inquit, et festinat opinans hunc esse solum, qui ipsius cognatus germanus popularisque sit, quem primum conspectum tanquam fratrem germanum agnovit, reliquos autem tanquam spurios. Qui igitur ex inferioribus locis naturam habent, ideas salvatoris, quae supra ipsos sunt, cernere non possunt,

ἐνιαυτῷ φανερουμένου] *ἰδίᾳ ἑνὶ αὐτῷ φανερούμενος* C: *ἑνὶ αὐτῶν* (sc. *τῶν ἐτῶν*) *φανερουμένου* coni. M: *ἰδέᾳ ἐνιαυτῷ φανερούμενος* Roeperus: *ἰδίῳ ἐνιαυτῷ φανερουμένου,* vel *ἰδίᾳ ἐνιαυτὸν φανερουμένου* R. Scottus: *ἰδέᾳ ἑνὶ ἐν αὐτῷ φανερουμένος* Chr. Petersenius 74. *Εἰσὶ*] *Εἴη* C M 75. *ἅπασαι ἰδέαι*] *ἅπασα ἰδέα* C M: *ἐν ἁπάσῃ ἰδέᾳ* Roeperus 75. 76. *φύσιν ἔχει τούτων ἑκάστη νοεῖν*] *φύσιν ἔχει τούτων ἑκάστην ὃ ἦν* C M, qui initio aliquid excidisse putat et *ἔχειν τούτων ἑκάστην οἷον* coni.: *φησίν, ἔχει τούτων ἑκάστη νόημα* Roeperus 80. *ἄλλος*] *ἄλλως* pr C *τόπου*] *τύπου* C M. Sicuti nos etiam Roeperus et R. Scottus corrigendum esse censent. *ἑκάστη*] *ἕκαστα* C 82. *πρῶτον*] *πρῶτος* C: an *πρώτως?* 82. 83. *ἐγνώρισε μὲν ὡς*] *ἐγνωρισμένως* C M: an *μὲν ὡς* non recto loco insertum et ante *ἴδιον* transponendum est? Chr. Petersenius

δεκάδος τῆς μέσης καὶ τῆς ὀγδοάδος τῆς ἀρίστης, ὅθεν ἐσμὲν ἡμεῖς, λέγουσιν, οὐκ ἐκ μέρους, ἀλλ' ὅλον αὐτοὶ τὸν Ἰησοῦν τὸν σωτῆρα ἴσασι, καὶ εἰσὶν ἄνωθεν τέλειοι μόνοι, οἱ δὲ ἄλλοι πάντες ἐκ μέρους.

11. *Ταῦτα μὲν οὖν αὐτάρκη νομίζω εἶναι τοῖς εὖ πεφρονηκόσι πρὸς ἐπίγνωσιν τῆς τῶν Δοκητῶν πολυπλόκου καὶ ἀσυστάτου αἱρέσεως, οἳ περὶ ὕλης μὲν ἀβάτου καὶ ἀκαταλήπτου λόγους ἐπικεχειρημένους ποιήσαντες, Δοκητὰς ἑαυτοὺς προσηγόρευσαν, ὧν οὐ τὸ δοκεῖν εἶναι τινὰς κατανοοῦμεν ματαΐζοντας, ἀλλὰ τὴν ἐκ τοσαύτης ὕλης δοκὸν ἐν ὀφθαλμῷ φερομένην διελέγχομεν εἴ πως διαβλέψαι δυνηθῶσιν, εἰ δ' οὖ, κἂν τὸ μὴ ἑτέρους τυφλῶσαι, ὧν τὸ δόγμα πάλαι οἱ Ἑλλήνων σοφισταὶ προεσοφίσαντο κατὰ πολλά, ὡς ἔστιν ἐπιγνῶναι τοὺς ἐντυγχά|νοντας. Ταῦτα μὲν οὖν τοῖς Δοκηταῖς τὰ δόξαντα. Τίνα δὲ καὶ Μονοΐμῳ δοκεῖ, οὐ σιωπήσομεν.*

12. *Μονόϊμος ὁ Ἄραψ μακρὰν τῆς τοῦ μεγαλοφώνου ποιητοῦ δόξης γεγένηται, τοιοῦτόν τινα τὸν ἄνθρωπον νομίσας, ὁποῖον ὁ ποιητὴς τὸν Ὠκεανόν, οὕτω πως λέγων·*

Ὠκεανὸς γένεσίς τε θεῶν γένεσίς τ' ἀνθρώπων.

αὐτό. Ἐπιτιμᾷ γοῦν Ἡσιόδῳ, ὅτι ἡμέραν καὶ νύκτα οἶδεν· ἡμέρα γάρ, φησί, καὶ νύξ ἐστιν ἕν, λέγων ὧδέ πως· Διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἔστι γὰρ ἕν. Καὶ ἀγαθὸν καὶ κακόν· Οἱ γοῦν ἰατροί, φησὶν ὁ Ἡράκλειτος, τέμνοντες, καίοντες, πάντη βασανίζοντες κακῶς τοὺς ἀρρωστοῦντας, ἐπαιτιῶνται μηδὲν ἄξιον μισθὸν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων, ταῦτα ἐργαζόμενοι τὰ ἀγαθὰ καὶ τὰς νόσους. Καὶ εὐθὺ δέ, φησί, καὶ στρεβλὸν τὸ αὐτό ἐστι. Γναφέων, φησίν, ὁδὸς εὐθεῖα καὶ σκολιή — ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου ἐν τῷ γναφείῳ περιστροφὴ εὐθεῖα καὶ σκολιή· ἄνω γὰρ ὁμοῦ καὶ κύκλῳ περιέρχεται — μία ἐστί, φησί, καὶ ἡ αὐτή. Καὶ τὸ ἄνω καὶ τὸ κάτω ἕν ἐστι καὶ τὸ αὐτό· ὁδὸς ἄνω κάτω μίη καὶ ὡυτή. Καὶ τὸ μιαρόν φησι καὶ τὸ καθαρὸν ἓν καὶ ταὐτὸν εἶναι, καὶ τὸ πότιμον καὶ τὸ ἄποτον ἓν καὶ τὸ αὐτὸ εἶναι· Θάλασσα, φησίν, ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθῦσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον. Λέγει δὲ ὁμολογουμένως τὸ ἀθάνατον εἶναι θνητὸν καὶ τὸ θνητὸν ἀθάνατον διὰ τῶν τοιούτων λόγων· Ἀθάνατοι θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, τὸν δὲ ἐκείνων βίον τεθνεῶτες. Λέγει δὲ | καὶ σαρκὸς ἀνάστασιν ταύτης φανερᾶς ἐν ᾗ γεγενήμεθα, καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως αἴτιον οὕτως λέγων· Ἔνθα δ' ἐόντι ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτιζόντων καὶ νεκρῶν. Λέγει δὲ καὶ τοῦ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῷ διὰ πυρὸς γίνεσθαι λέγων οὕτως· Τὰ δὲ πάντα

95. *οἶδεν*] *οὐκ οἶδεν?* Cf. lin. 98. 99. et Hesiod. *Theogon.* v. 123 sq. 748 sqq. 96—5. Cf. *Ed. Zeller, Die Philosophie der Griechen in ihrer geschichtlichen Entwicklung. Erster Theil. Tübingen 1856.* p. 455. not. 2. 98. *εὐφρόνην*] *εὐφροσύνην* C 99. *ἐγίνωσκεν· ἔστι γὰρ ἕν. Καὶ ἀγαθὸν καὶ κακόν·* Bernaysius et Bunsenius: *ἐγίνωσκεν. Ἔστι γὰρ ἓν καὶ ἀγαθὸν καὶ κακόν.* C M: *ἐγίνωσκεν, ἔστι γὰρ ἓν καὶ ἀγαθὸν καὶ κακόν.* Zellerus l. l. 2. 3. *ἐπαιτιῶνται*] *ἐπαιτέονται* Bernaysius et Bunsenius 3. *μηδένα* coni. Sauppius 3. *ἄξιον μισθὸν*] *ἄξιον μισθῶν* C M Zellerus: *ἄξιοι μισθῶν* Bernaysius et Bunsenius 4. 5. *ταὐτὰ ἐργαζόμενοι τἀγαθὰ καὶ [τὰ κακὰ] τὰς νόσους* coni. Sauppius 4. *καὶ τὰς*] *κατὰ τὰς* susp. Petersenius 5. 6.

idemque. Vituperat igitur Hesiodum, quod diem et noctem [non] noverit; dies enim, inquit, et nox idem est, his fere verbis usus: *Magister autem plerorumque Hesiodus; hunc putant plurima novisse, qui diem et noctem non cognovit; est enim unum.* Et bonum et malum: *Medici certe*, inquit Heraclitus, *dum caedunt, urunt, omnimodo male cruciant aegrotantes, causantur, quod non dignam mercedem accipiant ab aegrotis, dum haec faciunt bona et morbos.* Et vero rectum et intortum idem est. *Fullonum*, inquit, *via recta et curva* — instrumenti, quod dicitur cochleae in fullonica conversio recta et curva; sursum enim simul et in orbem circumagitur — *una est,* inquit, *eademque.* Et sursum et deorsum unum est idemque. *Via sursum deorsum una eademque.* Et impurum ait et purum unum idemque esse et potabile et non potabile unum et idem esse. *Mare*, inquit, *aqua purissima et impurissima, piscibus quidem potabilis et salubris, hominibus vero impotabilis et perniciosa.* Dicit autem sine controversia immortale esse mortale et mortale immortale verbis huiusmodi: *Immortales mortales, mortales immortales, viventes illorum mortem, illorum vero vitam mortui.* Profitetur autem et resurrectionem carnis huius sensibilis, in qua nati sumus, et deum novit huius resurrectionis auctorem his verbis: — — — — — — — — — — — — — — — — — Dicit autem et mundi iudicium omniumque quae in eo sunt per ignem fieri his verbis: *Omnia autem dirigit fulmen,* hoc est corrigit, ful-

Γναφέων] *Γραφέων* C M: *Γναφείῳ* Bernaysius Bunsenius et Zellerus 7. Post *κοχλίου* M Bernaysius et Bunsenius ponunt colon *γναφείῳ* Bernaysius et Bunsenius: *γραφείῳ* C M 8. *περιέρχεται* Roeperus: *περιέχεται* C M: *περιέλκεται* Bernaysius et Bunsenius 9. Post *ἡ αὐτή* comma apud M Post *ἐστι* M ponit punctum 9. 10. *καὶ τὸ αὐτὸ* M coniungit cum sequentibus 10. *Ὁδὸς — μίη* Cf. Schleiermacher. Fragm. 28. p. 383. Post *ἄνω* M add. *καὶ* *μίη*] *μία* C M Post *ὡυτή* M comma ponit 16—18. Cf. Schleiermacher. fr. 51. p. 498 sqq. 20. *Ἔνθα δ' ἐόντι*] *Ἔνθα διὰ θεόν τε* Bernaysius in *ep. crit. ad Bunsenium*: *Ἔνθαδε ἐόντας* Bernaysius in *Adnotatt. ad Heraclitea fragmenta* et in *Rhein. Museum* 9. p. 244 et Bunsenius: *Ἔνθαδε ἔστι* vel *Ἐν θεῷ δέον τι* susp. Petersenius: *Ἔνθα θεὸν δεῖ* Sauppius 21. *φύλακα* Sauppius *ἐγερτιζόντων*] *ἐγερτὶ ζώντων* Bernaysius (Cf. *ep. crit.* p. 333 sq.) et Bunsenius: An *ἔνερθε ζώντων*? Petersenius 23. 24. Cf. Bernaysius in *ep. crit.* p. 334 sq. 23. *Τὰ δὲ*] *Τάδε* susp. Sauppius

οἰακίζει κεραυνός, τουτέστι κατευθύνει· κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον. Λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ χρησμοσύνην καὶ κόρον· χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ' αὐτόν, ἡ δὲ ἐκπύρωσις κόρος· Πάντα γάρ, φησί, τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται. Ἐν δὲ τούτῳ τῷ κεφαλαίῳ πάντα ὁμοῦ τὸν ἴδιον νοῦν ἐξέθετο, ἅμα δὲ καὶ τὸν τῆς Νοητοῦ αἱρέσεως, δι' ὀλίγων ἐπέδειξα οὐκ ὄντα Χριστοῦ ἀλλὰ Ἡρακλείτου μαθητήν. Τὸν γὰρ ποιητὸν κόσμον αὐτὸν δημιουργὸν καὶ ποιητὴν ἑαυτοῦ γινόμενον οὕτω λέγει· Ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός — τἀναντία ἅπαντα· οὗτος ὁ νοῦς· — ἀλλοιοῦται δὲ ὅκωσπερ ὁκόταν συμμιγῇ [θύωμα] θυώμασιν· ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου. Φανερὸν δὲ πᾶσι τοὺς ἀνοήτους Νοητοῦ διαδόχους καὶ τῆς αἱρέσεως προστάτας, εἰ καὶ Ἡρακλείτου λέγοις ἂν αὐτοὺς μὴ γεγονέναι ἀκροατάς, ἀλλά γε τὰ Νοητῷ δόξαντα αἱρουμένους ἀναφανδὸν ταὐτὰ ὁμολογεῖν. Λέγουσι γὰρ οὕτως· ἕνα καὶ τὸν αὐτὸν θεὸν εἶναι πάντων δημιουργὸν καὶ πατέρα, εὐδοκήσαντα δὲ πεφηνέναι τοῖς ἀρχῆθεν δικαίοις ὄντα ἀόρατον· ὅτε μὲν γὰρ οὐχ ὁρᾶται ἦν ἀόρατος, [ὅτε δὲ ὁρᾶται ὁρατός,] ἀχώρητος δὲ ὅτε μὴ χωρεῖσθαι θέλει, χωρητὸς| δὲ ὅτε χωρεῖται· οὕτως κατὰ τὸν αὐτὸν λόγον ἀκράτητος [καὶ κρατητός,] ἀγέννητος [καὶ γεννητός,] ἀθάνατος καὶ θνητός. Πῶς οὐχ Ἡρακλείτου οἱ τοιοῦτοι δειχθήσονται μαθηταί; μὴ αὐτῇ τῇ λέξει διαφθάσας ἐφιλοσόφησεν ὁ σκοτεινός; Ὅτι δὲ καὶ τὸν αὐτὸν υἱὸν εἶναι λέγει καὶ πατέρα οὐδεὶς ἀγνοεῖ. Λέγει δὲ οὕτως· Ὅτε μὲν οὖν μὴ γεγένητο ὁ πατήρ, δικαίως πατὴρ προσηγόρευτο· ὅτε δὲ ηὐδόκησεν γένεσιν ὑπομεῖναι, γεννηθεὶς ὁ υἱὸς ἐγένετο αὐτὸς ἑαυτοῦ, οὐχ ἑτέ-

24. *οἰακίζει* Cf. Bernaysius in *Rhein. Mus.* 9. p. 254 sq. et Schleiermacher. fr. 49. p. 493. 26. *καλεῖ*] *καλεῖς* C 27. 28. *κατ' αὐτό* susp. Sauppius 29. sqq. Cf. Bernaysius in *Adnotatt. ad Heraclitea fragmenta* p. 339 sqq. 31. *δι' ὀλίγων ἐπέδειξα*] *δι' ὀλ. ἐπέδειξε* Bernaysius et Bunsenius: *ὃν δι' ὀλ. ἐπέδειξα?* 32. *ποιητὸν* Bernaysius et Bunsenius: *πρῶτον* C M 36. *ὁκόταν*] *ὁπόταν* C *συμμιγέα θυώμα[τα διαφόροις ὀνόμα]σιν ὀνομάζεται* coni. R. Scottus *θύωμα θυώμασιν* Bernaysius et Bunsenius: *θυώμασιν* C M: *ὕδωρ θυώμασιν* susp. Zellerus *ὀνομάζεται*] *οἰνομέλι* susp. Roeperus 37. *ἀνοήτους*] *νοητοὺς* C M 39. *λέγοις ἂν αὐτοὺς* Bernaysius et Bunsenius: *λέγοισαν ἑαυτοὺς* C M, qui

men ignem dicens aeternum. Dicit autem et sapientem esse hunc ignem et administrationis universi causam; vocat autem id inopiam et expletionem. Inopia autem mundi descriptio est ex eius sententia, deflagratio autem expletio. *Omnia enim*, inquit, *ignis invadens iudicabit et corripiet.* In hoc autem capitulo universam simul sententiam suam exposuit, simul autem et haereseos Noëti, [quem] paucis ostendi non Christi esse, sed Heracliti discipulum. Creatum enim mundum ipsum opificem sui et creatorem esse dicit in hunc modum: *Deus dies nox, hiems aestas, bellum pax, expletio fames* — contraria universa: hic sensus — *mutatur autem perinde quasi commixtum sit suffimentum cum suffimentis; nominatur autem ad cuiusque libitum.* Manifestum autem omnibus est insipientes Noëti successores et haereseos antistites, etiamsi Heracliti eos auditores fuisse neges, certe tamen, cum Noëti placita amplectantur, aperte eadem confiteri. Sic enim dictitant: Unum eundemque deum esse omnium opificem et patrem, ubi autem ipsi visum sit, apparuisse priscis hominibus iustis invisibilem ipsum; quando enim non videtur, invisibilis erat, quando autem videtur, visibilis, incomprehensibilis autem, quando comprehendi non vult, comprehensibilis autem, quando comprehenditur: sic eadem ratione insuperabilis et superabilis, nongenitus et genitus, immortalis et mortalis. Quin Heracliti tales ostendentur discipuli? Nonne ea ipsis verbis antea philosophatus est obscurus ille? Eum autem dicere eundem esse filium et patrem nemo nescit. Dicit autem in hunc modum: *Quando igitur non factus fuerat pater, iuste pater appellatus erat, quando autem ei libuit genituram sustinere, genitus filius factus est suimet ipsius, non alius.* Sic enim opinatur

susp. *λέγουσιν* vel *λέγοιεν* *τὰ*] *τῷ* C 40. *ταὐτὰ*] *ταῦτα* C M Bernaysius et Bunsenius 42. *πεφηκέναι* C 43. 44. *ὅτε δὲ ὁρᾶται ὁρατός*] om C M Bernaysius et Bunsenius. Cf. infra l. X. c. 27. p. 329, 41. ed. Ox. 45. 46. *ἀκράτητος καὶ κρατητός, ἀγέννητος καὶ γεννητός*] *ἀκράτητος ἀκράτητος, ἀγένητος* C: *ἀκράτητος, ἀγένητος* M: *ἀκράτητος κ. κρατ., ἀγένητος κ. γενητός* Bernaysius et Bunsenius. Cf. infra p. 329. ed. Ox. 47. 48. *μὴ αὐτῇ τῇ λέξει*] *μῆδε λέξει* (*τῆ τῆ* supra) C 48. *λεξείδια φθάσας* susp. Roeperus, qui *μὴ* vix ferri posse censet 50. *γεγένητο*] *γένητο* C 52. *γεννηθεὶς*] *γενηθεὶς* C

ρου. Οὕτως γὰρ δοκεῖ μοναρχίαν συνιστᾶν, ἓν καὶ τὸ αὐτὸ φάσκων ὑπάρχειν πατέρα καὶ υἱὸν καλούμενον, οὐχ ἕτερον ἐξ ἑτέρου, ἀλλ᾽ αὐτὸν ἐξ ἑαυτοῦ, ὀνόματι μὲν πατέρα καὶ υἱὸν καλούμενον κατὰ χρόνων τροπήν, ἕνα δὲ εἶναι τοῦτον τὸν φανέντα καὶ γένεσιν ἐκ παρθένου ὑπομείναντα καὶ ἐν ἀνθρώποις ἄνθρωπον ἀναστραφέντα, υἱὸν μὲν ἑαυτὸν τοῖς ὁρῶσιν ὁμολογοῦντα διὰ τὴν γενομένην γένεσιν, πατέρα δὲ εἶναι καὶ τοῖς χωροῦσιν μὴ ἀποκρύψαντα. Τοῦτον πάθει ξύλου προσπαγέντα καὶ ἑαυτῷ τὸ πνεῦμα παραδόντα, ἀποθανόντα καὶ μὴ ἀποθανόντα, καὶ ἑαυτὸν τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσαντα, τὸν ἐν μνημείῳ ταφέντα καὶ λόγχῃ τρωθέντα καὶ ἥλοις καταπαγέντα, τοῦτον τὸν τῶν ὅλων θεὸν καὶ πατέρα εἶναι λέγει Κλεομένης καὶ ὁ τούτου χορός, Ἡρακλείτειον σκότος ἐπεισάγοντες πολλοῖς.

11. *Ταύτην τὴν αἵρεσιν ἐκράτυνε Κάλλιστος, ἀνὴρ ἐν κακίᾳ πανοῦργος καὶ ποικίλος πρὸς πλάνην, θηρώμενος τὸν τῆς ἐπισκοπῆς θρόνον. Τὸν Ζεφυρῖνον, ἄνδρα ἰδιώτην καὶ ἀγράμματον καὶ ἄπειρον τῶν ἐκκλησιαστικῶν ὅρων, ὃν πείθων δόμασι καὶ ἀπαιτήσεσιν ἀπειρημέναις ἦγεν εἰς ὃ ἐβούλετο, ὄντα δωρολήπτην καὶ φιλάργυρον, | ἔπειθεν ἀεὶ στάσεις ἐμβαλεῖν ἀναμέσον τῶν ἀδελφῶν, αὐτὸς τὰ ἀμφότερα μέρη ὕστερον κερκωπείοις λόγοις πρὸς ἑαυτοῦ φιλίαν κατασκευάζων, καὶ τοῖς μὲν ἀλήθειαν [λέγων ὅμοια] φρονοῦσι ποτὲ κατ᾽ ἰδίαν τὰ ὅμοια φρονεῖν [λέγων] ἠπάτα, πάλιν δ᾽ αὖ τοῖς τὰ Σαβελλίου ὁμοίως, ὃν καὶ αὐτὸν ἐξέστησε δυνάμενον κατορθοῦν. Ἐν γὰρ τῷ ὑφ᾽ ἡμῶν παραινεῖσθαι οὐκ ἐσκληρύνετο, ἡνίκα δὲ σὺν τῷ Καλλίστῳ ἐμόναζεν, ὑπ᾽ αὐτοῦ ἀνεσείετο πρὸς τὸ δόγμα τὸ Κλεομένους ῥέπειν φάσκοντος τὰ ὅμοια φρονεῖν. Ὁ δὲ τότε μὲν τὴν πανουργίαν αὐτοῦ οὐκ ἐνόει, αὖθις δὲ ἔγνω, ὡς διηγήσομαι μετ᾽ οὐ πολύ. Αὐτὸν δὲ τὸν Ζεφυρῖνον προάγων δημοσίᾳ ἔπειθε λέγειν· Ἐγὼ οἶδα ἕνα θεὸν Χριστὸν Ἰησοῦν, καὶ πλὴν αὐτοῦ*

58. *ἀναστρεφέντα* C 67. *ποικῖλος* C *θηρόμενος* C 68. *Τὸν Ζεφυρῖνον*] *Οὗτος τὸν Ζεφυρῖνον* Roeperus: *Τὸν γὰρ* vel *Τὸν δὲ Ζ.*? 70. *δόμασι*] *δόγμασι* C M Bunsenius: *δωρήμασι* Bernaysius in *Rhein. Mus.* 9. p. 249. not. et Roeperus *ἀπαιτήσεσιν*] *ἀπαντήσεσιν* Bernaysius l. l. *ἀπειρημέναις*] *ἀπεράμνοις*, nisi forte *ἀπειρεσίοις* Roeperus *ὃ ἐβούλετο*] *ὃ βούλετο* C 71. 72. *ἀναμέσων* C 72. 73. *κερκώποις* C 73. *ἑαυτοὺς φιλίαν* C 73. 74. *μὲν ἀλήθειαν*] *μὲν ἐν ἀληθείᾳ* susp. M 74. *λέγων ὅμοια*] Haec

monarchiam probari, unum idemque esse dicens patrem et filium appellatum, non alium ex alio, sed ipsum ex semet ipso, nomine quidem patrem et filium appellatum secundum temporum vicissitudines, unum autem illum esse, qui apparuerit et generationem e virgine sustinuerit et homo inter homines versatus sit, filium se ipsum conspicientibus confiteatur propter factam generationem, patrem autem semet esse etiam iis, qui comprehendunt, non dissimulaverit. Hunc, qui passioni ligni adfixus sit et sibimet spiritum tradiderit, qui mortuus sit et non mortuus, quique semet tertia die resuscitaverit sepulcro conditum et lancea vulneratum clavisque perfixum, hunc esse universi deum et patrem ait Cleomenes eiusque chorus, Heracliteas tenebras multis afferentes.

11. Hanc haeresin corroborabat Callistus, vir malitiae callidus et vafer ad seducendum, qui episcopi cathedram venabatur. Zephyrino autem, viro indocto et illitterato definitionumque ecclesiasticarum ignaro, quem mulcendo donis et postulationibus vetitis ducebat ad quodcunque volebat, cum donorum acceptor esset pecuniaeque avidus, persuadebat, ut assidue rixas moveret inter fratres, dum ipse utriusque partis voluntatem postea astutis verbis sibimet conciliabat, et tum quidem illis, qui recte sentiebant, privatim se eadem sentire dicens eos fallebat, rursus autem iterum iis, qui Sabellii sententiam sequebantur, consimiliter, quem et ipsum pervertit, cum posset ille rectus esse. Dum enim a nobis admonebatur, non obdurescebat, ubi autem cum Callisto solitarius agebat, ab eo sollicitabatur, ut ad Cleomenis doctrinam vergeret, cum is similiter se sentire diceret. Ille autem tum quidem eius fraudulentiam non intelligebat, postea vero cognovit, sicut paullo post enarrabo. Ipsum autem Zephyrinum provehens adducebat, ut palam populo diceret: Ego novi unum deum Christum Iesum, nec praeter eum ul-

verba uncinis inclusimus suadente Bunsenio. Cf. *Hippolytus and his age* Vol. I. p. 393. not. *κατ' ἰδίαν*] *καθ' ἡδίαν* C M, qui coni. *λέγων τὰ ὅμοια φρονεῖν ἠπάτα· πάλιν δὲ αὐτοῖς φρονοῦσι ποτὲ κατ' ἰδίαν τὰ Σαβ.*: *κατ' ἰδέαν* Wordsworthius 75. *λέγων ἠπάτα* Bunsenius: *ἠπάτα* C M *αὖ τοῖς*] *αὐτοῖς* C M 76. *δυνάμενον*] *δυνάμενος* susp. M Bunsenius 79. *ῥαπεῖν*] *ῥέπειν* vel *τραπῆναι* susp. M: *ῥοπεῖν*, nisi ipsum *ῥαπεῖν* est aorist. H. Roeperus

ἕτερον οὐδένα γενητὸν καὶ παθητόν· ποτὲ δὲ λέγων· Οὐχ ὁ πατὴρ ἀπέθανεν, ἀλλὰ ὁ υἱός· οὕτως ἄπαυστον τὴν στάσιν ἐν τῷ λαῷ διετήρησεν· οὗ τὰ νοήματα γνόντες ἡμεῖς οὐ συνεχωροῦμεν, ἐλέγχοντες καὶ ἀντικαθιστάμενοι ὑπὲρ τῆς ἀληθείας· ὃς εἰς ἀπόνοιαν χωρῶν διὰ τὸ πάντας αὐτοῦ τῇ ὑποκρίσει συντρέχειν, ἡμᾶς δὲ οὔ, ἀπεκάλει ἡμᾶς διθέους, ἐξεμῶν παρὰ βίαν τὸν ἐνδομυχοῦντα αὐτῷ ἰόν. Τούτου τὸν βίον δοκεῖ ἡμῖν ἀγαπητὸν ἐκθέσθαι, ἐπεὶ κατὰ τὸν αὐτὸν χρόνον ἡμῖν ἐγεγόνει, ὅπως διὰ τοῦ φανῆναι τοῦ τοιούτου τὴν ἀναστροφὴν εὐεπίγνωστος καὶ τάχα τοῖς νοῦν ἔχουσιν εὐήθης γένηται ἡ διὰ τούτου ἐπικεχειρημένη αἵρεσις. Οὗτος ἐμαρτύρησεν ἐπὶ Φουσκιανοῦ ἐπάρχου ὄντος Ῥώμης· ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας τοιόσδε ἦν· |

12. Οἰκέτης ἐτύγχανε Καρποφόρου τινὸς ἀνδρὸς πιστοῦ ὄντος ἐκ τῆς Καίσαρος οἰκίας. Τούτῳ ὁ Καρποφόρος, ἅτε δὴ ὡς πιστῷ, χρῆμα οὐκ ὀλίγον κατεπίστευσεν, ἐπαγγειλάμενος κέρδος προσοίσειν ἐκ πραγματείας τραπεζιτικῆς· ὃς λαβὼν τράπεζαν ἐπεχείρησεν ἐν τῇ λεγομένῃ πισκινῇ πουπλικῇ, ᾧ οὐκ ὀλίγαι παραθῆκαι τῷ χρόνῳ ἐπιστεύθησαν ὑπὸ χηρῶν καὶ ἀδελφῶν προσχήματι τοῦ Καρποφόρου. Ὁ δὲ ἐξαφανίσας τὰ πάντα ἠπόρει. Οὗ ταῦτα πράξαντος, οὐκ ἔλιπεν ὃς ἀπαγγείλῃ τῷ Καρποφόρῳ· ὁ δὲ ἔφη ἀπαιτεῖν λόγους παρ' αὐτοῦ. Ταῦτα συνιδὼν ὁ Κάλλιστος καὶ τὸν παρὰ τοῦ δεσπότου κίνδυνον ὑφορώμενος, ἀπέδρα τὴν φυγὴν κατὰ θάλασσαν ποιούμενος· ὃς εὑρὼν πλοῖον ἐν τῷ Πόρτῳ ἕτοιμον πρὸς ἀναγωγήν, ὅπου ἐτύγχανε πλέον, ἀνέβη πλευσόμενος. Ἀλλ' οὐδὲ οὕτως λαθεῖν δεδύνηται· οὐ γὰρ ἔλιπεν ὃς ἀπαγγείλῃ τῷ Καρποφόρῳ τὸ γεγενημένον. Ὁ δὲ ἐπιστὰς κατὰ τὸν λιμένα ἐπειρᾶτο ἐπὶ τὸ πλοῖον ὁρμᾶν κατὰ [τὰ] μεμηνυμένα· τοῦτο δὲ ἦν ἑστὸς ἐν μέσῳ τῷ λιμένι. Τοῦ δὲ πορθμέως βραδύνοντος, ἰδὼν πόρρωθεν ὁ Κάλλιστος τὸν δεσπότην, ὢν ἐν τῷ πλοίῳ καὶ γνοὺς ἑαυτὸν συνει-

86. ἐλλέγχοντες C 88. παραβίαν C 89. ἐνδομοιχοῦντα C 92. τάχα — εὐήθης Bunsenius Wordsworthium secutus: ταχεῖα — εὐθὴς C: ταχεῖα — εὐθὺς M 92. 93. ἐπικεχειρημέναι C 99. πισκινῇ πουπλικῇ] πισκίνῃ πουπλ. susp. Sauppius — Cf. Festus s. v. ed. Lindemann. p. 198; ed. Müller. p. 213. Piscina publica erat regio urbis XII inter Aventinum et Coelium sita. Cf. W. A. Becker *Röm. Antiqq.* I. p. 520 et 715. 2. ἐξαφανήσας C 3. ἔλιπεν] ἔλειπεν C, sed ἔλιπεν bis infra lin. 9 et 37. M: *non defuit*, flagrans Latinismus, qui bis recurrit in proxime

lum alium generatum et passibilem; tum vero dicens: Non pater mortuus est, sed filius: tali modo perpetuam rixam in plebe sustinuit. Cuius consilia cum cognovissemus, nos non concedebamus coarguentes et resistentes pro veritate: qui delatus ad dementiam, propterea quod omnes eius simulationi adsentiebant, nos autem non, ditheos nos vocabat, sponte evomens virus, quod in intimis eius visceribus latebat. Huiusce vitam placet nobis exponere, quia eadem aetate qua nos extitit, ut moribus talis viri patefactis facile perspiciatur et iam ab iis, qui mente praediti sunt, vilipendatur haeresis per eum suscepta. Hic martyrium fecit Fusciano praefecto urbis Romae. Modus autem eius martyrii fuit huiusmodi:

12. Servus erat Carpophori cuiusdam viri fidelis e familia Caesaris. Carpophorus ei, quippe fideli, pretium non parvum concredidit, iussitque eum sibimet lucrum parare ex argentaria: qui accepto pretio argentariam instituit in piscina, quae vocatur publica, cui temporis progressu non parva deposita a viduis et fratribus concredita sunt praetextu Carpophori. Is autem omnibus consumptis in angustiis erat. Qui cum ea fecisset, non defuit, qui Carpophoro renunciaret; hic autem dixit se rationem reposcere ab eo. Harum rerum conscius Callistus et periculum a domino instans suspicatus, se abstulit fugam ad mare versus faciens: qui cum navem in Portu invenisset ad exeundum expeditam, profecturus, quo illa erat profectura, ascendit. Sed ne sic quidem latere potuit; non enim defuit, qui renunciaret Carpophoro quae facta erant. Is autem adstans ad portum conabatur in navem ferri nuncium secutus, ea autem collocata erat in medio portu. Portitore autem morante Callistus, qui e longinquo conspexit herum, cum esset in navi atque cognovisset se esse captum, vitam abiecit et haec extrema esse putans se in mare praecipi-

sequentibus. Bunsenius 3. *ἀπαγγείλῃ*] *ἀπαγγείλειε*, itemque lin. 9; sed cfr. lin. 20 et fort. huic vel scriptori vel aetati condonandum aliquid in modis usurpandis ac permutandis licentiae. Roeperus 7. *ὅπου*] *ὅποι* Roeperus 8. *πλέον* Roeperus: *πλέων* C M Bunsenius 11. *κατὰ τὰ*] *κατὰ* C M Bunsenius *μεμηνυμένα*] Syllabae *μην* exesae tenuia vestigia supersunt. M 12. *πόρρωθεν* C 13. 14. *συνειλῆφθαι*] *συνηλεῖφθαι* C M

λῆφθαι, ἠφείδησε τοῦ ζῆν, καὶ ἔσχατα ταῦτα λογισάμενος ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ναῦται καταπηδήσαντες εἰς τὰ σκάφη ἄκοντα αὐτὸν ἀνείλοντο, τῶν δὲ ἀπὸ τῆς γῆς μεγάλα βοώντων· καὶ οὕτως τῷ δεσπότῃ παραδοθεὶς ἐπανήχθη εἰς τὴν Ῥώμην, ὃν ὁ δεσπότης εἰς πίστρινον κατέθετο. Χρόνου δὲ διελθόντος, ὡς συμβαίνει γίνεσθαι, προσελθόντες ἀδελφοὶ παρεκάλουν τὸν Καρποφόρον, ὅπως ἐξαγάγῃ τῆς κολάσεως τὸν δραπέτην, φάσκοντες αὐτὸν ὁμολογεῖν ἔχειν παρά τισι χρῆμα ἀποκείμενον. Ὁ δὲ | Καρποφόρος, ὡς εὐλαβής, τοῦ μὲν ἰδίου ἔλεγεν ἀφειδεῖν, τῶν δὲ παραθηκῶν φροντίζειν — πολλοὶ γὰρ αὐτῷ ἀπεκλαίοντο λέγοντες, ὅτι τῷ αὐτοῦ προσχήματι ἐπίστευσαν τῷ Καλλίστῳ, ἃ πεπιστεύκεισαν — καὶ πεισθεὶς ἐκέλευσεν ἐξαγαγεῖν αὐτόν. Ὁ δὲ μηδὲν ἔχων ἀποδιδόναι, καὶ πάλιν ἀποδιδράσκειν μὴ δυνάμενος διὰ τὸ φρουρεῖσθαι, τέχνην θανάτου ἐπενόησε, καὶ σαββάτῳ σκηψάμενος ἀπιέναι ὡς ἐπὶ χρεώστας, ὥρμησεν ἐπὶ τὴν συναγωγὴν τῶν Ἰουδαίων συνηγμένων, καὶ στὰς κατεστασίαζεν αὐτῶν. Οἱ δὲ καταστασιασθέντες ὑπ' αὐτοῦ, ἐνυβρίσαντες αὐτὸν καὶ πληγὰς ἐμφορήσαντες ἔσυρον ἐπὶ τὸν Φουσκιανὸν ἔπαρχον ὄντα τῆς πόλεως. Ἀπεκρίναντο δὲ τάδε· Ῥωμαῖοι συνεχώρησαν ἡμῖν τοὺς πατρῴους νόμους δημοσίᾳ ἀναγινώσκειν, οὗτος δὲ ἐπεισελθὼν ἐκώλυε καταστασιάζων ἡμῶν, φάσκων εἶναι Χριστιανός. Τοῦ δὲ Φουσκιανοῦ πρὸ βήματος τυγχάνοντος καὶ τοῖς ὑπ' Ἰουδαίων λεγομένοις κατὰ τοῦ Καλλίστου ἀγανακτοῦντος, οὐκ ἔλιπεν ὁ ἀπαγγείλας τῷ Καρποφόρῳ τὰ πρασσόμενα. Ὁ δὲ σπεύσας ἐπὶ τὸ βῆμα τοῦ ἐπάρχου ἐβόα· Δέομαι, κύριε Φουσκιανέ, μὴ σὺ αὐτῷ πίστευε, οὐ γάρ ἐστι Χριστιανός, ἀφορμὴν δὲ ζητεῖ θανάτου χρήματά μου πολλὰ ἀφανίσας, ὡς ἀποδείξω. Τῶν δὲ Ἰουδαίων ὑποβολὴν τοῦτο νομισάντων, ὡς ζητοῦντος τοῦ Καρποφόρου ταύτῃ τῇ προφάσει ἐξελέσθαι αὐτόν, μᾶλλον ἐπιφθόνως κατεβόων τοῦ ἐπάρχου. Ὁ δὲ κινηθεὶς ὑπ' αὐτῶν, μαστιγώσας αὐτὸν ἔδωκεν εἰς μέταλλον Σαρδονίας. Μετὰ χρόνον δὲ ἑτέρων ἐκεῖ ὄντων μαρτύρων, θελήσασα ἡ Μαρκία ἔργον τι ἀγαθὸν ἐργάσασθαι, οὖσα φιλόθεος παλλακὴ Κομόδου, προσκαλεσαμένη τὸν μακάριον | Οὐΐκτορα, ὄντα ἐπίσκοπον τῆς ἐκκλησίας κατ' ἐκεῖνο καιροῦ, ἐπηρώτα, τίνες

16. *τῶν δὲ*] *τῶν* susp. Sauppius 17. *οὕτως* Bunsenius: *οὗτος* C M 18. *πιστρῖνον* susp. Sauppius 24. *τῷ αὐτοῦ*] *τῷ αὐτῷ* C 27. *φρουρεῖσθαι*] *φθορεῖσθαι* C 28. *σκεψάμενος* C 30. *στὰς*] *ἐπιστὰς*? 35. *φοσκιανοῦ* C

tavit. Nautae autem postquam in scaphas desiluerunt, invitum eum eripuerunt, dum ii, qui in terra erant, magna voce clamabant: et in hunc modum hero traditus Romam reductus est, quem herus in pistrinum dedit. Tempore autem elapso, ut forte evenit, fratres accedentes Carpophorum adhortabantur, ut poenae eximeret fugitivum, dicentes confiteri eum se pecuniam apud quosdam conditam habere. Carpophorus autem, utpote pius, suam rem se omittere dixit, deposita autem sibi curae esse — multi enim flentes ei dicebant, se eius praetextu concredidisse Callisto quae concrederant — precibusque motus iussit eum educi. Ille autem cum nihil haberet quod restitueret, et iterum aufugere non posset quia custodiebatur, artificium mortis commentus est, et sabbato simulans se ad debitores ire ruit ad conventum Iudaeorum congregatorum, et adstans turbam inter eos faciebat. Illi autem turbati ab eo contumeliis verberibusque eum affectum truserunt ad Fuscianum, praefectum urbis. Responderunt autem haece: Romani nobis concesserunt patrias leges publice recitandas; iste vero ad nos ingressus impediebat nos obturbans, dictitans se esse Christianum. Fuscianus autem cum pro tribunali esset, et per ea, quae a Iudaeis dicebantur, in Callistum irasceretur, non defuit qui Carpophoro res gestas renunciaret. Is autem ad tribunal praefecti festinavit clamavitque: Peto, domine Fusciane, ne tu ei fidem habeas, non enim Christianus est, ansam vero mortis quaerit, postquam pecuniam mihi magnam perdidit, sicuti probabo. Iudaei autem cum hoc fraudem esse arbitrarentur, quasi Carpophorus hoc praetextu eum liberare studeret, infestius etiam praefectum inclamabant. Is autem ab iis motus, flagellis eum caesum tradidit in metallum Sardiniae. Tempore autem elapso, cum alii illic essent martyres, Marcia volens facinus aliquod bonum facere, quippe quae Commodi erat pellex dei amans, arcessivit beatum Victorem, qui illo tempore episcopus ecclesiae erat, et sciscitabatur, quinam in

37. *ἀπαγγείλας* Roeperus: *ἐπαγγείλας* C M Bunsenius. Cf. supra p. 452, 3. 9.
39. *σὺ αὐτῷ*] *ἑαυτῷ* C 45. sqq. Cf. cum his Dio Cass. l. LXXII. c. 4. *Ἱστορεῖται δὲ αὕτη πολλά τε ὑπὲρ τῶν Χριστιανῶν σπουδάσαι καὶ πολλὰ αὐτοὺς εὐηργετηκέναι, ἅτε καὶ παρὰ τῷ Κομμόδῳ πᾶν δυναμένη.*
47. *παλακὴ* C *Κομόδου*] *Κομμόδου?*

εἶεν ἐν Σαρδονίᾳ μάρτυρες. Ὁ δὲ πάντων ἀναδοὺς τὰ ὀνόματα, τὸ τοῦ Καλλίστου οὐκ ἔδωκεν, εἰδὼς τὰ τετολμημένα παρ᾽ αὐτοῦ. Τυχοῦσα οὖν τῆς ἀξιώσεως ἡ Μαρκία παρὰ τοῦ Κομόδου, δίδωσι τὴν ἀπολύσιμον ἐπιστολὴν Ὑακίνθῳ τινὶ σπάδοντι πρεσβυτέρῳ, ὃς λαβὼν διέπλευσεν εἰς τὴν Σαρδονίαν, καὶ ἀποδοὺς τῷ κατ᾽ ἐκεῖνο καιροῦ τῆς χώρας ἐπιτροπεύοντι ἀπέλυσε τοὺς μάρτυρας πλὴν τοῦ Καλλίστου. Ὁ δὲ γονυπετῶν καὶ δακρύων ἱκέτευε καὶ αὐτὸς τυχεῖν ἀπολύσεως. Δυσωπηθεὶς οὖν ὁ Ὑάκινθος ἀξιοῖ τὸν ἐπίτροπον ..., φάσκων θρέψας εἶναι Μαρκίας, τασσόμενος αὐτῷ τὸ ἀκίνδυνον· ὁ δὲ πεισθεὶς ἀπέλυσε καὶ τὸν Κάλλιστον. Οὗ παραγενομένου ὁ Οὐΐκτωρ πάνυ ἤχθετο ἐπὶ τῷ γεγονότι, ἀλλ᾽ ἐπεὶ εὔσπλαγχνος ἦν, ἡσύχασε· φυλασσόμενος δὲ τὸν ὑπὸ πολλῶν ὄνειδον (οὐ γὰρ ἦν μακρὰν τὰ ὑπ᾽ αὐτοῦ τετολμημένα), ἔτι δὲ καὶ τοῦ Καρποφόρου ἀντιπίπτοντος, πέμπει αὐτὸν καταμένειν ἐν Ἀνθείῳ, ὁρίσας αὐτῷ μηνιαῖόν τι ἐκτροφῆς. Μεθ᾽ οὗ κοίμησιν Ζεφυρῖνος συναράμενον αὐτὸν σχὼν πρὸς τὴν κατάστασιν τοῦ κλήρου, ἐτίμησε τῷ ἰδίῳ κακῷ, καὶ τοῦτον μεταγαγὼν ἀπὸ τοῦ Ἀνθείου εἰς τὸ κοιμητήριον κατέστησεν. Ὧι ἀεὶ συνὼν καί, καθὼς φθάσας προεῖπον, ὑποκρίσει αὐτὸν θεραπεύων, ἐξηφάνισε μήτε κρῖναι τὰ λεγόμενα δυνάμενον μήτε νοοῦντα τὴν τοῦ Καλλίστου ἐπιβουλήν, πάντα αὐτῷ πρὸς ἃ ἥδετο ὁμιλοῦντος. Οὕτω μετὰ τὴν τοῦ Ζεφυρίνου τελευτὴν νομίζων τετυ|χηκέναι οὗ ἐθηρᾶτο, τὸν Σαβέλλιον ἀπέωσεν ὡς μὴ φρονοῦντα ὀρθῶς, δεδοικὼς ἐμὲ καὶ νομίζων οὕτω δύνασθαι ἀποτρίψασθαι τὴν πρὸς τὰς ἐκκλησίας κατηγορίαν, ὡς μὴ ἀλλοτρίως φρονῶν. Ἦν οὖν γόης καὶ πανοῦργος καὶ ἐπὶ χρόνῳ συνήρπασε πολλούς. Ἔχων δὲ καὶ τὸν ἰὸν ἐγκείμενον ἐν τῇ καρδίᾳ, καὶ εὐθέως μηδὲν φρονῶν, ἅμα δὲ καὶ αἰδούμενος τὰ ἀληθῆ λέγειν, διὰ τὸ δημοσίᾳ ἡμῖν ὀνειδίζοντα

50. *τετολμημένα*] *τολμημένα* C 52. *ἀπολύσιμον*] *ἀπολυσίμην* C M Bunsenius 57. Post *ἐπίτροπον* lacunam signavimus: *ἐπίτροπον ἀπολύειν* Bunsenius antea in ep. ad Harium data (*Hippolytus and his age* Vol. 1. p. 392. not.): *ἀπολύσεως* Bunsenius postea in *Analecta Ante-Nicaena* *θρέψας*] In *θρέψας* vocabulum latere videtur significans negligentiam (*un oubli*). M: *θρέψας altor*, ut *φύσας genitor* Roeperus, quocum consentiunt R. Scottus collato vocabulo *ὁ τρέσας*, et Bunsenius, qui antea in ep. ad Harium data coniecerat *φάσκων ἑαυτῷ μὲν τοῦτο ἐπιτρέψαι Μαρκίαν* 58. *τασσόμενος αὐτῷ τὸ ἀκίνδυνον*] *τὸ τασσόμενον, αὐτῷ δὲ εἶναι ἀκίνδυνον* Bunsenius antea l. l.: *πραξομέ-*

Sardinia essent martyres. Is autem cum omnium nomina traderet, Callisti non dedit, quia novit eius conatus. Marcia igitur compos facta sui voti per Commodum dimissionis litteras dat Hyacintho, spadoni cuidam presbytero, qui acceptis litteris in Sardiniam transnavigavit, et postquam eas illi, qui tunc temporis ei terrae praeerat, tradidit, dimisit martyres excepto Callisto. Is autem genua flectens lacrymansque supplicabat, ut et ipse dimissionem acciperet. Hyacinthus igitur precibus commotus postulat ut praeses [eum dimittat], dictitans se altorem esse Marciae, stipulans ei securitatem; ille autem persuasus dimisit et Callistum. Qui cum adesset, Victor molestissime ferebat quae facta erant, quoniam autem misericors erat, quietum se tenuit; cavens vero probra a multis facienda (non enim longo intervallo aberant eius conatus), cum etiam Carpophorus adversaretur, dimittit eum commoraturum Antii, definito ei menstruo aliquo ad victum. Cuius post obitum Zephyrinus, consecutus eum socium et ministrum ad reprimendum clerum, ornavit eum suo damno, et Antio traductum in coemeterio constituit. Cui cum semper adesset, et sicuti modo antea dixi, simulate eum coleret, perdidit virum, qui neque dicta iudicare poterat, neque Callisti insidias sentiebat, quippe qui omnia cum eo colloquebatur, quae illi grata erant. Sic post Zephyrini obitum arbitratus se esse nactum quod venabatur, Sabellium extrusit, utpote non recte sentientem, timens me et arbitrans se in hunc modum abstergere posse criminationem apud ecclesias, quasi non aliena sentiat. Erat igitur praestigiator et ad fraudem acutus et tempore procedente multos secum abripuit. Cum autem et virus cordi insitum haberet nihilque recte sentiret, simul vero etiam verecundaretur vera dicere, propterea quod coram populo nobis convicians dice-

νης (vel *ταξομένης*) *αὐτῷ τὸ ἀκίνδυνον* Bunsenius postea l. l. 61. *τὸν — ὄνειδον*] *τὸ — ὄνειδος*? 63. *Ἀνθείῳ*] Apud Steph. Byz. *Ἄνθεια — ἔστι καὶ Ἰταλίας Ῥώμης πλησίον, ἥτις καὶ Ἄντιον μετωνομάσθη.* 64. *ἐκτροφῆς*] *ἐκτροφῖς* pr. C: *ἐκτροφάς* corr C M Bunsenius *κύμησιν* C *συναράμενον*] . . *αράμενον* C duabus litteris exesis, quarum prior *σ* fuisse cognoscitur. M: *συναράμενον* = *ἀρηγόν*, socium. Bunsenius 65. *κατάστασιν*] *καταστασίασιν* susp. Sauppius 68. *ἐξηφάνισε* Roeperus: *ἐξεφάνισε* C M Bunsenius 76. *εὐθέως*] *εὐθέος* susp. R. Scottus

εἰπεῖν· δίθεοί ἐστε, ἀλλὰ καὶ διὰ τὸ ὑπὸ τοῦ Σαβελλίου συχνῶς κατηγορεῖσθαι ὡς παραβάντα τὴν πρώτην πίστιν, ἐφεῦρεν αἵρεσιν τοιάνδε, λέγων τὸν λόγον αὐτὸν εἶναι υἱόν, αὐτὸν καὶ πατέρα ὀνόματι μὲν καλούμενον, ἓν δὲ ὂν τὸ πνεῦμα ἀδιαίρετον· οὐκ ἄλλο εἶναι πατέρα, ἄλλο δὲ υἱόν, ἓν δὲ καὶ τὸ αὐτὸ ὑπάρχειν· καὶ τὰ πάντα γέμειν τοῦ θείου πνεύματος τά τε ἄνω καὶ κάτω· καὶ εἶναι τὸ ἐν τῇ παρθένῳ σαρκωθὲν πνεῦμα οὐχ ἕτερον παρὰ τὸν πατέρα, ἀλλὰ ἓν καὶ τὸ αὐτό. Καὶ τοῦτο εἶναι τὸ εἰρημένον· Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί; Τὸ μὲν γὰρ βλεπόμενον, ὅπερ ἐστὶν ἄνθρωπος, τοῦτο εἶναι τὸν υἱόν, τὸ δὲ ἐν τῷ υἱῷ χωρηθὲν πνεῦμα τοῦτο εἶναι τὸν πατέρα· οὐ γάρ, φησίν, ἐρῶ δύο θεούς, πατέρα καὶ υἱόν, ἀλλ᾽ ἕνα. Ὁ γὰρ ἐν αὐτῷ γενόμενος πατὴρ προσλαβόμενος τὴν σάρκα ἐθεοποίησεν ἑνώσας ἑαυτῷ, καὶ ἐποίησεν ἕν, ὡς καλεῖσθαι πατέρα καὶ υἱὸν ἕνα θεόν, καὶ τοῦτο ἓν ὂν πρόσωπον μὴ δύνασθαι εἶναι δύο, καὶ οὕτως τὸν πατέρα συμπεπονθέναι τῷ υἱῷ· οὐ γὰρ θέλει λέγειν τὸν πατέρα πεπονθέναι καὶ ἓν εἶναι πρόσωπον ... ἐκφυγεῖν τὴν εἰς τὸν πατέρα βλασφημίαν ὁ ἀνόητος καὶ | ποικίλος, ὁ ἄνω κάτω σκεδάζων βλασφημίας, ἵνα μόνον κατὰ τῆς ἀληθείας λέγειν δοκῇ, ποτὲ μὲν εἰς τὸ Σαβελλίου δόγμα ἐμπίπτων, ποτὲ δὲ εἰς τὸ Θεοδότου οὐκ αἰδεῖται. Τοιαῦτα ὁ γόης τολμήσας συνεστήσατο διδασκαλεῖον κατὰ τῆς ἐκκλησίας οὕτως διδάξας, καὶ πρῶτος τὰ πρὸς τὰς ἡδονὰς τοῖς ἀνθρώποις συγχωρεῖν ἐπενόησε, λέγων πᾶσιν ὑπ᾽ αὐτοῦ ἀφίεσθαι ἁμαρτίας. Ὁ γὰρ παρ᾽ ἑτέρῳ τινὶ συναγόμενος καὶ λεγόμενος Χριστιανὸς εἴ τι ἂν ἁμάρτῃ, φασίν, οὐ λογίζεται αὐτῷ ἡ ἁμαρτία, εἰ προσδράμοι τῇ τοῦ Καλλίστου σχολῇ. Οὗ τῷ ὅρῳ ἀρεσκόμενοι πολλοὶ συνείδησιν πεπληγότες ἅμα τε καὶ ὑπὸ πολλῶν αἱρέσεων ἀποβληθέντες, τινὲς δὲ καὶ ἐπὶ καταγνώσει ἔκβλητοι τῆς ἐκκλησίας ὑφ᾽ ἡμῶν γενόμενοι, προσχωρήσαντες αὐτοῖς ἐπλήθυναν τὸ διδασκαλεῖον αὐτοῦ. Οὗτος ἐδογμάτισεν ὅπως εἰ ἐπίσκοπος ἁμάρτοι τι, εἰ καὶ πρὸς θάνα-

79. *παραβάντα*] *παραβάντος* C M, qui ante *ὡς* subaudiendum putat *αὐτοῦ* 81. Excidisse aliquid h. l. potius quam depravatum esse putat M *ὂν τὸ*] Fort. *ὄντα* secundum Bunsenium, sed non necessarium videtur esse 82. *οὐκ ἄλο* C 83. *γεμεῖν* C 86. 87. Ev. Io. 14, 11. *πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί·* 94. *συνπεπονθέναι* C 95. Ante *ἐκφυγεῖν* quae-

bat: *dithei estis*, verum etiam propterea quod a Sabellio continenter accusabatur, tamquam primam fidem migraverit, adinvenit talem quandam haeresin, dicens logum ipsum esse filium, eundem etiam patrem nomine quidem vocatum, re vera autem unum esse spiritum indivisum; non aliud esse patrem, aliud filium, sed unum et idem esse, omniaque esse repleta divino spiritu et superiora et inferiora, spiritumque in virgine carne indutum non esse aliud atque patrem, sed unum idemque. Et hoc esse id quod dictum est: *Non credis quia ego in patre et pater in me est?* Visibile enim, quod quidem est homo, filium esse, spiritum autem, qui in filium cesserit, esse patrem; non enim, inquit, profitebor duo deos, patrem et filium, sed unum. Pater enim, qui in eo extitit, carnem postquam assumpsit, deificavit sibi unitum et fecit unum, ita ut pater et filius vocetur unus deus, et hanc personam, cum una sit, non posse esse duas, et sic patrem compassum esse cum filio; non enim dicere vult patrem esse passum unamque esse personam, ut effugiat blasphemiam in patrem insipidus iste vaferque, qui sursum deorsum spargens blasphemias, modo ut contra veritatem loqui videatur, tum in Sabellii doctrinam incidens, tum in Theodoti non erubescit. Talia conatus praestigiator ille scholam constituit adversus ecclesiam ita docendo, et primus ea, quae ad voluptates faciunt, hominibus concedere ausus est, dicens omnibus a semet dimitti peccata. Nam si forte qui apud alium quem congregatur et Christianus vocatur quid peccaverit, aiunt, non imputatur ei peccatum, modo Callisti scholae accedat. Cuius definitionem amplectentes multi, conscientia morsi simulque etiam a multis sectis reiecti, nonnulli vero et per condemnationem a nobis ex ecclesia eiecti, ad eos transgressi eius scholam repleverunt. Hic praecepit, tametsi episcopus peccet, etiamsi ad mortem, eum non oportere loco suo moveri. Huius aetate inceperunt episcopi et

dam omissa esse apparet. M: *οὕτω πως ἐλπίζων* supplevit Bunsenius: Fort. excidit *ὡς* 96. *ὃς ἄνω?* 96. 97. *σκεδάζων* R. Scottus Bunsenius: *σχεδιάζων* C M 98. 99. Cf. infra l. X. c. 27. p. 330, 58. 59. ed. Ox., ubi loco Sabellii nomen Noëti legitur 2. *συγχωρεῖν*] *συγχαρεῖν* C 4. *εἴ τι*] *ὅ τι* susp. M 8. *ἔκβλητοι*] *ἔκκλητοι* C

τον, μὴ δεῖν κατατίθεσθαι. Ἐπὶ τούτου ἤρξαντο ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι δίγαμοι καὶ τρίγαμοι καθίστασθαι εἰς κλήρους· εἰ δὲ καί τις ἐν κλήρῳ ὢν γαμοίη, μένειν τὸν τοιοῦτον ἐν τῷ κλήρῳ ὡς μὴ ἡμαρτηκότα· ἐπὶ τούτῳ φάσκων εἰρῆσθαι τὸ ὑπὸ τοῦ ἀποστόλου ῥηθέν· Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Ἀλλὰ καὶ παραβολὴν τῶν ζιζανίων πρὸς τοῦτο ἔφη λέγεσθαι· Ἄφετε τὰ ζιζάνια συναύξειν τῷ σίτῳ, τουτέστιν ἐν τῇ ἐκκλησίᾳ τοὺς ἁμαρτάνοντας. Ἀλλὰ καὶ τὴν κιβωτὸν τοῦ Νῶε εἰς ὁμοίωμα ἐκκλησίας ἔφη γεγονέναι, ἐν ᾗ καὶ κύνες καὶ λύκοι καὶ κόρακες καὶ πάντα τὰ καθαρὰ καὶ ἀκάθαρτα· οὕτω φάσκων δεῖν εἶναι ἐν ἐκκλησίᾳ ὁμοίως· καὶ ὅσα | πρὸς τοῦτο δυνατὸς ἦν συνάγειν οὕτως ἡρμήνευσεν, οὗ οἱ ἀκροαταὶ ἡσθέντες τοῖς δόγμασι διαμένουσιν ἐμπαίζοντες ἑαυτοῖς τε καὶ πολλοῖς, ὧν τῷ διδασκαλείῳ συῤῥέουσιν ὄχλοι. Διὸ καὶ πληθύνονται, γαυριώμενοι ἐπὶ ὄχλοις διὰ τὰς ἡδονάς, ἃς οὐ συνεχώρησεν ὁ Χριστός· οὗ καταφρονήσαντες οὐδὲν ἁμαρτεῖν κωλύουσι, φάσκοντες αὐτὸν ἀφιέναι τοῖς εὐδοκοῦσι. Καὶ γὰρ καὶ γυναιξὶν ἐπέτρεψεν, εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ γε ἐκκαίοιντο ἀναξίᾳ, ἢ ἑαυτῶν ἀξίαν μὴ βούλοιντο καθαιρεῖν διὰ τὸ νομίμως γαμηθῆναι, ἔχειν ἕνα ὃν ἂν αἱρήσωνται σύγκοιτον, εἴτε οἰκέτην, εἴτε ἐλεύθερον, καὶ τοῦτον κρίνειν ἀντὶ ἀνδρὸς μὴ νόμῳ γεγαμημένην. Ἔνθεν ἤρξαντο ἐπιχειρεῖν πισταὶ λεγόμεναι ἀτοκίοις φαρμάκοις καὶ περιδεσμεῖσθαι πρὸς τὸ τὰ συλλαμβανόμενα καταβάλλειν, διὰ τὸ μήτε ἐκ δούλου βούλεσθαι ἔχειν τέκνον μήτε ἐξ εὐτελοῦς, διὰ τὴν συγγένειαν καὶ ὑπέρογκον οὐσίαν. Ὁρᾶτε εἰς ὅσην ἀσέβειαν ἐχώρησεν ὁ ἄνομος μοιχείαν καὶ φόνον ἐν τῷ αὐτῷ διδάσκων· καὶ ἐπὶ τούτοις τοῖς τολμήμασιν

13. ὢν γαμοίη] ὢν γνώμη C 15. 16. Rom. 14, 4. 16. 17. πρὸς τοῦτο] πρὸς τούτῳ C Bunsenius 17. 18. Cf. Matth. 13, 29. 30. Οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον· ἄφετε συναυξάνεσθαι ἀμφότερα ἕως τοῦ θερισμοῦ. 21. Ante ὁμοίως distinguitur in C. M 23. ἐμπέζοντες C 24. διδασκαλείων C 26. οὐδὲν] οὐδένα Bunsenius 27. αὐτὸν] αὐτῷ C: αὐτοὺς Bunsenius 28—30. εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ τε τε καίοντα ἐναξία ἡ ἑαυτῶν ἀξίαν ἣν μὴ βούλοιντο καθαίρειν. Διὰ τοῦτο νομίμως γαμηθῆναι ἔχει ἕνα C M, qui, nisi gravior corruptio insit, post ἐπέτρεψεν supplendum esse putat ἁμαρτεῖν et scribendum: ἡλικίᾳ καίοιντο αἱ ἐν ἀξίᾳ, τὴν ἑαυτῶν ἀξίαν ἣν (sive potius εἰ) μὴ βούλοιντο καθαιρεῖν: εἰ ἄνανδροι εἶεν καὶ ἡλικιώτῃ καίοιντο ἀναξίῳ, ἢ ἑαυτῶν ἀξίαν μὴ βούλοιντο

presbyteri et diaconi bigami et trigami in ordines adscisci. Verum etiam si quis in ordine constitutus matrimonium ineat, manere talem hominem in ordine quasi non peccaverit; de hoc perhibens dictum esse, quod ab apostolo dictum est: *Tu quis es qui iudices alienum servum?* Verum etiam parabolam de zizaniis ad hoc pertinere: *Sinite zizania crescere cum tritico,* hoc est in ecclesia peccantes. Verum etiam arcam Noachi in similitudinem ecclesiae dixit factam esse, in qua canes et lupi et corvi omniaque munda immundaque fuerint, sic dictitans in ecclesia oportere esse consimiliter; et quaecunque ad hoc congerere poterat, in hunc modum interpretatus est. Cuius auditores delectati placitis permanent illudentes et sibimet ipsis et multis, quorum turbae ad scholam illam confluunt. Propterea et augentur superbientes turbis propter voluptates, quas non permisit Christus, quo contempto nullum peccatum prohibent, dictitantes eum ignoscere volentibus. Etenim et mulieribus permisit, ut, si innuptae essent flagrarentque amore aetate indigna, vel dignitatem suam perdere nollent legitimo matrimonio, haberent unum, quemcunque elegerint, concubinum, sive servum sive liberum, eumque haberet pro marito non legitime nupta. Exinde mulieres, quae dicebantur fideles, medicamenta tentare coeperunt, quae steriles faciunt, fasciasque ad partus abigendos, propterea quod nolebant e servo infantem habere neque e viro tenuiore propter gentilitatem nimiamque rem familiarem. Videte, quoad impietatis processerit improbus ille adulterium caedémque simul docendo;

καθαίρειν, διὰ τοῦτο νομίμως γαμηθῆναι ἐκείνῳ ὃν ἂν αἱρήσωνται σύγκοιτον Wordsworthius: *εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ γε ἐκκαίοιντο (ἀνάξιαι αἳ ἑαυτῶν ἀξίαν μὴ βούλοιντο καθαιρεῖν), διὰ τοῦτο νομίμως γαμηθῆναι ἔχει ἑνὶ ὃν ἂν αἱρήσωνται κ. τ. λ.* Bunsenius: *εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ καίονται* (s. *καίοιντο*), *ἀναξία, τὴν ἑαυτῶν ἀξίαν ἣν μὴ βούλοιντο καθαίρειν. Διὰ κ. τ. λ.* I. Doellingerus in libro *Hippolytus und Kallistus; oder die Roemische Kirche in der ersten Haelfte des dritten Jahrhunderts. Regensburg 1853.*: *εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ τινὸς καίοιντο ἀναξίου τῆς ἑαυτῶν ἀξίας, ἣν μὴ βούλοιντο καθαιρεῖν διὰ τοῦτο, νομίμως γαμηθῆναι ἔχειν κ. τ. λ.* Roeperus 32. *ἤρξατο* C 33. *ἀτοκίοις φαρμάκοις καὶ περιδεσμεῖσθαι*] *ἀτοκίᾳ περιδεσμεῖσθαι καὶ φαρμάκοις* C M: *ἀτοκίοις φαρμάκοις καὶ τῷ περιδεσμεῖσθαι* Bunsenius: *ἐπ' ἀτοκίᾳ περιδεσμεῖσθαι* (amuletis) *καὶ φαρμακεύεσθαι* Roeperus 37. *τολμήσασιν* C

ἑαυτοὺς οἱ ἀπηρυθριασμένοι καθολικὴν ἐκκλησίαν ἀποκαλεῖν ἐπιχειροῦσι, καί τινες νομίζοντες εὖ πράττειν συντρέχουσιν αὐτοῖς. Ἐπὶ τούτου πρώτως τετόλμηται δεύτερον αὐτοῖς βάπτισμα. Ταῦτα μὲν οὖν ὁ θαυμασιώτατος Κάλλιστος συνεστήσατο, οὗ διαμένει τὸ διδασκαλεῖον φυλάσσον τὰ ἔθη καὶ τὴν παράδοσιν, μὴ διακρῖνον, τίσι δεῖ κοινωνεῖν, πᾶσι δ' ἀκρίτως προσφέρον τὴν κοινωνίαν· ἀφ' οὗ καὶ τὴν τοῦ ὀνόματος μετέσχον ἐπίκλησιν κα|λεῖσθαι διὰ τὸν πρωτοστατήσαντα τῶν τοιούτων ἔργων Κάλλιστον Καλλιστιανοί.

13. Τούτου κατὰ πάντα τὸν κόσμον διηχηθείσης τῆς διδασκαλίας, ἐνιδὼν τὴν πραγματείαν ἀνὴρ δόλιος καὶ ἀπονοίας γέμων, Ἀλκιβιάδης τις καλούμενος, οἰκῶν ἐν Ἀπαμείᾳ τῆς Συρίας, γοργότερον ἑαυτὸν καὶ εὐφυέστερον ἐν κυβείαις κρίνας τοῦ Καλλίστου, ἐπῆλθε τῇ Ῥώμῃ φέρων βίβλον τινά, φάσκων ταύτην ἀπὸ Σηρῶν τῆς Παρθίας παρειληφέναι τινὰ ἄνδρα δίκαιον Ἠλχασαΐ, ἣν παρέδωκέ τινι λεγομένῳ Σοβιαΐ, χρηματισθεῖσαν ὑπὸ ἀγγέλου, οὗ τὸ ὕψος σχοίνων κ̅δ̅, ὃ γίνεται μίλια ϟ̅ϛ̅, τὸ δὲ πλάτος αὐτοῦ σχοίνων δ̅, καὶ ἀπὸ ὤμου εἰς ὦμον σχοίνων ϛ̅, τὰ δὲ ἴχνη τῶν ποδῶν αὐτοῦ ἐπὶ μῆκος σχοίνων γ̅ ἡμίσους, ἃ γίνεται μίλια δεκατέσσαρα, τὸ δὲ πλάτος σχοίνου ἑνὸς ἡμίσους, τὸ δὲ ὕψος ἡμισχοινίου. Εἶναι δὲ σὺν αὐτῷ καὶ θήλειαν, ἧς τὰ μέτρα κατὰ τὰ προειρημένα εἶναι λέγει· καὶ τὸν μὲν ἄρσενα υἱὸν εἶναι τοῦ θεοῦ, τὴν δὲ θήλειαν καλεῖσθαι ἅγιον πνεῦμα. Ταῦτα τερατολογῶν νομίζει ταράσσειν τοὺς μωρούς, λέγων λόγον τοῦτον· εὐηγγελίσθαι τοῖς ἀνθρώποις καινὴν ἄφεσιν ἁμαρτιῶν ἐπὶ Τραϊανοῦ βασιλείας τρίτῳ, καὶ βάπτισμα ὁρίζει, ὃ καὶ αὐτὸ διηγήσομαι, φάσκων τοὺς ἐν πάσῃ ἀσελγείᾳ καὶ μιασμῷ καὶ ἀνομήμασιν ἐμφυρέντας, εἰ καὶ πιστὸς εἴη, ἐπιστρέψαντα καὶ τῆς βίβλου κατακούσαντα καὶ πιστεύσαντα, ὁρίζει

38. *ἀπερυθριασμένοι* C 39. 40. *αὐτοῖς*] *τούτοις* Roeperus 40. *τετόλμηται*] Litterae *όλμ* in C exesae. M *βάπτησμα* C 43. *πᾶσι δ' ἀκρίτως*] *πᾶσιν ἀκρίτως* C *προσφέρων* C M 47. Cum sequentibus Capp. 13—17. cf. Epiphan. *Haer.* XIX. XXX, 17. LIII. Origen. apud Euseb. *H. E.* VI, 38. Theodoret. *Haer fab.* II, 7 et quae nuper de secta Elcesaïtarum disputavit A. Ritschl in *Zeitschrift für die historische Theologie, herausgegeben von Dr. Christ. Wilh. Niedner. Jahrgang 1853. Heft 4.* p. 573 sqq. 49. *ἀλκηβιάδης* C 52. *ἀποσηρῶν* C 53. *Ἠλχασαΐ*] *Ἠλξαΐ* Epiphanius: *Ἐλκεσαΐ* Theodoretus, quocum consentire videtur Origenes, a quo secta appellatur *ἡ τῶν Ἐλ-*

et inter haec conamina impudentes illi catholicam ecclesiam semet appellare aggrediuntur, nonnullique rem bene geri arbitrantes eis adstipulantur. Huius aetate primo baptismus iteratus ab iis tentatus est. Haec igitur mirificentissimus Callistus condidit, cuius schola permanet custodiens mores traditionemque, non discernens, quibuscum oporteat communicare, sed omnibus sine discrimine communionem afferens: a quo etiam cognominis traxerunt nuncupationem, ut propter antesignanum harum rerum Callistum appellarentur Callistiani.

13. Huius viri doctrina per totum mundum divulgata, vir quidam astutus et pravitatis plenus, cui nomen Alcibiadis, habitans Apameae Syriae, postquam machinationem vidit, acriorem semet et ingeniosiorem ad fraudulentias quam Callistum ratus, prodiit Romae ferens librum, dictitans hunc ex oppido Seris Parthiae accepisse virum quendam iustum Elchasaï, quem tradiderit cuidam, cui nomen Sobiaï, suggestum ab angelo, cuius altitudo viginti quattuor schoenorum, quod efficit nonaginta sex milliaria, eius latitudo autem schoenorum quattuor, et ab humero ad humerum schoenorum sex; vestigia autem pedum eius in longitudinem schoenorum trium et dimidii, quae efficiunt quattuordecim milliaria, latitudo autem schoeni unius et dimidii, altitudo autem schoeni dimidiati. Esse autem cum eo et femineam, cuius modulos cum iis, quae modo dicta sunt, convenire ait; et masculum esse filium dei, femineam autem spiritum sanctum appellari. Haec miraculosa enarrans arbitratur se stultos obruere dicens hanc vocem: annunciatam esse hominibus novam remissionem peccatorum anno Traiani regnantis tertio, et baptismum definit, quem et ipsum enarrabo, dictitans eos, qui omni lasciviae et immunditiae et sceleribus immixti sint, etiamsi fidelis sit, ubi sit conversus et

κεσαϊτῶν (al. Ἐλκεσαϊτῶν) αἵρεσις 54—56. σχοίνων Roeperus: σχοινίων C M Bunsenius 58. ἡμισχοινίου Roeperus: ἡμισχοίνου C M Bunsenius 62. λέγων λόγον R. Scottus: λέγων, λέγων C: λέγων M Bunsenius 64. αὐτὸ] αὐτῷ C ἀσεγεία C 65. εἰ καὶ πιστὸς εἴη] Vocis πιστὸς litteras στο in C exesas esse dicit M, qui addendum censet τις: ὡς πιστοὺς εἶναι, καὶ Bunsenius: εἴ τις πιστὸς εἴη susp. Sauppius 65. 66. ἐπιστρέψαντα] ἐπιτρέψαντα C: ἐπιστρέψαντας Ritschl l. l. 66. κατακούσαντα] ἀκούσαντα Bunsenius: κατακούσαντας Ritschl πιστεύσαντα ὁρίζει] πιστεύσαντας Ritschl

βαπτίσματι λαμβάνειν ἄφεσιν ἁμαρτιῶν. Ταῦτα δὲ ἐτόλμησε τεχνάσαι τὰ πανουργήματα ἀπὸ τοῦ προειρημένου δόγματος ἀφορμὴν λαβών, οὗ προεστήσατο Κάλλιστος. Ἡδομένους | γὰρ κατανοήσας πολλοὺς ἐπὶ τοιαύτῃ ἐπαγγελίᾳ εὐκαίρως ἐνόμισεν ἐπιχειρεῖν. Καὶ τούτῳ δὲ ἡμεῖς ἀντιστάντες οὐκ εἰάσαμεν ἐπιπολὺ πλανηθῆναι πολλούς, ἐλέγξαντες εἶναι τοῦτο πνεύματος νόθου ἐνέργειαν καὶ ἐπίνοιαν πεφυσιωμένης καρδίας, καὶ τοῦτον λύκου δίκην ἐπεγηγερμένον πλανωμένοις προβάτοις πολλοῖς, ἃ ἀποπλανῶν διεσκόρπισεν ὁ Κάλλιστος. Ἀλλ' ἐπεὶ ἠρξάμεθα, καὶ τὰ τούτου δόγματα οὐ σιωπήσομεν· εἰς φανερόν τε ἀγαγόντες πρότερον τὸν βίον, καὶ δείξαντες τὴν νομιζομένην ἄσκησιν προσποιητὴν ὑπάρχουσαν, αὖθις καὶ τῶν ῥητῶν κεφάλαια παραθήσομαι, ἵνα τοῖς αὐτοῦ ἐγγράφοις ὁ ἐντυγχάνων ἐνατενίσας ἐπιγνοίη, τίς καὶ ὁποία εἴη ἡ τούτῳ τετολμημένη αἵρεσις.

14. *Οὗτος νόμου πολιτείαν προβάλλεται δελεάσματος δίκην, φάσκων δεῖν περιτέμνεσθαι καὶ κατὰ νόμον ζῆν τοὺς πεπιστευκότας, ἀποσπῶν τινα τῶν προειρημένων αἱρέσεων. Τὸν Χριστὸν δὲ λέγει ἄνθρωπον κοινῶς πᾶσι γεγονέναι, τοῦτον δὲ οὐ νῦν πρώτως ἐκ παρθένου γεγεννῆσθαι, ἀλλὰ καὶ πρότερον, καὶ αὖθις πολλάκις γεννηθέντα καὶ γεννώμενον πεφηνέναι καὶ φύεσθαι, ἀλλάσσοντα γενέσεις καὶ μετενσωματούμενον, ἐκείνῳ τῷ Πυθαγορείῳ δόγματι χρώμενος. Τοσοῦτον δὲ πεφυσίωνται, ὡς καὶ προγνωστικοὺς ἑαυτοὺς λέγειν, δηλονότι μέτροις καὶ ἀριθμοῖς τῆς προειρημένης Πυθαγορείου τέχνης ἀφορμαῖς χρωμένους. Οὗτοι καὶ μαθηματικοῖς καὶ ἀστρολογικοῖς καὶ μαγικοῖς προσέχουσιν ὡς ἀληθέσι, καὶ τούτοις χρώμενοι ταράσσουσι τοὺς ἄφρονας νομίζειν αὐτοὺς λόγου δυνατοῦ μετέχειν· ἐπαοιδάς τε καὶ | ἐπιλόγους τινὰς διδάσκουσι πρός τε κυνοδήκτους καὶ δαιμονιῶντας καὶ ἑτέραις νόσοις κατεχομένους, ὧν οὐδὲ ταῦτα σιωπήσομεν. Ἱκανῶς οὖν τὰς ἀρχὰς αὐτῶν διηγησάμενος τάς τε αἰτίας τῶν τολμημάτων, παρελεύσομαι ἐπιδιηγησόμενος τὰ ἔγγραφα, δι' ὧν εἴσονται οἱ ἐντυγχάνοντες τόν τε λῆρον καὶ τὰ ἄθεα αὐτῶν ἐπιχειρήματα.*

67. *ἄφεσιν*] *ἄφεσιν ἄφεσιν* C 69. *προεστήσατο* Bunsenius: *παρεστήσατο* C M 70. *ἐνόμησεν* C 72. *πλανηθῆναι πολλούς,*] *πλανηθῆναι, πολλοὺς* C *ἐλλέγξαντες* C 75. *ἃ ἀποπλανῶν*] *ἀποπλανῶν* C Bunsenius 76. *φανερὸν τί* C: *φανερὸν δὲ* susp. Sauppius 77. *καὶ δείξαντες*] *δείξαντες καὶ* C Bunsenius 85. *γεγενῆσθαι* C 89.

libro obediverit et crediderit, definit ut baptismo accipiat remissionem peccatorum. Hos autem dolos nectere conatus est, occasionem nactus a schola antea dicta, cui praefuit Callistus. Multos enim cum animadverterit tali promissione captos, opportunum arbitratus est rem aggredi. Et nos vero, qui huic restitimus, non sivimus diutius seduci multos, cum coargueremus, esse hoc spiritus spurii efficaciam commentumque cordis inflati, istumque instar lupi excitatum esse adversus oves errantes multas, quas seducendo dispersit Callistus. Sed quoniam initium fecimus, neque huius placita silebimus; et ubi prius vitae rationem in lucem protulerimus ostenderimusque studium pietatis, quod putatur, esse simulatum, rursus etiam dictorum eius praecipua capita iuxta ponam, ut in eius scriptis lector oculis defixis cognoscat, quae et qualis sit haeresis ab hoc tentata.

14. Hic legis disciplinam praetendit blandimenti gratia, dictitans oportere circumcidi et legi convenienter vivere eos, qui crediderint, avellens nonnulla ex haeresibus supra dictis. Christum vero ait hominem eodem modo quo universos homines factum esse, hunc autem non nunc primo e virgine esse natum, sed etiam prius, et rursus pluries natum eum et nascentem apparuisse et existere, commutantem genituras et in alia corpora migrantem, Pythagoreo illo dogmate usus. Eo autem superbiae venerunt, ut et futuri praescios sese dicant, scilicet modulis numerisque artis modo dictae Pythagoreae tamquam fundamento usi. Hi etiam mathematicis et astrologicis et magicis sese applicant velut certis, quibus usi imprudentes perturbant, ut ipsos verbi potentis compotes esse arbitrentur; incantationesque et epilogos quosdam docent ad eos, qui a canibus morsi sunt, et ad daemoniacos aliisque morbis conflictatos, quorum ne haec quidem silebimus. Postquam igitur satis origines eorum exposui causasque conatuum, transeam adhuc enarraturus scripta, per quae cognoscent lectores et nugas illas et impia eorum molimina.

δηλονότι] *δῆλον* C   90. *ἀφορμαῖς*] *ἀφορμᾶς* pr C: *ἀφορμὰς* corr C   93. *νομίζειν*] An *ὡς νομίζειν*, ut iam M coniecit?   97. *ἐπιδιηγησόμενος*] *ἐπιδιηγησάμενος* C M

15. *Τὸ μὲν οὖν βάπτισμα τοῖς ἀπ' αὐτ ..... ένοις οὕτως παραδίδωσι, τοιάδε λέγων τοῖς ἀπατωμένοις· Εἴ τις οὖν, τέκνα, ἐπλησίασεν οἱῳδήποτε ζῴῳ ἢ ἄρρενι ἢ ἀδελφῇ ἢ θυγατρί, ἢ ἐμοίχευσεν ἢ ἐπόρνευσε, καὶ θέλει ἄφεσιν λαβεῖν τῶν ἁμαρτιῶν, ἀφ' οὗ ἂν ἀκούσῃ τῆς βίβλου ταύτης, βαπτισάσθω ἐκ δευτέρου ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου θεοῦ καὶ ἐν ὀνόματι υἱοῦ αὐτοῦ, τοῦ μεγάλου βασιλέως, καὶ καθαρισάτω καὶ ἁγνευσάτω καὶ ἐπιμαρτυρησάσθω ἑαυτῷ τοὺς ἑπτὰ μάρτυρας γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ, τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν. Ταῦτα τὰ θαυμάσια μυστήρια τοῦ Ἠλχασαΐ τὰ ἀπόρρητα καὶ μεγάλα, ἃ παραδίδωσι τοῖς ἀξίοις μαθηταῖς· οἷς οὐκ ἀρκεῖται ὁ ἄνομος, ἀλλ' ἐπὶ δύο καὶ τριῶν μαρτύρων ἐνσφραγίζει τὰ ἑαυτοῦ κακά, πάλιν οὕτως λέγων· Πάλιν λέγω, ὦ μοιχοὶ καὶ μοιχαλίδες καὶ ψευδοπροφῆται, ἐὰν θέλητε ἐπιστρέψαι ἵνα ἀφεθήσωνται ὑμῖν αἱ ἁμαρτίαι, καὶ ὑμῖν εἰρήνη καὶ μέρος μετὰ τῶν δικαίων, ἀφ' οὗ ἂν ἀκούσητε τῆς βίβλου ταύτης καὶ βαπτισθῆτε ἐκ δευτέρου σὺν τοῖς ἐνδύμασιν. Ἀλλ' ἐπεὶ ἐπαοιδαῖς τούτους εἴπομεν χρῆσθαι ἐπί τε κυνοδήκτων καὶ ἑτέρων, δείξομεν· λέγει δὲ οὕτως· Ἄν τιν' οὖν ἄνδρα ἢ γυναῖκα ἢ νεώτερον | ἢ νεωτέραν κύων λυσσῶν καὶ μαινόμενος, ἐν ᾧ ἐστι πνεῦμα διαφθορᾶς, δάκῃ ἢ περισχίσῃ ἢ προσψαύσῃ, ἐν αὐτῇ τῇ ὥρᾳ δραμέτω σὺν παντὶ τῷ φορέματι καὶ καταβὰς εἰς ποταμὸν ἢ εἰς πηγήν, ὅπου ἂν ᾖ τόπος βαθύς, βαπτισάσθω [σὺν] παντὶ τῷ φορέματι αὐτοῦ καὶ προσευξάσθω τῷ μεγάλῳ καὶ ὑψίστῳ θεῷ ἐν καρδίας πίστει, καὶ τότε ἐπιμαρτυρησάσθω τοὺς ἑπτὰ μάρτυρας τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ. Ἰδοὺ μαρτύρομαι τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν. Τούτους τοὺς ἑπτὰ*

1. *ἀπ' αὐτ . . . . . ένοις*] *ὑπ' αὐτοῦ ἀπαγομένοις* R. Scottus: *ὑπ' ἑαυτοῦ ἀγομένοις* vel *ἀπ' αὐτοῦ γενομένοις?* 2. 3. *οὖν, τέκνα, πλησίασεν οἱῳδήποτε* R. Scottus: *οὖν τέκνα πλησιάσει, ἢ οἱοδήποτε* C: *οὖν τεκνίῳ πλησιάσει, ἢ οἱῳδ.* coni. M: *οὖν τέκνῳ ἐπλησίασεν, ἢ οἱῳδ.*

15. Baptismum igitur gregalibus suis in hunc modum tradit, talia quaedam dicens seductis: *Si quis igitur, filii, coivit cum qualicunque bestia vel masculo vel sorore vel filia, vel adulteravit vel scortatus est, vultque remissionem peccatorum nancisci, immergitor iterum in nomine magni et altissimi dei et in nomine filii eius, magni regis, et purgator et mundator et contestator sibi septem istos testes in hoc libro scriptos: caelum et aquam et spiritus sanctos et angelos precationis et oleum et salem et terram.* Ea sunt mirifica mysteria Elchasaï arcana illa magnaque, quae tradit dignis discipulis; in quibus haud acquiescit impius iste, sed coram duobus tribusque testibus consignat mala sua rursus ita dicendo: *Rursus aio, o adulteri et adulterae et pseudoprophetae, si converti vultis, ut peccata vobis remittantur: et vobis pax erit et sors cum iustis, simulac primum hunc librum audiveritis et iterum immersi fueritis cum indumentis vestris.* Sed quoniam incantationibus illos uti diximus ad eos, qui a canibus morsi sunt, aliosque, ostendemus: ait autem in hunc modum: *Si igitur quem virum vel mulierem vel adolescentem vel puellam canis rabiosus et furens, in quo est spiritus perniciei, momorderit vel vestes disciderit vel attigerit, currito eadem hora cum toto vestitu et ubi descenderit in fluvium vel in fontem, ubivis sit locus profundus, immergitor cum toto vestitu suo et preces facito ad magnum altissimumque deum ex cordis fide, tumque contestator septem illos in hoc libro scriptos testes: Ecce contestor caelum et aquam et spiritus sanctos et angelos precationis et oleum et salem et terram. Septem hos testes*

Roeperus 5. *ἀφ' οὗ*] *ἀφ' ἧς* C M Sicuti nos correxerunt etiam Roeperus et R. Scottus. Cf. lin. 19 7. *αὐτοῦ, τοῦ*] *αὐτοῦ* C M *καὶ καθαρισάτω*] *καθαρισάτω* C M 10—12. Cf. Epiphan. Haer. XIX, 1: *ποτὲ δὲ πάλιν ἄλλους μάρτυρας ἑπτὰ ὁρισάμενος, τὸν οὐρανὸν φημί, καὶ τὸ ὕδωρ, καὶ πνεύματα φησίν, καὶ ἁγίους τοὺς ἀγγέλους τῆς προσευχῆς, καὶ τὸ ἔλαιον, καὶ τὸ ἅλας, καὶ τὴν γῆν.* 13. *ἐλχασωί* C 17. *θέλετε* C 21. *ἐνδύμασιν*] *λύμασιν* susp. Ritschl l. l. 23. *Ἄν τιν' οὖν*] *Ἄν τινῶν* C M: *Ὅντιν' οὖν* R. Scottus 25. *περισχίσῃ*] Cod. *περι..ίσῃ* cum parvo ductu, qui videtur ultima pars litterae *χ*. M: *περισχάσῃ* Roeperus 27. *ὅπου ἂν*] *ὅπου ἐὰν* C M 28. *σὺν*] om C M 29. *προσευξάσθω*] *προσδεξάσθω* C 30. *ἐπιμαρτυρήσθω* C 32. 33. Voc. *πνεύματα* lacuna absorptum. M

μάρτυρας μαρτύρομαι, ὅτι οὐκέτι ἁμαρτήσω, οὐ μοιχεύσω, οὐ κλέψω, οὐκ ἀδικήσω, οὐ πλεονεκτήσω, οὐ μισήσω, οὐκ ἀθετήσω, οὐδὲ ἐν πᾶσι πονηροῖς εὐδοκήσω. Ταῦτα οὖν εἰπὼν βαπτισάσθω σὺν παντὶ τῷ φορέματι αὐτοῦ ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου θεοῦ.

16. Ἕτερα δὲ πλεῖστα φλυαρεῖ, ταὐτὰ καὶ ἐπὶ φθισικοῖς ἐπιλέγειν διδάσκων καὶ βαπτίζεσθαι ἐν ψυχρῷ τεσσαρακοντάκις ἐπὶ ἡμέρας ἑπτὰ ὁμοίως καὶ ἔτι δαιμονῶντας. Ὢ σοφίας ἀμιμήτου καὶ ἐπαοιδῶν δυνάμεων μεμεστωμένων! Τίς οὐκ ἐκπλαγήσεται τῇ τοιαύτῃ καὶ τοσαύτῃ δυνάμει τῶν λόγων; Ἀλλ' ἐπειδὴ καὶ ἀστρολογικῇ πλάνῃ κεχρῆσθαι αὐτοὺς ἔφημεν, ἐξ αὐτῶν δείξομεν· φησὶ γὰρ οὕτως· Εἰσὶν ἀστέρες πονηροὶ τῆς ἀσεβείας. Τοῦτο νῦν ὑμῖν εἴρηται, εὐσεβεῖς καὶ μαθηταί· φυλάσσεσθε ἀπὸ τῆς ἐξουσίας τῶν ἡμερῶν ἀρχῆς αὐτῶν καὶ μὴ ποιεῖτε τὴν καταρχὴν τῶν ἔργων ἐν ταῖς ἡμέραις | αὐτῶν, καὶ μὴ βαπτίζετε ἄνδρα ἢ γυναῖκα ἐν ταῖς ἡμέραις τῆς ἐξουσίας αὐτῶν, ὁπόταν διαπορεύηται ἐξ αὐτῶν ἡ σελήνη καὶ συνοδεύῃ αὐτοῖς. Αὐτὴν τὴν ἡμέραν φυλάσσεσθε, ἕως οὗ ἐκπορεύεται ἀπ' αὐτῶν, καὶ τότε βαπτίζετε καὶ ἐνάρχεσθε ἐν πάσῃ ἀρχῇ τῶν ἔργων ὑμῶν. Ἔτι δὲ τιμήσατε τὴν ἡμέραν τοῦ σαββάτου, ἐπειδή ἐστιν ἡμέρα μία ἐξ αὐτῶν. Ἀλλὰ καὶ τὴν τρίτην σαββάτου φυλάσσεσθε μὴ κατάρχεσθαι, ἐπειδὴ πάλιν πληρουμένων τριῶν ἐτῶν Τραϊανοῦ Καίσαρος, ἀφότε ὑπέταξεν ἑαυτοῦ τῇ ἐξουσίᾳ τοὺς Πάρθους, [ὅτε ἐπληρώθη τρία ἔτη] ἀγρίζεται ὁ πόλεμος μεταξὺ τῶν ἀγγέλων τῆς ἀσεβείας τῶν ἄρκτων· διὰ τοῦτο ταράσσονται πᾶσαι βασιλεῖαι τῆς ἀσεβείας.

17. Ταῦτα τοίνυν τὰ μεγάλα καὶ ἀπόρρητα μυστήρια ἄλογον ἡγούμενος καταπατεῖσθαι ἢ εἰς πολλοὺς παραδίδοσθαι, συμβουλεύει ὡς πολυτελεῖς μαργαρίτας φυλάσσειν οὕτω λέγων·

39. φερέματι C 41. ταὐτὰ Roeperus: ταῦτα C M φθητικοῖς C 43. ἔτι δαιμονῶντας] ἐπὶ δαιμονῶντας C M, qui vel δαιμονῶσι scribendum, vel delendam esse praepositionem putat: πρὸς δαιμονῶντας coni. Roeperus 44. δυνάμεων] δυνάμεως susp. M 46. ἐξ αὐτῶν] ἑαυτῆς Roeperus 48. ὑμῖν] ἡμῖν C 50.

contestor, quod non amplius peccabo neque adulterabo nec furabor neque iniuriam faciam neque circumveniam neque odium habebo neque contemnam neque ullis pravis delectabor. Haec igitur dicens immergitor cum toto suo vestitu in nomine magni et altissimi dei.

16. Alia autem plurima ineptit, eadem etiam ad phthisicos cantari praecipiens, et immergi frigidis aquis quadragies per septem dies consimiliter etiam daemoniacos. O sapientiam inimitabilem et incantationes viribus refertas! Quis non obstupescet in tali tantaque vi verborum? Sed quoniam et astrologico errore eos usos esse diximus, ex ipsis ostendemus; ait enim in hunc modum: *Sunt stellae malae impietatis. Hoc iam vobis dictum est, pii et discipuli: Cavete a potestate dierum, quibus imperium tenent, neque initium facite operum diebus earum, neque immergite virum vel mulierem diebus potestatis earum, quando luna eas transit et congreditur cum iis. Ipsum diem cavete, donec egreditur ab iis, et tum immergite et inchoate quodcunque initium operum vestrorum. Adhuc autem diem sabbati honorate, quoniam est dies unus . . . . Verum etiam diem tertium hebdomadis cavete ne initium faciatis, quoniam rursus expletis tribus annis Traiani Caesaris, posteaquam Parthos suae potestati subiecit, ubi tres anni expleti sunt, exardescit bellum inter angelos impietatis aquilonis: propterea perturbantur omnia regna impietatis.*

17. Haec igitur magna arcanaque mysteria cum absurdum putet conculcari vel multis tradi, consilium dat ut tanquam margaritae pretiosae custodiantur his verbis: *Hunc autem librum no-*

ποιεῖτε] *πόιῆτε* C M 53. *διαπορεύεται* C *ἐξ*] *διὲξ?* 56. *πάσῃ ἀρχῇ*] *πᾶσιν ἀρχὴν?* 58. *ἐξ αὐτῶν*] Litterarum *ἐξ αὐ* vestigia tantum supersunt. M: *σαββάτων? ἐξουσίας αὐτῶν?* 59. *φυλάσσεσθε μὴ κατάρχεσθαι*] *πύλας ἔσεσθαι μὴ κατάρχεσθε* C 61. *ὑπέταξεν ἑαυτοῦ τῇ ἐξουσίᾳ τοὺς Πάρθους* Roeperus, qui addit, tertio post subiectos Parthos anno fato defunctum esse Traianum, motusque in orientis regionibus ortos Hadrianum cedere provincia coëgisse: *ὑπέταξε ἐκ τοῦ τῆς ἐξουσίας τοῦ Πάρθου* C: *ὑπέταξεν ἕκτου [καὶ δεκάτου] τῆς ἐξουσίας τὸν Πάρθον* susp. M 62. *ὅτε — ἔτη* fort. glossema ad verba quae praecedunt lin. 60. *ἀγγρίζεται* C 65. Vocum *τὰ μεγάλα* tenuia sunt in C vestigia. M 66. 67. Cf. Matth. 7, 6.

Τοῦτον δὲ τὸν λόγον μὴ ἀναγινώσκετε πᾶσιν ἀνθρώποις, καὶ ταύτας τὰς ἐντολὰς φυλάξατε ἐπιμελῶς, ὅτι οὐ πάντες ἄνδρες πιστοὶ οὐδὲ πᾶσαι γυναῖκες ὀρθαί. Ταῦτα δὲ οὐδὲ Αἰγυπτίων σοφοὶ ἐν ἀδύτοις ἐχώρησαν, οὐδὲ ὁ σοφὸς Ἑλλήνων Πυθαγόρας ἐχώρησεν. Εἰ γὰρ τετυχήκει κατ' ἐκεῖνο καιροῦ Ἠλχασαΐ, τίς ἀνάγκη Πυθαγόραν ἢ Θαλῆν ἢ Σόλωνα ἢ τὸν σοφὸν Πλάτωνα ἢ καὶ τοὺς λοιποὺς Ἑλλήνων σοφοὺς μαθητεύειν Αἰγυπτίων ἱερεῦσιν ἔχουσι τὴν τοιαύτην καὶ τοσαύτην σοφίαν παρὰ Ἀλκιβιάδῃ, ἃ τῷ θαυμασιωτάτῳ ἑρμηνεῖ τοῦ δυστήνου Ἠλχασαΐ; Δοκεῖ | τοίνυν ἱκανὰ εἶναι πρὸς ἐπίγνωσιν τὰ εἰρημένα τῆς τούτων μανίας τοῖς ὑγιαίνοντα νοῦν κεκτημένοις· διὸ πλείοσι ῥητοῖς οὐκ ἔδοξε χρῆσθαι, οὖσι πλείστοις καὶ καταγελάστοις. Ἀλλ' ἐπεὶ μηδὲ ταῦτα παρελείπομεν τὰ ἐφ' ἡμῶν ἐπεγηγερμένα, τά τε πρὸ ἡμῶν οὐκ ἐσιωπήσαμεν, δοκεῖ, ἵνα διὰ πάντων ὦμεν πεπορευμένοι [καὶ] μηδὲν ἀνεκδιήγητον καταλείπωμεν, εἰπεῖν τίνα καὶ τῶν Ἰουδαίων [ἔθη], καὶ τίνες αἱ ἐν τούτοις διαφοραί· ἔτι γὰρ ταῦτα νομίζω παραλείπεσθαι, ἃ μηδὲ αὐτὰ σιωπήσας ἐπὶ τὴν ἀπόδειξιν τοῦ περὶ ἀληθείας λόγου χωρήσω, ὅπως μετὰ τὸν πολὺν ἀγῶνα τοῦ κατὰ πασῶν αἱρέσεων λόγου ἐπὶ [τὸν] τῆς βασιλείας στέφανον ὁρμήσαντες εὐσεβῶς τὰ ἀληθῆ πιστεύοντες μὴ ταρασσώμεθα.

18. Ἰουδαίων μὲν ἀρχῆθεν ἓν ἦν ἔθος· εἷς γὰρ ὁ τούτοις δοθεὶς παρὰ θεοῦ διδάσκαλος Μωσῆς, καὶ εἷς ὁ διὰ τούτου νόμος, μία δὲ ἔρημος χώρα, καὶ ἓν ὄρος τὸ Σινᾶ· εἷς γὰρ ὁ τούτοις νομοθετήσας θεός. Αὖθις δὲ διαβάντες τὸν Ἰορδάνην ποταμὸν καὶ τὴν δορύκτητον γῆν κληρονομήσαντες διαφόρως τὸν τοῦ θεοῦ νόμον διέσπασαν, ἄλλος ἄλλως ἐπινοῶν τὰ εἰρημένα, καὶ οὕτως διδασκάλους ἑαυτοῖς ἐπεγείραντες, δόξας αἱρέσεων ἐφευρόντες εἰς μερισμὸν ἐχώρησαν, ὧν τὴν διαφορὰν ἐκθήσομαι. Εἰ δὲ καὶ εἰς πλεῖστα μέρη διεσπάσθησαν τῷ μακρῷ χρόνῳ, ἀλλά γε τὰ κεφαλαιωδέστερα αὐτῶν ἐκθήσομαι, δι' ὧν καὶ τὰ λοιπὰ οἱ φιλομαθεῖς εἴσονται εὐκόλως. Τρία γὰρ παρ' αὐτοῖς εἴδη διαιρεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ εἰσὶ

73—77. *Ἠλχασαΐ, τίς ἀνάγκη — Ἠλχασαΐ;*] *Ἠλχασαΐ τις, ἀνάγκη — Ἠλχασαΐ.* C M. Sicuti nos etiam Roeperus coniecit 74. *Θαλῆν*] *θαλλὴν* C 76. *ἃ*] Delendum esse putat M: An *ἅτε?* 80. *καὶ*] Deleri vult Roeperus coll. Diog. Laert. II, 24. 83. *καὶ*]

lite recitare omnibus hominibus, et haec praecepta diligenter custodite, quia non omnes viri fideles sunt neque omnes mulieres rectae. Haec vero neque Aegyptiorum sapientes in adytis perceperunt, neque sapiens Graecorum Pythagoras percepit. Si enim forte illa aetate extitisset Elchasaï: cur oportuisset Pythagoram vel Thaletem vel Solonem vel sapientem Platonem vel etiam reliquos Graecorum sapientes Aegyptiorum sacerdotum discipulos fieri, qui talem tantamque sapientiam habent ex sententia Alcibiadis, utpote mirificentissimi interpretis perditi Elchasaï? Iam igitur quae de horum dementia dicta sunt ad cognoscendum sufficere videntur iis, qui sana mente praediti sunt; quare pluribus dictis non placuit uti, quippe quae plurima sint derisuque digna. Sed quoniam ne haec quidem praetermisimus, quae nostra aetate exsurrexerunt, neque ea, quae ante nos, siluimus: placet, ut omnia exsecuti simus neque quidquam inenarratum relinquamus, dicere, quinam et Iudaeorum sint mores et quaenam horum differentiae; haec enim adhuc relinqui arbitror, quae ubi ne ipsa quidem siluero, ad monstrandam veritatis doctrinam veniam, ut post longum certamen disputationis contra omnes haereses habitae, regni coronam consectati pie vera credentes ne conturbemur.

18. Iudaeorum quidem antiquitus unus erat mos; unus enim a deo illis datus magister Moses unaque per hunc lata lex, una autem regio deserta et unus mons Sina, unus enim eorum legislator deus. Rursus autem transgressi Iordanem fluvium nactique bello captam terram vario modo dei legem disciderunt, cum alius aliter acciperet quae dicta erant, et in hunc modum postquam magistros sibi excitaverunt opinionesque haeresium adinvenerunt, ad divisionem venerunt, quorum differentiam exponam. Etsi vero in plurimas partes discissi sunt longo tempore, sed tamen potissima eorum exponam, per quae et reliqua discendi cupidi facile cognoscent. Tria enim apud eos genera discernuntur, et unius sectatores Pharisaei

om C   καταλείπομεν C   84. ἔθη] om C M. Cf. supra p. 440, 12   86. χωρῆσα C   87. τὸν τῆς] τῆς C   88. Vox εὐσεβῶς in C prorsus evanida. M   πιστεύωντες C   90. θος] ἔθνος C M   1 sqq. Quae sequuntur Hippolytus e Flavio

Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, ἕτεροι δὲ Ἐσσηνοί. Οὗτοι τὸν βίον σεμνότερον ἀσκοῦσι φιλάλ|ληλοι ὄντες καὶ ἐγκρατεῖς, πάσης τε ἐπιθυμίας ἔργον ἀποστρέφονται, ἀπεχθῶς καὶ πρὸς [τὸ] τὰ τοιαῦτα ἀκοῦσαι ἔχοντες, γάμον τε ἀπαγορεύουσι, τοὺς δὲ ἀλλοτρίους παῖδας ἀναλαμβάνοντες τέκνα ποιοῦνται καὶ πρὸς τὰ ἴδια ἤθη ἄγουσιν, οὕτως ἀνατρέφοντες καὶ ἐπὶ τοῖς μαθήμασι προβιβάζοντες, οὐ τὸ γαμεῖν κωλύοντες, ἀλλ' αὐτοὶ γάμου ἀπεχόμενοι. Γυναῖκας δέ, εἰ καὶ τῇ αὐτῇ προαιρέσει βούλοιντο προσέχειν, οὐ προσδέχονται, κατὰ μηδένα τρόπον γυναιξὶ πιστεύοντες.

19. *Καταφρονοῦσι δὲ πλούτου, καὶ τὸ πρὸς τοὺς δεομένους κοινωνεῖν οὐκ ἀποστρέφονται, ἀλλ' οὐδέ τις παρ' αὐτοῖς ὑπὲρ τὸν ἕτερον πλουτεῖ. Νόμος γὰρ παρ' αὐτοῖς τὸν προσιόντα τῇ αἱρέσει τὰ ὑπάρχοντα πωλοῦντα τῷ κοινῷ προσφέρειν, ἃ ὑποδεχόμενος [ὁ] ἄρχων διανέμει ἅπασι πρὸς τὰ δέοντα. Οὕτως οὐδεὶς ἐνδεὴς παρ' αὐτοῖς. Ἐλαίῳ δὲ οὐ χρῶνται, μολυσμὸν ἡγούμενοι τὸ ἀλείφεσθαι. Χειροτονοῦνται δὲ οἱ ἐπιμεληταὶ οἱ πάντων κοινῶν φροντίζοντες, πάντες δὲ ἀεὶ λευχειμονοῦσι.*

20. *Μία δὲ αὐτῶν οὐκ ἔστι πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοί. Καὶ εἴ τις ἀπὸ ξένης παρῇ τῶν αἱρετιστῶν,*

Fl. Joseph. *de bello Jud.* II, 8, 2. *Τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, τρίτον δέ, ὃ δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. Οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν ἀρετὴν ὑπολαμβάνουσι. Καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δὲ ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες, ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐντυποῦσι· τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι, καὶ μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν.*

Iosepho (*De bello Iudaico* II, 8), cuius verba textui supposuimus, hausisse videtur, nisi uterque unum eundemque auctorem secutus est. 3. *Ἐσσηνοί*] C ubique *ἐσηνοί.* M 5. 6. *τὸ τὰ*] *τὰ* C 7. *τέκνα*

sunt, alterius Sadducaei, alii autem Esseni. Hi vitam graviorem colunt, se invicem diligentes continentesque, et a cuiusque concupiscentiae opere abhorrent, aversantes etiam talia audire, nuptiisque renunciant, alienos autem pueros suscipientes suos liberos reddunt et ad suos mores deducunt, in hunc modum nutrientes eos et in litteris promoventes, non prohibentes nubere, ipsi vero nuptiis abstinentes. Mulieres autem etiamsi idem consilium capere velint, non recipiunt, nullo modo mulieribus confidentes.

19. Contemnunt autem divitias, neque indigentibus de re familiari impertiri aversantur; immo vero nemo apud illos alterum divitiis superat; est enim lex apud illos, ut qui ad sectam accedat opes suas vendat et societati offerat, quas accipiens magister dispensat universis prout opus est. Sic nullus egenus apud illos. Oleo autem non utuntur, cum pro inquinamento habeant unctionem. Constituuntur autem procuratores, qui omnium rerum communium curam gerunt; omnes autem semper candidis vestibus induti sunt.

20. Non autem illis una est civitas, sed in singulis quibusque tanquam metoeci habitant multi. Et si quis sectae

---

3. *Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνητικόν (κοινωνικόν* Porphyr. *de Abst.* IV, 11.)*, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα. Νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι, μηδ' ὑπεροχὴν πλούτου, τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. Κηλῖδα δὲ ὑπολαμβάνουσι τὸ ἔλαιον, κἂν ἀλιφῇ τις ἄκων, σμήχεται τὸ σῶμα· το γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διαπαντός. Χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταί, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.*

4. *Μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ κατοικοῦσι (μετοικοῦσι* Porphyr. l. l.) *πολλοί. Καὶ τοῖς ἑτέρωθεν*

ποιοῦνται] *τεκνοποιοῦνται* C M 17. *ὁ*] om C 19. *ἀλείψεσθαι* C 20. *κοινῶν φροντίζοντες*] Supersunt litterae *κοινω* . . . . . *ζοντες* cum obscuris vestigiis litterarum *ντ* et accentu. M

πάντα αὐτῷ κοινὰ ἡγοῦνται, καὶ οὓς οὐ πρότερον | ᾔδεσαν, ὡς οἰκείους καὶ συνήθεις προσδέχονται. Περίïασι δὲ τὴν πατρῴαν γῆν, ἑκάστοτε ἀποδημοῦντες μηδὲν φέροντες πλὴν ὅπλον. Ἔχουσι δὲ καὶ κατὰ πόλεις προεστῶτα, ὃς τὰ συναγόμενα εἰς τοῦτο ἀναλίσκει, ἐσθῆτα καὶ τροφὰς αὐτοῖς παρασκευάζων. Καταστολὴ δὲ αὐτῶν καὶ σχῆμα κόσμιον· χιτῶνας δὲ δύο ἢ διπλᾶς ὑποδέσεις οὐ κτῶνται· ἐπὰν δὲ τὰ παρόντα παλαιωθῇ, τότε ἕτερα προσίενται. Οὐδὲν δὲ ὅλως οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν, ὃ δ᾽ ἂν ἔχῃ τις τῷ μὴ ἔχοντι δούς, ὃ οὐκ ἔχει λαμβάνει.

21. Παραμένουσι δὲ εὐτάκτως καὶ ἐπιμόνως εὐχόμενοι ἕωθεν, μηδὲν πρότερον φθεγξάμενοι εἰ μὴ τὸν θεὸν ὑμνήσωσι· καὶ οὕτω προελθόντες ἕκαστοι ἐφ᾽ ὃ βούλονται πράττουσι, καὶ ἕως ὥρας πέμπτης πράξαντες ἐπανίασιν. Ἔπειτα πάλιν συνελθόντες εἰς ἕνα τόπον, περιζώμασί τε λινοῖς περιζωσάμενοι πρὸς τὸ καλύψασθαι τὴν αἰσχύνην, οὕτως ὕδατι ψυχρῷ ἀπολούονται, καὶ μετὰ τὸ οὕτως ἁγνίσασθαι εἰς ἓν οἴκημα συνίασιν (οὐδεὶς δὲ ἑτεροδόξῳ σύνεισιν ἐν τῷ οἴκῳ), καὶ περὶ ἀριστοποιΐαν χωροῦσι. Καθισάντων δὲ κατὰ τάξιν μεθ᾽ ἡσυχίας προσφέρον-

---

ἥκουσιν αἱρετισταῖς (αἱρεσιώταις Porphyr. l. l.) ἀναπέπταται τὰ παρ᾽ αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους. Διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. Κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. Καταστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. (ἀναπέπταται τὰ παρ᾽ ἀλλήλοισιν, καὶ οἱ πρῶτον ἰδόντες ἴσασιν ὥσπερ συνήθεις. Διὸ οὐδὲν ἐπικομιζόμενοι ἀποδημοῦσιν ἀναλωμάτων ἕνεκα Porphyr. l. l.) Οὔτε δὲ ἐσθῆτας οὔτε ὑποδήματα ἀμείβουσι πρὶν ἢ διαρραγῆναι τὸ πρότερον παντάπασιν ἢ δαπαναθῆναι τῷ χρόνῳ. Οὐδὲν δὲ ἐν ἀλλήλοις οὔτε ἀγοράζουσιν οὔτε (Οὐδ᾽ ἀγοράζουσί τι οὐδὲ Porph.) πωλοῦσιν, ἀλλὰ τῷ χρήζοντι διδοὺς ἕκαστος τὰ παρ᾽ αὐτοῦ (τα παρ᾽ ἑαυτῷ Porph.), τὸ παρ᾽ ἐκείνου χρήσιμον ἀντικομίζεται. καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς, παρ᾽ ὧν ἂν ἐθελήσωσι (θέλωσιν Porph.).

---

24. ᾔδεσαν] εἴδεσαν C 26. ἑκάστοτε] ἕκαστός τε C: ἕκαστός

assectarum e terra extera adest, omnia ei communia habent, et quos non antea cognoverant, tanquam domesticos et familiares recipiunt. Peragrant autem patriam terram, semper proficiscentes nihil gestantes praeter arma. Habent autem etiam in singula quaque civitate praesidem, qui ea, quae ad hoc congeruntur, expendit vestes cibosque iis adparando. Vestitus autem eorum et habitus verecundus; tunicas autem duas vel duplicia calceamenta non sibi comparant; quando autem ea, quibus utuntur, vetustate obsoleverunt, tum alia admittunt. Nihil autem omnino neque emunt neque vendunt, quod autem quis habeat non habenti dans, quod ipse non habet accipit.

21. Permanent autem composite et assidue precantes inde a prima luce, nihil prius vociferati quam deum hymnis celebraverunt, et in hunc modum progressi singuli quique ad quod volunt operantur, et postquam usque ad quintam horam operati sunt, requiescunt. Tum rursus congressi in unum locum et perizoniis linteis accincti ad obtegenda pudenda, in hunc modum frigida aqua abluuntur, et postquam ita purgati sunt, in unum conclave coëunt (nemo autem cum aliquo qui alienam sententiam amplectitur convenit in hac domo), et ad prandium accedunt. Postquam autem ordine consederunt cum tranquilli-

5. *Πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. Μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται (ἰέναι ἀφίενται* Porphyr. l. l. §. 12.), *καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασι λινοῖς οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. Καὶ καθισάντων (καθισάντων δὲ* Porphyr.) *μεθ᾽ ἡσυχίας ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος*

τις susp. M   33. *εὐτάκτως*] *ἀτάκτως* C. Correxit M coll. lin. 41
κατὰ τάξιν   41. *καθησάντων* C

ται ἄρτον, ἔπειτα ἕν τι προσφάγιον, ἐξ οὗ ἑκάστῳ τὸ αὔταρκες μέρος. Οὐ πρότερον δὲ γεύεταί τις αὐτῶν, εἰ μὴ ἐπεύξεται εὐλογῶν ὁ ἱερεύς. Μετὰ δὲ τὸ ἄριστον ἐπευξαμένου πάλιν, ἀρχόμενοί τε καὶ πάλιν παυόμενοι ὑμνοῦσι τὸν θεόν. Ἔπειτα τὰς ἐσθῆτας, ἃς | ἔνδον συνεστιώμενοι ἀμφιέννυνται, ἀποθέμενοι ὡς ἱεράς, εἰσὶ δὲ λιναῖ, τὰς ἐν τῇ προόδῳ πάλιν ἀναλαμβάνοντες ἐπὶ τὰ φίλα ἔργα ὁρμῶσιν ἕως δείλης. Δειπνοῦσι δὲ ὁμοίως τοῖς προειρημένοις πάντα ποιήσαντες. Οὐδεὶς δὲ πώποτε κραυγάσει, ἤ τις ἑτέρα θορυβώδης ἀκουσθήσεται φωνή, ἠρέμα δὲ ἕκαστοι λαλοῦντες, εὐσχημόνως ἕτερος τῷ ἑτέρῳ τὴν ὁμιλίαν συγχωρεῖ, ὡς τοῖς ἔξωθεν μυστήριόν τι καταφαίνεσθαι τὴν τῶν ἔνδον σιωπήν. Νήφουσι δὲ πάντοτε, πάντα μέτρῳ καὶ ἐσθίοντες καὶ πίνοντες.

22. Πάντες μὲν οὖν τῷ προεστῶτι προσέχουσι, καὶ ὅσα κελεύσει ὡς νόμῳ πείθονται. Ἐσπουδάκασι γὰρ πρὸς τὸ ἐλεεῖν καὶ βοηθεῖν τοῖς καταπονουμένοις. Πρὸ δὲ πάντων ὀργῆς ἀπέχουσι καὶ θυμοῦ καὶ πάντων τῶν ὁμοίων, ἐπίβουλα ταῦτα τοῦ ἀνθρώπου κρίνοντες. Οὐδεὶς δὲ ὄμνυσι παρ᾽ αὐτοῖς, ὅσα δ᾽ ἄν τις εἴπῃ, τοῦτο ὅρκου ἰσχυρότερον κρίνεται. Εἰ δὲ ὀμόσει τις, καταγινώσκεται ὡς μὴ πιστευθείς. Σπουδάζουσι δὲ περὶ τὰς τοῦ νόμου ἀναγνώσεις καὶ προφητῶν, ἔτι δὲ καὶ εἴ τι σύν-

---

ἑκάστῳ παρατίθησι. Προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς (ἁγνῆς οὔσης καὶ καθαρᾶς add. Porphyr.), καὶ γεύσασθαί τινα πρὸ (τινα πρὶν Porph.) τῆς εὐχῆς ἀθέμιτον· ἀριστοποιησάμενος (ἀριστοποιησαμένοις δὲ Porph.) ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν θεὸν ὡς χορηγὸν τῆς τροφῆς. Ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας πάλιν ἐπ᾽ ἔργα μέχρι δείλης τρέπονται. Δειπνοῦσι (πίνουσι Porph.) δὲ ὑποστρέψαντες ὁμοίως συγκαθεζομένων τῶν ξένων, οἳ (εἰ Porph.) τύχοιεν αὐτοῖς παρόντες. Ουδὲ (Οὔτε δὲ Porph.) κραυγή ποτε τὸν οἶκον οὔτε θόρυβος μολύνει, τὰς δὲ λαλίας ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. Καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται· τούτου δὲ αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι παρ᾽ αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

---

43. εἰ μὴ] εἰμὶ C 45. τε καὶ] δὲ καὶ C παβόμενοι C
46. ἀμφιέννυνται C 47. λίναι C 50. ἀκουσθήσεται] ἀκολου-

tale edunt panem, tum unum aliquod obsonium, ex quo cuique sufficiens pars. Non autem prius aliquis eorum gustat, quam precatus est benedicens sacerdos. Post prandium autem ubi iterum precatus est, incipientes et rursus desinentes hymnis deum celebrant. Tum vestes, quibus intus convivantes induuntur, postquam deposuerunt tanquam sanctas — sunt vero linteae — illas, quae in vestibulo sunt, rursus recipientes ad grata opera festinant usque ad crepusculum. Coenant autem consimiliter iis quae antea dicta sunt omnia facientes. Nemo autem unquam clamitabit, neque alia aliqua tumultuosa audietur vox; leniter autem singuli quique loquentes, honeste alter alteri sermonem concedit, ita ut iis, qui foris sunt, mysterium videatur eorum, qui intus sunt, silentium. Semper autem sobrii sunt, omnia modice et edentes et bibentes.

22. Omnes igitur ad praesidem se applicant, et quaecunque iusserit, tanquam legi obediunt. Studuerunt enim misereri et auxiliari afflictis. Prae omnibus autem ab ira se avertunt et iracundia omnibusque consimilibus, insidiosa haec homini iudicantes. Nemo autem iurat apud eos, quaecunque autem quis dicat, firmius hoc iuramento aestimatur. Si vero quis iuraverit, damnatur quasi qui fidem non habeat. Incumbunt autem legis lectionibus et prophetarum, praeterea autem

---

6. *Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ,τι μὴ τῶν ἐπιμελητῶν προσαξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ᾽ αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος· βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ κατ᾽ αὐτοὺς ἀφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν· τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. Ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί, καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ᾽ αὐτῶν ἰσχυρότερον ὅρκου· τὸ δὲ ὀμνύειν αὐτοῖς περιΐσταται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ ἤδη κατεγνῶσθαί φασι τὸν ἀπιστούμενον δίχα θεοῦ. Σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα*

θήσεται C 52. *συγχωρεῖ*] *συνεχώρει* C 55. 56. *ὅσα κελεύσει*] *ὅσ᾽ ἂν κελεύσῃ*, vel *ὅσα κελεύει* susp. M; sed propter usum futuri latiorem apud Hippolytum esse retinendum videtur 60. *ὀμόσει*] *ὠμώσει* C

ταγμα εἴη πιστῶν. Πάνυ δὲ περιέργως ἔχουσι περὶ βοτάνας καὶ λίθους, περιεργότεροι ὄντες πρὸς τὰς τούτων ἐνεργείας, φάσκοντες μὴ μάτην ταῦτα γεγονέναι.

23. *Τοῖς δὲ βουλομένοις τῇ αἱρέσει μαθητεύειν οὐκ εὐθέως τὰς παραδόσεις ποιοῦνται, εἰ μὴ πρότερον δοκιμάσωσιν, ἐπ' ἐνιαυτὸν δὲ τὰς ὁμοίας τροφὰς παρατιθέασιν ἔξω τῆς ἑαυτῶν συνόδου οὖσιν ἐν ἑτέρῳ οἴκῳ, ἀξινάριόν τε| καὶ τὸ λινοῦν περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἔγγιον τῇ διαίτῃ, καὶ καθαρωτέρως ἀπολούεται ἢ τὸ πρότερον· οὐδέπω δὲ σὺν αὐτοῖς τροφῆς μεταλαμβάνει. Μετὰ γὰρ τὸ δεῖξαι εἰ ἐγκρατεύεσθαι δύναται, ἐπὶ ἔτη ἄλλα δύο δοκιμάζεται τοῦ τοιούτου τὸ ἦθος, καὶ φανεὶς ἄξιος οὕτως εἰς αὐτοὺς κρίνεται. Πρὶν δὲ αὐτοῖς συνεστιαθῇ, ὅρκοις φρικτοῖς ὁρκίζεται, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ κατὰ μηδένα τρόπον ἀδικήσειν τινά, μηδένα δὲ μήτε ἀδικοῦντα μήτε ἐχθρὸν μισήσειν, προσεύχεσθαι δὲ ὑπὲρ αὐτῶν, συναγωνίζεσθαι ἀεὶ τοῖς δικαίοις, τὸ πιστὸν πᾶσι παρέξειν, μάλιστα τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ συμβαίνειν τινὶ τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέποτε ὑπερηφανεύσασθαι ἐν ἐξουσίᾳ, μηδὲ ἀπειθήσειν ἢ τινὶ κόσμῳ πλεῖον τοῦ ἔθους χρήσασθαι· φιλαλήθη*

τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. Ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξιτήριοι καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

7. *Τῷ δὲ ζηλοῦντι (Τοῖς δὲ ζηλοῦσι* Porph.) *τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. Μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται (κομίζεται* Porph.), *καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὅμιλον ἐγ-*

---

67. *τὰς*] *τοῖς* C 69. *συνόδου*] Syllabarum *συνοδ* tenuissima in C vestigia. M 71. *ἔγγιον*] *ἐγγίῳ* C: *ἐγγίω* M 71. 72. *καθαρωτέρως ἀπολούεται*] *καθαρωτέρως ἀπολαύεται* C M 72. *οὐδέπω*] *οὐδυνέω* C 74. *τοιούτου*] *τοιούτου γὰρ* C 80. *ἀεὶ*]

etiam si quod scriptum sit fidelium. Admodum autem curiosi sunt circa herbas et lapides, curiosiores efficaciae eorum, cum dicant haud frustra haec esse facta.

23. Iis autem, qui sectae discipuli fieri volunt, non continuo praecepta sua tradunt, nisi antea eos probaverint; per annum autem iis consimiles cibos apponunt extra ipsorum conventum in alia domo degentibus, postquam et dolabellam et linteum illud perizonium et vestem albam tradiderunt. Ubi hoc tempore documentum continentiae dedit, propius ad vitam victumque accedit puriusque abluitur quam antea, nondum vero cum iis cibum sumit. Postquam enim ostendit, an se continere possit, per duo alios annos tentantur eiusdem mores, et dignus ubi visus est, ita inter eos censetur. Priusquam autem cum iis convivatur, terribilibus iuramentis obstringitur, fore ut primum quidem divinum numen pie colat, tum erga homines iustitiam custodiat nulloque modo quemquam iniuria afficiat, neminem autem, neque iniuriosum neque hostem, odio habeat, preces vero pro iis faciat, adiuvet semper iustos, fidem omnibus servet, maxime iis, qui imperium teneant — non enim sine deo accidere cuiquam dominationem — et si ipse dominetur, ut nunquam superbiat potestate, neque prodigus sit vel ornatu maiore quam mos sit utatur; veritatem autem amet, eum vero,

---

κρίνεται. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν (διαφυλάξειν Porph.)*, καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε ἐξ ἐπιτάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι (συναγωνίζεσθαι* Porph.) *τοῖς δικαίοις, τὸ πιστὸν ἀεὶ (πᾶσι μὲν* Porph.) *παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τινι (τισι* Porph.) *τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ (ἄρχει* Porph.)*, μηδέ πώποτε ἐξυβρίζειν (ἐξυβρίσαι* Porph.) *εἰς τὴν ἐξουσίαν, μηδὲ (μὴ* Porph.) *ἐσθῆτι ἤ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι· τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ*

αὐτῶν C M 81. *συμβαίνειν*] *συμβαίνει* C M 82. *ὑπερηφανεύσασθαι*] *ὑπερηφανεύσεσθαι* R. Scottus 82. 83. *ἀπειθήσειν*] An *ἀφειδήσειν*? vel *ἐσθήσει* cum adiectivo, quod latet in syllaba *ἀπ*?

δὲ εἶναι, τὸν δὲ ψευδόμενον ἐλέγχειν, μηδὲ κλέπτειν, μηδὲ συνείδησιν ἐπὶ ἀνόμῳ κέρδει μολύνειν, μηδὲν ἀποκρύπτειν τοὺς συναιρεσιώτας, ἑτέροις δὲ μηδὲν ἐξειπεῖν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς τούτοις ὄμνυσι μηδενὶ μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβε. |

24. *Τοιούτοις οὖν ὅρκοις δεσμεύουσι τοὺς προσερχομένους. Εἰ δέ τις ἐν ἁμαρτήματί τιν[ι καταγνωσθ]ῇ, ἀποβάλλεται τοῦ τάγματος, ὁ δὲ ἀποβληθεὶς δεινῷ μόρῳ ἔσθ᾽ ὅτε διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν. Ἔσθ᾽ ὅτε οὖν τὸ σῶμα λιμῷ διαφθείρουσιν, [ὅθ]εν ἐν ἐσχάτοις ποτὲ ἐλεοῦσι πολλοὺς ἤδη ἐκλείποντας, αὐτῶν ἱκανὴν μέχρι θανάτου ἐπιτιμίαν ἡγούμενοι.*

25. *Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· δικάζουσι δὲ συνελθόντες οὐκ ἐλάττους τῶν ἑκατόν, τὸ δὲ ὁρισθὲν ὑπ᾽ αὐτῶν ἀκίνητον. Τιμῶσι δὲ τὸν νομοθέτην μετὰ τὸν θεόν, καὶ εἴ τις εἰς τοῦτον βλασφημήσει, κολάζεται. Τοῖς δὲ ἄρχουσι καὶ πρεσβυτέροις ὑπακούειν διδάσκονται. Εἰ δὲ ἐπὶ τὸ αὐτὸ δέκα καθέζονται, οὐ λαλήσει εἷς, εἰ μὴ τοῖς ἐννέα δόξει. Καὶ*

καὶ τοὺς ψευδομένους ἐλέγχειν (om Porph.) *προβάλλεσθαι· χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν, καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστάς, μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς* (*δὲ* add Porph.) *τούτοις ὀμνύουσι* (*ὄμνυσι* Porph.) *μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν* (*παρέλαβεν* Porph.)· *ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς* (*τῆς* om Porph.) *αἱρέσεως αὐτῶν βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. Τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται.*

8. *Τοὺς δέ ἐπ᾽ ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι τοῦ τάγματος, ὁ δὲ ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος* (*ἐνδεδεμένοι* Porph.) *οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται* (*δύνανται* Porph.) *μεταλαμβάνειν, ποηφαγῶν* (*ποηφαγοῦν-*

---

86. Voce *συναιρεσιώτης* carent lexica. M. Nova Stephani editio exempla affert ex Photii Bibliotheca. 90. Litteras uncis inclusas prorsus ablatas e C supplevit M 91. *τάγματος*] *δόγματος* C 93. Vox *οὐδὲ* paene tota periit. M 94. *ὅθεν*]

qui mentiatur, redarguat, neque furtum faciat, neque conscientiam iniquo quaestu polluat, ut nihil celet sectae suae consortes, aliis autem ut nihil prodat, etiamsi ad mortem usque crucietur. Praeterea iurat nemini se placita aliter traditurum atque ipse receperit.

24. Huiusmodi igitur iuramentis eos, qui ipsis accedunt, devinciunt. Sin vero quis peccati alicuius convictus fuerit, ex ordine eiicitur, eiectus autem nonnunquam terribili morte absumitur. Iuramentis enim et ritibus constrictus ne convictus quidem, quo reliqui fruuntur, particeps esse potest. Nonnunquam igitur corpus fame consumunt; quare, ubi ad extrema ventum est, interdum miserentur multorum iam morientium, sufficientem eorum ad mortem usque poenam existimantes.

25. Quoad iudicia autem diligentissimi sunt et iusti; iudicant autem congregati haud pauciores quam centeni, quod autem definitum est ab iis, immotum est. Venerantur autem legislatorem post deum, et si quis ei maledixerit, punitur. Principibus autem et senioribus obedire docentur; sin vero decem eodem loco considunt, nemo eorum loquetur, nisi novem reliquis placeat. Et ne exspuant in mediam et in dexte-

---

τες Porph.) *δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθείρεται* (*διαφθειρόμενοι ἀπόλλυνται* Porph.). *Διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον* (*ἀνάγκαις ἔλαβον* Porph.), *ἱκανὴν* (*τιμωρίαν δεδωκέναι νομίζοντες* add Porph.) *ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν* (*αὐτῶν* om Porph.) *τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι* (*ἡγ.* om Porph.).

9. *Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες, τὸ δὲ ὁρισθὲν ὑπ᾽ αὐτῶν ἀκίνητον. Σέβας δὲ μέγιστον παρ᾽ αὐτοῖς μετὰ τὸν θεὸν τὸ ὄνομα τοῦ νομοθέτου, κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεσθαι θανάτῳ. Τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν ἐν καλῷ τίθενται. Δέκα γοῦν συγκαθεζομένων οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα. Καὶ τὸ πτύσαι*

In C duae litterae desunt. M 95. *ἐλεοῦσι*] *ἐλεῶσι* C *αὐτῶν*] *αὐτῷ* C 99. *ὑπ᾽*] *ἀπ᾽* C

τὸ πτύσαι δὲ εἰς μέσον καὶ τὸ δεξιὸν μέρος φυλάττονται· τὸ δὲ τῷ σαββάτῳ ἀπέχεσθαι ἔργου φροντίζουσι μᾶλλον πάντων Ἰουδαίων. Οὐ μόνον γὰρ τροφὰς αὐτοῖς προπαρασκευάζονται μιᾶς ἡμέρας πρὸς τὸ μὴ πῦρ ἅπτειν, ἀλλ' οὐδὲ σκεῦος μετατιθέασιν, οὐδὲ ἀποπατίζουσι, τινὲς δὲ οὐδὲ | κλινιδίου χωρίζονται. Ταῖς δὲ ἄλλαις ἡμέραις ἐπὰν ἀποπατίσαι θέλοιεν, βόθρον ὀρύξαντες ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ ἀξινάριον, ὃ τοῖς προσιοῦσι μαθητεύεσθαι πρώτως διδόασι), καὶ περικαλύψαντες τὸ ἱμάτιον ἱζάνουσι, φάσκοντες μὴ δεῖν ὑβρίζειν τὰς αὐγάς, ἔπειτα τὴν ἀνασκαφεῖσαν γῆν ἐπεμβάλλουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσιν ἐκλε[γό]μενοι [τοὺς] ἐρημοτέρους τόπους. Ἐπὰν δὲ τοῦτ[ο ποιήσωσ]ιν, εὐθὺς ἀπολούονται ὡς μιαινούσης τῆς ἐκκρίσεως.

26. Διήρηνται δὲ [κα]τὰ [χρ]όνον καὶ οὐχ ὁμοίως τὴν ἄσκησιν φυλάττουσιν, εἰς τέσσαρα μέρη διαχωρισθέντες. Ἕτεροι γὰρ αὐτῶν τὰ ὑπὲρ τὸ δέον ἀσκοῦσιν, ὡς μηδὲ νόμισμα βαστάζειν, λέγοντες μὴ δεῖν εἰκόνα ἢ φέρειν ἢ ὁρᾶν ἢ ποιεῖν. Διὸ οὐδὲ εἰς πόλιν τις αὐτῶν εἰσπορεύεται, ἵνα μὴ διὰ πύλης εἰσέλθῃ, ἐφ' ᾗ ἀνδριάντες ἔπεισιν, ἀθέμιτον τοῦτο ἡγούμενοι τὸ ὑπὸ εἰκόνας παρελθεῖν. Ἕτεροι δὲ ἐπὰν ἀκούσωσί τινος περὶ θεοῦ διαλεγομένου καὶ τῶν τούτου νόμων, εἰ ἀπερίτμητος εἴη, παραφυλάξας τὸν τοιοῦτον ἐν τόπῳ τινὶ μόνον, φονεύειν ἀπειλεῖ εἰ μὴ περιτμηθείη· ὃς εἰ μὴ βούλοιτο πείθεσθαι, οὐ φείδεται, ἀλλὰ καὶ σφάζει. Ὅθεν ἐκ τοῦ συμβαίνοντος τὸ ὄνομα προσέλαβον, Ζηλωταὶ καλούμενοι, ὑπό τινων δὲ Σικάριοι. Ἕτεροι δὲ αὐτῶν οὐδένα κύριον ὀνομάζουσι πλὴν τὸν θεόν, εἰ καὶ αἰκίζοιτό τις ἢ καὶ ἀναιροῖτο. Τοσοῦτον δὲ οἱ μετέπειτα ἐλάτ-

---

δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυλάσσονται· καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι διαφορώτατα Ἰουδαίων ἁπάντων. Οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μηδὲ πῦρ ἐναύοιεν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦσιν, οὐδὲ ἀποπατεῖν. Ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι — τοιοῦτον γάρ ἐστι τὸ διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις —, καὶ περικαλύψαντες θοιματίῳ, ὡς μὴ τὰς αὐγὰς ὑβρί-

---

4. φυλάττωνται C 6. αὐτοῖς] αὐτοῖς C προπαρασκευάζονται] παρασκευάζονται C M 9. ἀποπατίσαι] ἀποπατῖσαι

ram partem cavent; ut vero die sabbati ab opere se abstineant, curant magis quam omnes Iudaei. Nam non solum cibos sibi praeparant uno die ante, quominus ignem accendant, sed ne vas quidem loco movent, neque alvum exonerant, nonnulli autem ne surgunt quidem e lectulo. Caeteris vero diebus si alvum exonerare velint, scrobem pedalem postquam foderunt rastro — nam talis quaedam dolabella illa est, quam iis, qui ad disciplinam accedunt, primo tradunt — circumtexeruntque pallio, subsidunt dictitantes non contumeliam luci esse faciendam, deinde effossam terram superiniiciunt in scrobem, idque faciunt eligentes sibi loca desertiora. Ubi autem id fecerunt, continuo abluuntur, quasi egestio polluat.

26. Discreti autem sunt temporis progressu, neque eodem modo disciplinam custodiunt, in quattuor partes cum sint divisi. Alii enim eorum nimis religiosi sunt, ita ut ne numisma quidem tractent, dicentes non oportere quemquam imaginem neque ferre neque spectare neque conficere. Quapropter ne ingreditur quidem in oppidum quisquam eorum, ne per portam intret, cui statuae impositae sint, quia nefas esse existimant sub imaginibus praeterire. Alii autem ubi audiverunt aliquem de deo disserentem eiusque legibus, si non sit circumcisus, cum deprehenderit talem hominem alicubi solum, necem comminatur, nisi circumcidatur; cui, nisi obtemperare velit, non parcit, immo vero et trucidat eum. Quare ex accidenti cognomen traxerunt, Zelotae appellati, a quibusdam autem Sicarii. Alii autem eorum neminem dominum appellant praeter deum, etiamsi quis eos cruciet vel etiam interimat. Adeo

---

ζοιεν τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτόν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι. Καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιαμμένοις ἔθιμον.

10. *Διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας τέσσαρας· καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων*

C: *ἀποπατῆσαι* susp. M 14—17. Uncis inclusa in C prorsus ablata sunt. M 16. *μιαινούσης*] *μὴ αἰνούσης* C 18—30. Sequentia non habet Iosephus. M 22. *ἐφ' ᾗ*] *ἐφ' ἣν* C 26. *εἰ μὴ*] *εἰμὶ* C

τους τῇ ἀσκή|σει γεγένηνται, ὥστε τοὺς τοῖς ἀρχαίοις ἔθεσιν ἐμμένοντας μηδὲ προσψαύειν αὐτῶν, ὧν εἰ ψαύσαιεν, εὐθέως ἀπολούονται, ὥς τινος ἀλλοφύλου ψαύσαντες. Εἰσὶ δὲ καὶ μακρόβιοι οἱ πλεῖστοι, ὥστε καὶ πλέον ἑκατὸν ἔτεσι ζῆν. Φασὶν οὖν εἶναι αἴτιον τό τε τῆς ἄκρας θεοσεβείας καὶ τῷ καταγνωσθῆναι ἀμέτρως προσφέρεσθαι ἐγκρατιστὰς εἶναι καὶ ἀοργήτους. Θανάτου δὲ καταφρονοῦσι χαίροντες, ἡνίκα μετὰ συνειδήσεως ἀγαθῆς τελευτῶσιν· εἰ δὲ καὶ αἰκίζοιτό τις τοὺς τοιούτους, ἵνα ἢ τὸν νόμον δυσφημήσῃ ἢ εἰδωλόθυτον φάγῃ, οὐ π[οι]ήσει ὑπομένων θανεῖν καὶ βασάνους βαστάσαι, ἵνα τὸ συνειδὸς μὴ παρέλθῃ.

27. Ἔρρωται δὲ παρ᾽ αὐτοῖς καὶ ὁ τῆς ἀναστάσεως λόγος· ὁμολογοῦσι γὰρ καὶ τὴν σάρκα ἀναστήσεσθαι καὶ ἔσεσθαι ἀθάνατον, ὃν τρόπον ἤδη ἀθάνατός ἐστιν ἡ ψυχή, ἣν χωρισθεῖσαν νῦν φασιν εἰς ἕνα χῶρον εὔπνουν καὶ φωτεινὸν ἀναπαύεσθαι ἕως κρίσεως, ὃν χῶρον Ἕλληνες ἀκούσαντες μακάρων νήσους ὠνόμασαν. Ἀλλὰ καὶ ἕτερα τούτων δόγματα πολλοὶ τῶν Ἑλλήνων σφετερισάμενοι ἰδίας δόξας συνεστήσαντο. Ἔστι

ἐλαττοῦνται, ὥστε, εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολούεσθαι, καθάπερ ἀλλοφύλῳ συμφυρέντας. Καὶ μακρόβιοι μέν, ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης, ἐμοί γε δοκεῖν, καὶ τὴν εὐταξίαν. Καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονήμασι, τὸν δὲ θάνατον, εἰ μετ᾽ εὐκλείας προσίοι, νομίζοντες ἀθανασίας ἀμείνω. Διήλεγξε δ᾽ αὐτῶν ἐν ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος· ἐν ᾧ στρεβλούμενοι καὶ λυγιζόμενοι καιόμενοί τε καὶ κλώμενοι καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν ἀσυνήθων, οὐδέτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ᾽ οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους ἢ δακρῦσαι. Μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσι καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι.

11. Καὶ γὰρ ἔρρωται παρ᾽ αὐτοῖς ἥδε ἡ δόξα· φθαρτὰ

---

31. γεγένηται C 32. προσψαύειν] πρὸς ψάβειν C ψαύσαιεν Sauppius: ψαύσοιεν C M 34. ἑκατὸν] ἑκτὸν C 35. 36. αἴτιον — ἐγκρατιστὰς] αἴτιον τῆς ἄκρας θ. καὶ τοῦ τῷ κατ. ἀ. πρ. τὸ ἐγκρατιστὰς?: αἴτιον τό τε τ. ἄ. θ. καὶ

autem aetate posteriores a disciplinae severitate defecerunt, ut ii, qui in priscis moribus permanent, eos ne attingant quidem; quos si forte contigerint, ilico abluuntur, quasi alienigenam quem contigerint. Sunt autem et longaevi plerique, ita ut vel plus quam centum annos vivant. Aiunt igitur caussam esse eximiae istius pietatis immodicique, quo ad martyrium feruntur, studii, quod continentes sint iraeque temperent. Mortem autem contemnunt, gaudentque quando bonae mentis sibi conscii diem obeunt. Etiamsi vero quis cruciet hosce, ut vel legi maledicat, vel comedat, quod idolis immolatum est, non faciet, sustinens mori et cruciatus perferre, ne conscientiam suam violet.

27. Valet autem apud eos et resurrectionis dogma; profitentur enim et carnem resurrecturam immortalemque esse futuram, quomodo iam immortalis sit anima, quam separatam nunc aiunt in uno loco bene ventilato et luculento quiescere usque ad iudicium, quem locum Graeci cum audiverint beatorum insulas appellaverunt. Sed et alia eorum dogmata postquam sibi vindicaverunt multi Graecorum, suas opiniones con-

---

μὲν εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μέν, ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἴυγγί τινι φυσικῇ κατασπωμένας· ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷα δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. Καὶ ταῖς μὲν ἀγαθαῖς ὁμοδοξοῦντες παισὶν Ἑλλήνων ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι καὶ χῶρον οὔτε ὄμβροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ᾽ ὃν ἐξ ὠκεανοῦ πραῢς ἀεὶ ζέφυρος ἐπιπνέων αναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχόν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. Δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ᾽ ᾅδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σι-

---

τὸ κατὰ [πάντα] ἁγνῶς δὴ καὶ εὐμέτρως πρ. καὶ ἐγκρατιστὰς ingeniose coni. Sauppius 35. *καταγνωσθῆναι*] *καταγνωσθὴ* C 39. *ποιήσει*] *π . . ήσει* duabus litteris ablatis C: *πονήσει* M 45. *φασιν*] *ἔστιν* C M

γὰρ ἡ κατὰ τούτους ἄσκησις περὶ τὸ θεῖον ἀρχαιοτέρα πάντων ἐθνῶν, ὡς δείκνυσθαι πάντας τοὺς περὶ θεοῦ εἰπεῖν τετολμηκότας ἢ περὶ τῆς τῶν ὄντων δημιουργίας μὴ ἑτέρωθεν παρειληφέναι τὰς ἀρχὰς ἢ ἀπὸ τῆς Ἰουδαϊκῆς νομοθεσίας, ὧν μάλιστα Πυθαγόρας καὶ οἱ ἀπὸ τῆς Στοᾶς παρ' Αἰγυπτίοις τούτοις μαθητευθέντες παρέλαβον. Λέγουσι δὲ καὶ κρίσιν ἔσεσθαι καὶ τοῦ παντὸς ἐκπύρωσιν, καὶ τοὺς ἀδίκους κολασθήσεσθαι εἰσαεί. | Ἀσκεῖται δὲ ἐν αὐτοῖς τὸ προφητεύειν καὶ προλέγειν τὰ ἐσόμενα.

28. Ἔστι μὲν οὖν καὶ ἕτερον Ἐσσηνῶν τάγμα, τοῖς μὲν αὐτοῖς ἤθεσι καὶ διαίτῃ χρώμενοι, ἑνὶ δὲ τούτων ἐνδιαλλάττουσι, τῷ γαμεῖν, δεινόν τι λέγοντες δρᾶν τοὺς ἀ[πο]ποιήσαντας γάμου· πρὸς τὴν ἀναίρεσιν τοῦ βίου γίνεσθαι τοῦτο, καὶ μὴ δεῖν ἐκκόπτειν τὴν τῶν τέκνων διαδοχὴν φάσκοντες, ὡς εἰ πάντες τοῦτο φρονήσειαν, ἐκκοπήσεσθαι ῥαδίως τὸ πᾶν γένος ἀνθρώπων. Δοκιμάζουσι μέντοι τριετίᾳ τὰς γαμετάς· ἐπὰν δὲ τρὶς καθαρθῶσιν εἰς [πεῖρα]ν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐπιδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν γαμεῖν, ἀλλὰ διὰ τέκνων χρείαν. Ὁμοίως δὲ καὶ αἱ γυναῖκες ἀπολούονται καὶ αὗται ἐπένδυμα ἐνδυόμεναι λινοῦν, ὃν τρόπον οἱ ἄνδρες τὰ περιζώματα. Ταῦτα μὲν οὖν [τὰ] κατὰ Ἐσσηνούς.

Ἕτεροι δὲ καὶ αὐτοὶ τῶν Ἰουδαίων ἐθῶν ἀσκηταὶ καὶ κατὰ

σύφους καὶ Ταντάλους καὶ Ἰξίονας καὶ Τιτυούς, πρῶτον μὲν ἀϊδίους ὑφιστάμενοι τὰς ψυχάς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτήν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν. Τάδε μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες.

12. Εἰσὶ δὲ ἐν αὐτοῖς, οἳ καὶ τὰ μέλλοντα προγινώσκειν ὑπισχνοῦνται, βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προ-

---

51. περὶ τῆς] τῆς περὶ C M 56. τὸ προφ.] καὶ τὸ προφ.? Sauppius 58. Ἐσηνῶν C 59. 60. ἐνδιαλάττουσι C 60. λέγοντες] λέγοντος C 60. 61. ἀ[πο]ποιήσαντας] Litterae πο prorsus ablatae. M 65. [πεῖρα]ν]

flaverunt. Est enim eorum cultus divini numinis vetustior omnibus populis, ita ut appareat omnes, qui de deo loqui ausi sunt vel de mundi fabrica, non aliunde tradita accepisse initia, quam a Judaica legislatione, quorum inprimis Pythagoras et Stoici apud Aegyptios ab iis edocti acceperunt. Dicunt autem et iudicium esse futurum et universi deflagrationem et iniustos punitum iri in aeternum. Colitur autem inter eos vaticinatio et praedictio rerum futurarum.

28. Est igitur et alius Essenorum ordo, qui iisdem moribus et victu utuntur, hac una autem in re ab iis differunt, quod matrimonium ineunt, cum dicant aliquid immane facere eos, qui matrimonium abrogaverint; in vitae interitum id cedere, neque esse excidendam liberorum successionem dictitantes, cum, si omnes idem sentirent, facile excideretur universum genus hominum. Tentant tamen per triennium nuptas, cum autem ter purgatae sint, ad explorandum, num parere possint, ita eas in matrimonium ducunt. Cum gravidis rem non habent, ostendentes se non voluptatis caussa matrimonium inire, sed propter liberorum usum. Simili autem modo etiam mulieres abluuntur ipsae quoque veste indutae lintea, sicuti viri perizoniis. Haec igitur sunt, quae ad Essenos spectant.

Alii autem et ipsi Iudaeorum mores colunt et quoad ge-

φητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι, σπάνιον δὲ εἴ ποτε ἐν ταῖς προαγορεύσεσιν ἀστοχήσουσιν.

13. *Ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, ὃ δίαιταν μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὸς δὲ τῇ κατὰ γάμον δόξῃ. Μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχήν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δέ, εἰ πάντες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα. Δοκιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετάς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐκδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χρείαν γαμεῖν. Λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις*

Lacuna ex Iosepho expleta 68. *ἐπένδυμα*] *ἐπ' ἕνα* C 69. *τὰ* om C M 70. *ἐσηνούς* C 71. *ἐθῶν*] *ἐθνῶν* C

γένος καὶ κατὰ νόμους Φαρισαῖοι καλούμενοι, ὧν τὸ μὲν πλεῖστον μέρος ἐστὶ κατὰ πάντα τόπον, πάντων μὲν Ἰουδαίων καλουμένων, διὰ δὲ τὰς ἰδίως δοξαζομένας γνώμας ὀνόμασι κυρίοις ἐπικαλουμένων. Οὗτοι μὲν οὖν τὴν ἀρχαίαν παράδοσιν διακρατοῦντες, ἐπὶ τοῖς κατὰ νόμον καθαροῖς καὶ μὴ καθαροῖς ἐπὶ νεῖκος ἐξετάζοντες διαμένουσι· τά τε τοῦ νόμου ἑρμηνεύουσι, διδασκάλους εἰς ταῦτα προβιβάζοντες. Οὗτοι εἱμαρμένην εἶναι λέγουσι, καὶ τινὰ μὲν κατ' ἐξουσίαν εἶναι, τινὰ δὲ κατὰ τὴν| εἱμαρμένην, ὡς τινὰ μὲν ἐφ' ἡμῖν, τινὰ δὲ τῆς εἱμαρμένης, θεὸν δὲ πάντων εἶναι αἴτιον, καὶ μηδὲν ἄνευ θελήματος αὐτοῦ διοικεῖσθαι ἢ συμβαίνειν. Οὗτοι καὶ σαρκὸς ἀνάστασιν ὁμολογοῦσι καὶ ψυχὴν ἀθάνατον καὶ κρίσιν ἐσομένην καὶ ἐκπύρωσιν, καὶ δικαίους μὲν ἀφθάρτους ἔσεσθαι, ἀδίκους δὲ εἰσαεὶ κολασθήσεσθαι ἐν πυρὶ ἀσβέστῳ.

29. *Ταῦτα μὲν οὖν καὶ Φαρισαῖοι. Σαδδουκαῖοι δὲ τὴν μὲν εἱμαρμένην ἀναιροῦσι, [καὶ] τὸ[ν θεὸν] μηδέν τι κακὸν δρᾶν ἢ ἐφορᾶν ὁμολογοῦσιν, εἶναι δὲ ἐξ ἀνθρώπων ἐξουσίας τὸ αἱρεῖσθαι τὸ ἀγαθὸν ἢ κακόν. Ἀνάστασιν δὲ ἀρνοῦνται οὐ μόνον σαρκός, ἀλλὰ καὶ ψυχὴν μὴ διαμένειν νομίζουσι· [ταύτῃ δὲ] εἶναι μόνον τὸ ζῆν, καὶ τοῦτο δὲ εἶναι οὗ χάριν ἐγένετο ἄνθρωπος, ἐν δὲ τούτῳ πληροῦσθαι τὸν τῆς ἀναστάσεως λόγον, ἐν τῷ καταλείψαντας ἐπὶ γῆς τὰ τέκνα τελευτᾶν· μετὰ δὲ θάνατον μηδὲν ἐλπίζειν παθεῖν ἢ κακὸν ἢ ἀγαθόν· λύσιν γὰρ ἔσεσθαι καὶ ψυχῆς καὶ σώματος, καὶ εἰς τὸ μὴ εἶναι χωρεῖν τὸν ἄνθρωπον, καθ' ὃ καὶ τὰ λοιπὰ ζῷα. Ὅ,τι δ' ἂν δράσῃ ἄνθρωπος ἐν τῷ βίῳ κακόν, ἀνθρώποις κἂν διαλλαχθῇ, κε-*

ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι. **Τοιαῦτα** *μὲν ἔθη τοῦδε τοῦ τάγματος.*

14. *Δύο δὲ τῶν προτέρων Φαρισαῖοι μέν, οἱ δοκοῦντες μετὰ ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἐπάγοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτουσι πάντα, καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ μὴ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀν-*

---

74. 75. *κυρίοις*] *καιρίοις* C 77. *ἐπὶ νεῖκος*] *ἐπιεικὸς* C: *ἐπιεικῶς* M 87. Litterarum uncis inclusarum tenuissima vestigia in C supersunt. Restituimus ex Iosepho. M 88. *ἐξουσίας*] *ἐξουσίαν* C M, qui corrigendum esse putat *τοῦ αἱρ.* 90. 91. *ταύτῃ δὲ* R. Scottus: *ταύτην δὲ* C M, qui exesorum vocabulorum satis certa vestigia

nus et quoad leges Pharisaei appellati, quorum maxima pars omnibus locis est, cum omnes quidem Iudaei appellentur, propter singulares autem opiniones suas propriis nominibus vocentur. Hi igitur vetustam traditionem firmiter tenentes de iis, quae secundum legem munda sint immundaque, non desinunt litigiose disceptare, legisque sententiam interpretantur magistros ad ista studia producentes. Hi fatum esse aiunt, et aliqua arbitrio esse relicta, aliqua autem fato regi, ita ut aliqua penes nos sint, aliqua autem e fato pendeant, deum autem universarum rerum esse auctorem nihilque sine eius voluntate dispensari vel evenire. Hi etiam carnis resurrectionem profitentur et animam esse immortalem et iudicium futurum et deflagrationem, et iustos nunquam perituros esse, iniustos autem in perpetuum punitum iri in igne inextinguibili.

29. Haec igitur et Pharisaei. Sadducaei autem fatum tollunt, et deum nihil mali agere vel providere profitentur, esse autem in hominum potestate electionem boni aut mali. Resurrectionem vero negant non solum carnis, sed etiam animam non permanere opinantur; hic autem tantum esse vitam, et hanc esse caussam cur homo factus sit, hac autem re expleri resurrectionis notionem, quod relictis in terra filiis vitam finiamus; post mortem autem nullam esse spem patiendi vel malum vel bonum, solutum enim iri et animam et corpus et ad nihilum venire hominem sicuti etiam reliqua animantia. Quidquid autem homo in hac vita fecerit mali, dummodo hominibus reconciliatus sit, lucrifecit, cum hominum

---

θρώποις κεῖσθαι, βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην, ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην, τὴν δὲ τῶν φαύλων ἀϊδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δέ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι καὶ τὸν θεὸν ἔξω τοῦ δρᾷν τι κακὸν ἢ μὴ δρᾷν τίθενται· φασὶ δὲ ἐπ' ἀνθρώπων

---

adesse affirmat: *ἐπὶ γῆς?* 92. *ἐν δὲ τούτῳ*] *ἐν δὲ τῷ* C: *ἐνὶ δὲ τῷ* M. Sicuti nos etiam R. Scottus coniecit 97. *ἄνθρωπος ἐν*] *ἄνθρωπον ἐν* susp. M *ἀνθρώποις κἂν*] *ἄνθρωπος καὶ* C M: *ἀνθρώποις ἂν* Sauppius *διαλαχθῇ* C

κέρδηκε, τὴν ὑπὸ ἀνθρώπων διαφυγὼν κόλασιν· ὅ,τι δ' ἂν κτήσηται καὶ πλουτήσας δοξασθῇ, τοῦτο κεκέρδηκε· μέλειν δὲ θεῷ μηδὲν τῶν κατὰ ἕνα. Καὶ οἱ μὲν Φαρισαῖοι φιλάλληλοι, οἱ δὲ Σαδδουκαῖοι φίλαυτοι. Αὕτη ἡ αἵρεσις περὶ τὴν Σαμάρειαν μᾶλλον ἐκρατύνθη. Καὶ αὐτοὶ δὲ τοῖς τοῦ νόμου ἔθεσι προσέχουσι, λέγοντες δεῖν οὕτω ζῆν, ἵνα καλῶς βιώσῃ καὶ | τέκνα ἐπὶ γῆς καταλείπῃ. Προφήταις δὲ οὐ προσέχουσιν, ἀλλ' οὐδὲ ἑτέροις τισὶ σοφοῖς, πλὴν μόνῳ τῷ διὰ Μωσέως νόμῳ, μηδὲν ἑρμηνεύοντες. Ταῦτα μὲν οὖν, ἃ καὶ οἱ Σαδδουκαῖοι αἱρετίζουσιν.

30. *Ἐπεὶ τοίνυν καὶ τὰς παρὰ Ἰουδαίοις διαφορὰς ἐκτεθείμεθα, εὔλογον δοκεῖ καὶ τὴν ἄσκησιν τῆς τούτων θεοσεβείας μὴ παρασιωπᾶν. Ἔστι μὲν οὖν ἡ κατὰ πάντας Ἰουδαίους κατὰ τὴν θεοσέβειαν πραγματεία τετραχῆ, θεολογική, φυσική, ἠθική, ἱερουργική. Καὶ τὸν μὲν θεὸν ἕνα εἶναι λέγουσι, δημιουργόν τε τοῦ παντὸς καὶ κ[ύριον], ποιήσαντα πάντα οὐ πρότερον ὄ[ντα], οὐδὲ ἔκ τινος ὑποκειμένης συγχρόνου οὐσίας, ἀ[λλὰ θ]ελήσαντα καὶ κτίσαντα, εἶναί τε ἀγγέλους, καὶ τούτους γενομένους πρὸς λειτουργίαν τῆς κτίσεως, ἀλλὰ καὶ πνεῦμα ἐξουσιαστικὸν πρὸς δόξαν καὶ αἶνον θεῷ ἀεὶ παραμένον· τὰ πάντα δὲ ἐν τῇ κτίσει αἴσθησιν ἔχειν καὶ μηδὲν εἶναι ἄψυχον. Ἤθους τε ἀντιποιοῦνται σεμνοῦ καὶ σώφρονος βίου, καθὼς ἔστιν ἐκ τῶν νόμων ἐπιγνῶναι. Ταῦτα δὲ πάλαι ἀκριβαζόμενα ἦν παρ' αὐτοῖς, ἀρχῆθεν, [οὐ] νεωστὶ τὸν νόμον παρειληφόσιν, ὡς τὸν ἐντυγχάνοντα καταπλαγῆναι ἐπὶ τοσαύτῃ σωφροσύνῃ καὶ ἐπιμελείᾳ τοῦ περὶ τὸν ἄνθρωπον νομοθετουμένου ἤθους. Ἱερουργικὴ δὲ λειτουργία ἄκρως ἐξήσκητο παρ' αὐτοῖς εὐσχημόνως πρὸς τὸ θεῖον προσφερομένη, καθὼς τοῖς βουλομένοις ῥᾴδιόν ἐστιν ἐντυχοῦσι τῇ περὶ τούτων ἐξαγορευούσῃ βίβλῳ μαθεῖν, ὡς σεμνῶς*

ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι, καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. Ψυχῆς τε τὴν διαμονὴν καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. Καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν

---

98. *διαφυγὼν*] *διὰ φυγῶν* 99. *μέλειν*] *μέλλειν* C 1. *κατὰ ἕνα*] Fortasse *κατὰ γῆν* vel *κάτω* 9. 10. *ἐκτεθήμεθα* C 14. *κύριον*] *κτίστην* susp. R. Scottus: *κόσμον* Roeperus: *καὶ* fortasse bis exaratum fuisse putat M 15. *ὄντα*] Lacunam explevit M 18.

poenam subterfugerit; quidquid autem quaesiverit et ditescens excelluerit, hoc lucrifecit; nihil autem curare deum eorum quae ad singulos attinent. Et Pharisaei quidem sui invicem amantes sunt, Sadducaei autem sui ipsorum. Haec secta in Samaria admodum praevaluit. Et ipsi vero ad legis mores se applicant, dicentes oportere quemque ita vivere, ut pulchre vivat et filios in terra relinquat. Ad prophetas autem non se applicant, neque ad ullos alios sapientes, nisi solum ad Mosis legem, nihil interpretantes. Haec igitur sunt, quae et Sadducaei diligunt.

30. Quoniam igitur et quae inter Iudaeos sunt differentias exposuimus, congruens mihi esse videtur, etiam cultum eorum divinum silentio non praetermittere. Est igitur apud Iudaeos in universum doctrina de cultu divino quadruplex: theologica, naturalis, moralis, hierurgica. Et deum quidem unum esse aiunt, et opificem universi et dominum, qui fecerit universa, cum antea non fuerint, neque ex subiacente quadam substantia coaeva, sed volens et creans, et esse angelos eosque factos ad ministrandum rebus creatis, verum esse etiam spiritum quendam potentem ad celebrandum et laudandum apud deum semper permanentem; omnia autem in rebus creatis sensum habere, nihilque esse inanime. Et moribus student honestis modestaeque vitae, sicuti ex legibus cognoscere licet. Haec autem olim accurate definita erant apud ipsos, qui antiquitus, non nuper legem traditam acceperunt, ita ut lector stupescat in tanta modestia et accurata diligentia morum homini lege sanctorum. Hierurgicum autem ministerium summopere excultum est apud eos, decenter numini divino accommodatum, sicuti iis qui volunt, si librum, qui de his rebus agit, legunt,

---

ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον, αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς, ὡς πρὸς ἀλλοτρίους. Τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν.

παραμένον· τὰ] παραμένοντα· C M 21. 22. *παρ' αὐτοῖς, ἀρχῆθεν, οὐ νεωστὶ* Sauppius: *παρὰ τοῖς ἀρχῆθεν νεοστὶ* C M, qui in hoc verbo latere suspicatur *ἐν ὄρει*

καὶ ὁσίως τῷ θεῷ ἀπαρχόμενοι τῶν παρ᾽ αὐτοῦ δεδωρημένων εἰς χρῆσιν καὶ ἀπόλαυσιν ἀνθρώπων, κελευόμενοι εὐτάκτως καὶ παραμόνως ἐλειτούργουν. Τούτων δέ τινα οἱ Σαδδουκαῖοι ἀπαγορεύουσιν· οὐ γὰρ βούλονται ἀγγέλους ἢ | πνεύματα ὑπάρχειν. Οἱ δὲ πάντες ὁμοίως Χριστὸν προσδέχονται, τοῦ μὲν νόμου καὶ τῶν προφητῶν παρεσόμενον προκηρυξάντων, τῶν δὲ Ἰουδαίων τὸν καιρὸν τῆς παρουσίας μὴ ἐπιγνόντων, [ὡς] ἐπιμένειν τὴν ὑπόνοιαν τοῦ δοκεῖν μὴ τὰ εἰ[ρημένα] περὶ τῆς παρουσίας τετελέσθαι, προσδοκᾶν δὲ ἤδη Χριστὸν παρεσόμενον διὰ τὸ παρόντα μὴ ἐπεγνωκέναι, καὶ τὰ σύμβολα τῶν καιρῶν τοῦ ἤδη παραγεγονέναι ὁρῶντας ταράττεσθαι, αἰδεῖσθαί τε ὁμολογεῖν ἐληλυθέναι, ἐπεὶ αὐτόχειρες αὐτοῦ γεγένηνται, ἀγανακτοῦντες ἐλεγχόμενοι ὑπ᾽ αὐτοῦ, ὅτι τοῖς νόμοις μὴ ὑπήκουσαν. Καὶ τὸν μὲν οὕτως ἀποσταλέντα ὑπὸ τοῦ θεοῦ Χριστὸν οὐκ εἶναι τοῦτον λέγουσιν· ἐλεύσεσθαι δὲ ἕτερον, τὸν οὐκ ὄντα, εἰς ὃν τὰ μὲν σύμβολα ἐκ μέρους, ὅσα ὁ νόμος καὶ οἱ προφῆται προέφηναν, ὁμολογοῦσι, τινὰ δὲ καὶ πλανώμενοι νομίζουσι· γένεσιν μὲν γὰρ αὐτοῦ ἐσομένην λέγουσιν ἐκ γένους Δαβίδ, ἀλλ᾽ οὐκ ἐκ παρθένου καὶ ἁγίου πνεύματος, ἀλλ᾽ ἐκ γυναικὸς καὶ ἀνδρός, ὡς πᾶσιν ὅρος γεννᾶσθαι ἐκ σπέρματος, φάσκοντες τοῦτον ἐσόμενον βασιλέα ἐπ᾽ αὐτούς, ἄνδρα πολεμιστὴν καὶ δυνατόν, ὃς ἐπισυνάξας τὸ πᾶν ἔθνος Ἰουδαίων, πάντα τὰ ἔθνη πολεμήσας, ἀναστήσει αὐτοῖς τὴν Ἱερουσαλὴμ πόλιν βασιλίδα, εἰς ἣν ἐπισυνάξει ἅπαν τὸ ἔθνος, καὶ πάλιν ἐπὶ τὰ ἀρχαῖα ἔθη ἀποκαταστήσει βασιλεῦον καὶ ἱερατεῦον καὶ κατοικοῦν ἐν πεποιθήσει ἐν χρόνοις ἱκανοῖς· ἔπειτα ἐπαναστῆναι κατ᾽ αὐτῶν πόλεμον ἐπισυναχθέντων· ἐν ἐκείνῳ τῷ πολέμῳ πεσεῖν τὸν Χριστὸν ἐν μαχαίρῃ, ἔπειτα μετ᾽ οὐ πολὺ τὴν συντέλειαν καὶ ἐκπύρωσιν τοῦ παντὸς ἐπιστῆναι, καὶ οὕτως τὰ περὶ τὴν ἀνάστασιν | δοξαζόμενα ἐπιτελεσθῆναι, τάς τε ἀμοιβὰς ἑκάστῳ κατὰ τὰ πεπραγμένα ἀποδοθῆναι.

31. *Δοκεῖ μὲν ἡμῖν ἱκανῶς τὰ πάντων Ἑλλήνων τε καὶ βαρβάρων δόγματα ἐκτεθεῖσθαι, μηδὲν δὲ ἀπολελοιπέναι μήτε*

31. *βούλονται*] *βούλοινται* C 33. *προφητῶν*] *προφητῶν τὸν*? Sauppius *προκηρυξάντων, τῶν*] *προκηρυξάντων. Τῶν* C M 34. *ἐπιγνόντων, ὡς*] *ἐπιγνόντων* C M: *ἐπιγνόντων, ἐγένετο* coni. Roeperus 35. Syllabae *ρημένα* ablatae. M 37. *τὸ παρόντα*] *τὸ τὸν παρόντα* ? 39. Scripsimus *ἐληλυθέναι*. Initio lacunae *ἐ*, in fine *αι*, et paullo ante accentus conspicitur. M

facile est cognitu, quam honeste et religiose deo offerentes primitias eorum, quae ab ipso in usum et commodum hominum donata sunt, eius iussu ordinate et assidue ministraverint. Horum autem aliqua Sadducaei negant; nolunt enim angelos vel spiritus extare. Omnes autem simili modo Christum exspectant, cum lex et prophetae adventurum praenunciaverint, Iudaei autem tempus eius adventus non agnoverint, ita ut remaneat suspicio putantibus, ea, quae de adventu eius dicta sunt, non esse impleta, exspectent autem iam adventurum Christum, quia eum cum advenit non agnoverint, et signa temporum quod iam adfuerit videntes perturbentur et pudeat eos confiteri eum venisse, quoniam suis manibus eum necaverint, indignati cum ab eo convincerentur, quod legibus non obedivissent. Et eum, qui ita missus est a deo, hunc Christum non esse dicunt, venturum autem esse alium, qui nondum extet, in quem cadere signa ex parte, quotquot lex et prophetae praemonstraverunt, confitentur, aliqua autem etiam errabundi opinantur; namque generationem eius futuram esse dicunt ex genere David, non autem e virgine et spiritu sancto, sed e muliere et viro, sicuti omnibus definitum sit generari ex semine, fatentes hunc futurum esse regem super ipsos, virum belligerantem ac potentem, qui, ubi congregaverit universum populum Iudaeorum omnesque populos bello persecutus fuerit, instaurabit iis Hierosolyma urbem regiam, in quam congregabit universum populum et rursus ad priscos mores reducet fungentem regio et sacerdotali munere et habitantem in confidentia per satis longa tempora; tum insurrecturum esse bellum contra eos congregatos; in illo bello casurum esse Christum per gladium; tum haud ita multo post successuram esse consummationem ac deflagrationem universi, et ita quae de resurrectione opinantur perfectum iri, mercedesque cuique prout egerit tributum iri.

31. Videntur nobis sufficienter omnium et Graecorum et barbarorum placita esse exposita, nihilque remansisse irrefuta-

ἐπεὶ] ἐπὶ C 42. 43. εἰς ὃν τὰ] εἰς ὄντα C M 43. ἐκ μέρους] Exciditne vocabulum ἀναφέρεσθαι vel tale quid? 44. πλανώμενοι] πλανώμενον C 47. γενᾶσθαι C 55. μαχαίρῃ] μαχαίρᾳ? 60. ἐκτεθῆσθαι C ἀπολελοιπέναι] ἀπολελυπέναι C: ἀπολελειπέναι M

τῶν φιλοσοφουμένων μήτε τῶν ὑπὸ αἱρετικῶν φ[ασκο]μένων ἀναπόδεικτον, οἷς ἐξ αὐτῶν τῶν ἐκτεθέντων φανερὸς γεγένηται ὁ ἔλεγχος ἢ κλεψιλογησάντων ἤ τινα ἐρανισαμένων αὐτὰ τὰ ὑπὸ Ἑλλήνων πεπονημένα παραθεμένων ὡς θεῖα. Διὰ πάντων οὖν διαδραμόντες καὶ μετὰ πολλοῦ πόνου ἐν ταῖς ἐννέα βίβλοις τὰ πάντα δόγματα ἐξειπόντες, πᾶσί τε ἀνθρώποις ἐφόδιον ἐν βίῳ μικρὸν καταλιπόντες, καὶ τοῖς παροῦσιν οὐκ ὀλίγης χαρᾶς καὶ θυμηδίας φιλομάθειαν παρασχόντες, εὔλογον ἡγούμεθα ὥσπερ κορυφὴν τοῦ παντὸς [τὸν] περὶ ἀληθείας λόγον ἐπενέγκαι, καὶ τοῦτον ἐν μιᾷ βίβλῳ τῇ δεκάτῃ περιγράψαι, ὅπως ὁ ἐντυγχάνων μὴ μόνον ἀνατροπὴν τῶν τετολμηκότων αἱρέσεις συστήσασθαι ἐπιγνοὺς καταφρονήσῃ τῶν ματαίων, ἀλλὰ καὶ τὴν τῆς ἀληθείας δύναμιν ἐπιγνοὺς ἀξίως θεῷ πιστεύσας σωθῆναι δυνηθῇ. |

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ
ΒΙΒΛΙΟΝ Ι'.

1\. *Τάδε ἔνεστιν ἐν τῇ δεκάτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου·*

2\. *Ἐπιτομὴ πάντων τῶν φιλοσόφων,*

3\. *Ἐπιτομὴ πασῶν [τῶν] αἱρέσεων,*

4\. *Καὶ ἐπὶ πᾶσι, τίς ὁ τῆς ἀληθείας λόγος.*

5\. *Τὸν λαβύρινθον τῶν αἱρέσεων οὐ βίᾳ διαρρήξαντες, ἀλλὰ μόνῳ ἐλέγχῳ ἀληθείας δυνάμει διαλύσαντες, πρόσιμεν ἐπὶ τὴν τῆς ἀληθείας ἀπόδειξιν. Τότε γὰρ τῆς πλάνης ἔντεχνα σοφίσματα ἀσύστατα φανερωθήσεται, ἐπὰν ὁ τῆς ἀληθείας ὅρος ἐπιδειχθῇ, οὐκ ἀπὸ σοφίας Ἑλλήνων ἀρχὰς μεταλαβών, οὐδ' Αἰγυπτίων δόγματα, τὰ ἐν αὐτοῖς μετ' ἀξιοπιστίας θρησκευόμενα μάταια, ὡς ἄρρητα διδαχθείς, οὐδὲ Χαλδαίων ἀσυστάτῳ περιεργίᾳ σοφισθείς, οὐδὲ Βαβυλωνίων ἀλογίστῳ μανίᾳ*

61\. Litterae suppletae lacunam exacte implent; supersunt vestigia litterarum *α* et *κ*. M 65. 66. *ταῖς ἐννέα βίβλοις*] *τοῖς ἐννέα βίβλοις* C: vel *τοῖς ἐννέα βιβλίοις* 67. *ὀλίγης* Roeperus: *ὀλίγοις* C M

tum neque philosophumenorum neque eorum, quae ab haereticis dicta sunt, qui ex ipsis expositis manifeste arguti sunt vel expilando vel quaedam corrogando ea ipsa, quae a Graecis elaborata sunt, proposuisse tanquam divina. Postquam igitur per omnia percurrimus et magno labore novem his libris omnia placita ediximus, omnibusque hominibus parvum in vita viaticum reliquimus, et praesentibus haud parvae laetitiae et oblectationis studium discendi praebuimus, commodum arbitramur tanquam fastigium totius operis sermonem de veritate afferre eumque in uno libro decimo delineare, ut lector non solum cum refutationem eorum, qui haereses condere ausi sunt, cognoverit, inania spernat, sed etiam, cum veritatis vim cognoverit, digne ubi deo crediderit, salvari possit.

REFUTATIONIS OMNIUM HAERESIUM
LIBER DECIMUS.

1. Haec insunt in decimo libro refutationis omnium haeresium:

2. Summarium omnium philosophorum,

3. Summarium omnium haeresium,

4. Et denique post omnia, quaenam sit veritatis doctrina.

5. Labyrinthum haeresium postquam non violenter disrupimus, sed sola refutatione veritatis vi dissolvimus, ad veritatis demonstrationem aggredimur. Tum enim erroris artificiosa sophismata male nexa manifesta fient, quando veritatis definitio ostensa fuerit, non a sapientia Graecorum principium nacta, neque Aegyptiorum placita, vana illa inter ipsos cum fiducia culta, tanquam arcana edocta, neque Chaldaeorum dissoluta curiositate inducta, neque Babyloniorum stulta vesania per efficaciam daemonum perculsa, sed quo extat

68. *ϑυμιδίας* C 69. *τὸν* add M 4. *Ἐπιτομὴ*] *Ἐπὶ τῷ μὴ* C *τῶν*] om C 7. *πρόσιμεν*] *πρόσειμεν* C

δι' ἐν[εργεί]ας δαιμόνων καταπλαγείς, ἀλλ' ᾧ ὑπάρχει τρόπῳ ὅρος ἀληθὴς ὢν ἀφύλακτός τε καὶ ἀκαλλώπιστος, ὃς μόνον φανεὶς ἐλέγξει τὴν πλάνην. Περὶ οὗ εἰ καὶ πλειστάκις ἀποδείξεις ἐποιήσαμεν καὶ ἱκανῶς τὸν τῆς | ἀληθείας κανόνα ἀφθόνως τοῖς βουλομένοις ἐπεδείξαμεν, ἀλλά γε καὶ νῦν οὐκ ἄλογον ἐκρίναμεν ἐπὶ πᾶσι τοῖς Ἕλλησι δεδοκημένοις καὶ αἱρετικοῖς ὡσεὶ κορωνίδα τῶν βίβλων ἐπενέγκαι ταύτην τὴν ἀπόδειξιν διὰ τῆς δεκάτης βίβλου.

6. *Συμπεριλαβόντες τοίνυν τὰ πάντων τῶν παρ' Ἕλλησι σοφῶν δόγματα ἐν τέσσαρσι βιβλίοις, τὰ δὲ τοῖς αἱρεσιάρχαις ἐν πέντε, νῦν τὸν περὶ ἀληθείας λόγον ἐν $\bar{\alpha}$ ἐπιδείξομεν, ἀνακεφαλαιούμενοι πρῶτον τὰ πᾶσι δεδοκημένα. Οἱ μὲν γὰρ τῶν Ἑλλήνων δογματισταὶ τὴν φιλοσοφίαν τριχῇ διελόντες οὕτως ἐφιλοσόφησαν, οἱ μὲν φυσικήν, οἱ δὲ ἠθικήν, οἱ δὲ διαλεκτικὴν προσαγορεύσαντες. Καὶ οἱ μὲν τὴν φυσικὴν οὗτοι γεγένηνται, οὕτως δὲ διηγήσαντο· οἱ μὲν ἐξ ἑνὸς τὰ πάντα, οἱ δὲ ἐκ πλειόνων· καὶ τῶν ἐξ ἑνὸς οἱ μὲν ἐξ ἀποίου, οἱ δὲ ἐκ [τοῦ] ποιοῦ· καὶ τῶν ἐκ ποιοῦ οἱ μὲν ἐκ πυρός, οἱ δὲ ἐξ ἀέρος, οἱ δὲ ἐξ ὕδατος, ἄλλοι δὲ ἐκ γῆς· καὶ τῶν ἐκ πλειόνων οἱ μὲν ἐξ ἀριθμητῶν, [οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν] οἱ μὲν ἐκ δυοῖν, οἱ δὲ ἐκ τεσσάρων, οἱ δὲ ἐκ $\bar{\varepsilon}$, οἱ δὲ ἐκ $\bar{\varsigma}$· καὶ τῶν ἐξ ἀπείρων οἱ μὲν ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ ἐξ ἀνομοίων· καὶ τούτων οἱ μὲν ἐξ [ἀπα]θῶν, οἱ δὲ ἐκ παθητῶν. Ἐξ ἀποίου μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων συνεστήσαντο γένεσιν οἱ Στωϊκοί. Ἀρχὴ*

Sext. Empir. *adv. Physic.* X. §. 310 sqq. p. 684 sqq. *Περὶ γενέσεως καὶ φθορᾶς. Ἡ μὲν γενέσεως καὶ φθορᾶς ζήτησις συνίσταται τοῖς Σκεπτικοῖς πρὸς τοὺς Φυσικοὺς σχεδόν τι περὶ τῶν ὅλων· εἴ γε τῶν σκεψαμένων περὶ τῆς τοῦ παντὸς συστάσεως οἱ μὲν ἐξ ἑνὸς ἐγέννησαν τὰ πάντα, οἱ δ' ἐκ πλειόνων· καὶ τῶν ἐξ ἑνὸς οἱ μὲν ἐξ ἀποίου, οἱ δὲ ἐκ ποιοῦ· καὶ τῶν ἐκ ποιοῦ οἱ μὲν ἐξ ἀέρος, οἱ δ' ἐξ ὕδατος, οἱ δὲ ἐκ πυρός,*

---

14. Lacunam explevit M *ἀλλ' ᾧ*] *ἀλλ' ὡς* C 15. *ἀληθὴς*] *ἀληθεὶς* C *ἀκαλλώπιστος, ὃς*] *ἀκαλλώπιστος* C M 23. *βιβλίοις*] *βίβλοις* (ι superscr.) C Post *αἱρεσιάρχαις* cum M *δεδοκημένα* inserendum esse videtur; confer autem infra p. 502, 88, ubi eadem recurrunt 24. *ἐν $\bar{\alpha}$* Iac. Bernaysius in *Ep. crit. ad Bunsenium*: *ἕνα*

modo definitio vera existens et ingenua et sincera, quae, dummodo apparuerit, refutabit errorem. Cuius etsi saepissime rationem aperuimus satisque veritatis regulam liberaliter iis qui volunt ostendimus: sed tamen nunc etiam non absonum arbitrati sumus post omnia Graecorum et haereticorum placita tanquam fastigium librorum hanc afferre demonstrationem per decimum librum.

6. Complexi igitur omnium apud Graecos sapientum placita in quattuor libris, ea autem, quae haeresiarchis placuerunt in quinque, iam veritatis doctrinam in uno ostendemus, recapitulantes primum omnium placita. Graecorum enim dogmatistae cum philosophiam trifariam diviserint, ita philosophati sunt, alii physicen, alii ethicen, alii dialecticen nuncupantes. Et qui physicen, fuerunt hi, in hunc autem modum disputaverunt: alteri ex uno omnia (sc. generaverunt), alteri ex pluribus; et ex iis, qui ex uno, alteri ex nulla qualitate praedito, alteri ex aliqua praedito qualitate; et ex iis, qui ex aliqua praedito qualitate, alii ex igne, alii ex aëre, alii ex aqua, alii e terra; et ex iis, qui ex pluribus, alteri ex numerabilibus, alteri ex infinitis; et ex iis, qui ex numerabilibus, alii ex duobus, alii ex quattuor, alii ex quinque, alii ex sex; et ex iis, qui ex infinitis, alteri ex similibus eorum quae generantur, alteri ex dissimilibus; et ex his alteri ex impatibilibus, alteri ex patibilibus. Ex corpore igitur nulla qualitate praedito eoque uno universitatis originem constituerunt Stoici. Prin-

---

ἄλλοι ἐκ γῆς· καὶ τῶν ἐκ πλειόνων οἱ μὲν ἐξ ἀριθμητῶν, οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν οἱ μὲν ἐκ δύο, οἱ δ' ἐκ τεσσάρων, οἱ δ' ἐκ πέντε, οἱ δ' ἐξ ἕξ· καὶ τῶν ἐξ ἀπείρων οἱ μὲν ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ ἐξ ἀνομοίων· καὶ τούτων οἱ μὲν ἐξ ἀπαθῶν, οἱ δ' ἐκ παθητῶν. Ἐξ ἀποίου μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων ὑπεστήσαντο γένεσιν οἱ

C M, qui *ἑνὶ* legendum esse putat 29. sqq. Quae sequuntur, hausta sunt ex Sexto Empirico, cuius verba textui supposuimus 31. *ἐκ ποιοῦ*] *ἐκ τοῦ ποιοῦ* C M 33. 34. *οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν*] om C 35. 36. *γεννωμένοις*] *γενομένοις* CM 36. *τούτων*] *πρὸς τούτοις* CM 37. *παθητῶν. Ἐξ ἀποίου*] *παθητικῶν. Ἀποίου* C M

γὰρ τῶν ὅλων κατ᾽ αὐτούς ἐστιν ἡ ἄποιος ὕλη καὶ δι᾽ ὅλων τρεπτή· μεταβαλλούσης δὲ αὐτῆς γίνεται πῦρ, ἀήρ, ὕδωρ, γῆ. Ἐξ ἑνὸς δὲ καὶ ποιοῦ γεγενῆσθαι τὰ πάντα | θέλουσιν οἵ τε περὶ τὸν Ἵππασον καὶ Ἀναξίμανδρον καὶ Θαλῆ τὸν Μιλήσιον. Ἵππασος μὲν ὁ Μεταπόντιος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος ἐκ πυρὸς ἀπεφήναντο τὴν γένεσιν, Ἀναξίμανδρος δὲ ἐξ ἀέρος, Θαλῆς δὲ ἐξ ὕδατος, Ξενοφάνης δὲ ἐκ γῆς. Ἐκ γῆς γάρ, φησί, πάντα ἐστί, καὶ εἰς γῆν πάντα τελευτᾷ.

7. Ἐκ πλειόνων δὲ καὶ ἀριθμητῶν, δυεῖν μέν, γῆς τε καὶ ὕδατος, τὰ ὅλα συνεστηκέναι φησὶν ὁ ποιητὴς Ὅμηρος, ὁτὲ μὲν λέγων·

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,

ποτὲ δέ·

Ἀλλ᾽ ὑμεῖς [μὲν] πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Συμφέρεσθαι δ᾽ αὐτῷ δοκεῖ καὶ ὁ Κολοφώνιος Ξενοφάνης· φησὶ γάρ·

Πάντες [γὰρ] γαίης [τε] καὶ ὕδατος ἐκγενόμεσθα.

Ἐκ γῆς δὲ καὶ αἰθέρος Εὐριπίδης, ὡς πάρεστιν ἐπιγνῶναι ἐκ τοῦ λέγειν αὐτόν·

Αἰθέρα καὶ γαῖαν πάντων γενέτειραν ἀείδω.

Ἐκ τεσσάρων δὲ Ἐμπεδοκλῆς, οὕτως λέγων· |

Στωϊκοί. Ἀρχὴ γὰρ τῶν ὄντων κατ᾽ αὐτούς ἐστιν ἡ ἄποιος ὕλη καὶ δι᾽ ὅλων τρεπτή, μεταβαλλούσης τε ταύτης γίνεται τὰ τέσσαρα στοιχεῖα, πῦρ καὶ ἀήρ, ὕδωρ καὶ γῆ. Ἐξ ἑνὸς δὲ καὶ ποιοῦ γεγενῆσθαι τὰ πάντα θέλουσιν οἵ τε περὶ τὸν Ἵππασον καὶ Ἀναξίμανδρον καὶ Θαλῆ· ὧν Ἵππασος μὲν καὶ κατά τινας Ἡράκλειτος ὁ Ἐφέσιος ἐκ πυρὸς ἀπέλιπον τὴν γένεσιν, Ἀναξίμανδρος δὲ ἐξ ἀέρος, Θαλῆς δὲ ἐξ ὕδατος, Ξενοφάνης δὲ κατ᾽ ἐνίους ἐκ γῆς·

Ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.

Ἐκ πλειόνων δὲ καὶ ἀριθμητῶν δυοῖν μέν, γῆς τε καὶ ὕδατος, ὁ ποιητὴς Ὅμηρος, ὁτὲ μὲν λέγων·

---

40. τρεπτή] τρέπει C 41. οἵ τε] οἱ δὲ C 42. 43. Μιλήσιον. Ἵππασος] Μιλήσιον, ὧν Ἵππασος? 45. 46. Apud Karsten. fr. 8. p. 45. Fort. versus restituendus qui apud Sextum. M 46. γῆν] τὴν γῆν C M 47. ἀριθμητῶν] ἀριθμῶν C 48. φησὶ C 50. Hom. Il. 14, 201 Τηθύν] τιθὲν C 52. Hom. Il. 7, 99 μὲν

cipium enim universi ex eorum sententia est materia nulla praedita qualitate et omni ex parte mutabilis; ea autem cum convertitur, nascuntur ignis, aër, aqua, terra. Ex uno autem eoque qualitate praedito facta esse volunt omnia et Hippasi et Anaximandri et Thaletis Milesii scholae. Hippasus quidem Metapontius et Heraclitus Ephesius ex igne declaraverunt esse rerum originem, Anaximander autem ex aëre, Thales autem ex aqua, Xenophanes autem ex terra. *Ex terra enim*, inquit, *omnia sunt, et in terram omnia desinunt.*

7. Ex pluribus autem et numerabilibus, duobus quidem, terra et aqua universum constare ait poëta Homerus, tum quidem dicens:

Oceanumque deorum originem et matrem Tethyn,

tum vero:

Sed vos omnes aqua et terra fiatis.

Concinere autem cum eo videtur etiam Xenophanes Colophonius: ait enim:

Nos omnes enim ex terra et aqua exorti sumus.

Ex terra autem et aethere Euripides, ut licet cognoscere ex eo quod dicit:

Aethera et terram universorum genitricem canto.

Ex quattuor autem Empedocles, cum ait in hunc modum:

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,

ὅτὲ δέ·

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Συμφέρεσθαι δ' αὐτῷ δοκεῖ κατ' ἐνίους καὶ ὁ Κολοφώνιος Ξενοφάνης· φησὶ γάρ·

Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.

Ἐκ γῆς δὲ καὶ αἰθέρος Εὐριπίδης, ὡς πάρεστιν ἐκδέξασθαι ἐκ τοῦ λέγειν αὐτόν·

Αἰθέρα καὶ γαῖαν πάντων γενέτειραν ἀείδω.

Ἐκ τεσσάρων δὲ ὁ Ἐμπεδοκλῆς·

---

om C 53. *Συμφέρεσθαι*] *Συμφερές*, posito ς super *φε* C 55. Fragm. 9. p. 46. Karst. *γὰρ γαίης τε*] *γαίης* C M *ἐκγενόμεσθα*] *ἐγενόμεθα* C M 56. *αἰθέρος*] *ἀέρος* C M 58. De hoc versu, quem ex Euripidis hymnis repetitum esse putat I. A. Fabricius, cf. quae vir clariss. disputavit ad locum Sexti

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀήρ, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς,
Νῆστις δὲ ἠδακτοῖς σπονδε κρουνῷ μαβρόντιον.

Ἐκ πέντε δὲ Ὄκελλος ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα, ἐξ οὗ λέγουσιν εἶναι τὰ οὐράνια. Ἐκ δὲ τῶν ϛ τὴν τῶν πάντων ὑπέθεντο γένεσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα. Ἐν οἷς μὲν γὰρ λέγει· δ̄ τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε, ἐκ τεσσάρων ποιεῖ τὴν γένεσιν· ὅταν δὲ προσθῇ·

Νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντη,
καὶ φιλίη μετὰ τοῖσιν, ἴση μῆκός τε πλάτος τε,

ἓξ παραδίδωσι τὰς τῶν ὅλων ἀρχάς, δ̄ μὲν ὑλικάς, γῆν, ὕδωρ, πῦρ, ἀέρα, δύο δὲ τὰς δραστηρίους, φιλίαν καὶ νεῖκος. Ἐξ ἀπείρων δὲ ἐδογμάτισαν τὴν τῶν πάντων γένεσιν οἱ περὶ Ἀναξαγόραν τὸν Κλαζομένιον καὶ Δημόκριτον καὶ Ἐπίκουρον καὶ ἄλλοι παμπληθεῖς, ὧν ἐκ μέρους πρότερον ἐμνήσθημεν. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ περὶ τὸν Δημόκριτον καὶ Ἐπίκουρον ἐξ ἀνομοίων τε καὶ ἀπαθῶν, τουτέστιν ἐκ τῶν ἀτόμων, οἱ δὲ περὶ τὸν Ποντικὸν Ἡρακλείδην καὶ Ἀσκληπιάδην ἐξ ἀνομοίων [μέν], παθητῶν | δέ, καθάπερ τῶν ἀνάρμων ὄγκων, οἱ δὲ περὶ τὸν Πλάτωνα ἐκ τριῶν· εἶναι ταῦτα λέγουσι θεὸν καὶ ὕλην καὶ παράδειγμα. Τὴν δὲ ὕλην μερίζει εἰς τέσσαρας ἀρχάς, πῦρ, ὕδωρ, γῆν,

---

Τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεὺς
Νῆστίς θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ἐκ πέντε δὲ Ὄκελλος ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα, ἐξ οὗ λέγουσιν εἶναι τὰ οὐράνια. Ἐκ δὲ τῶν ἓξ τὴν πάντων ὑπέθεντο γένεσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα. Ἐν οἷς μὲν γὰρ λέγει τέσσαρα τῶν πάντων ῥιζώματα, ἐκ τεσσάρων ποιεῖ τὴν γένεσιν· ὅταν δὲ προσθῇ·

60—62. Cf. quae supra p. 384 sq. ad hos versus adnotavimus
63. Ὄκελλος ὁ Λευκανός] ὁ κη.γλος λευκανός C   65. ἐξ οὗ] καὶ C M
67. δ̄ τῶν] δὲ τῶν C   69. 70. Empedocl. vss. 106 sq. Karsten., 79 sq. Stein.   69. δίχα τῶν ἀτάλαντον] διχάζων ἀταλλάττον C

Quattuor universorum radices primum audi:
Iuppiter lucidus Iunoque alma et Aïdoneus
Nestisque quae lacrimis humectat scaturiginem humanam.

Ex quinque autem Ocellus Lucanus et Aristoteles; simul enim cum quattuor elementis assumpserunt quintum idque in orbem motum corpus, ex quo dicunt esse caelestia. Ex sex autem universi ortum posuit Empedoclis schola. Cum enim ait: *quattuor universorum radices primum audi*, ex quattuor statuit esse originem; quando autem addit:

Discordia perniciosa praeter illos, ex omni parte aequabilis,
et amicitia cum his, par ad longitudinem et latitudinem,

sex tradit universorum principia, quattuor quidem materialia, terram, aquam, ignem, aëra, duo autem agentia, amicitiam et discordiam. Ex infinitis autem opinati sunt universorum esse originem Anaxagorae Clazomenii et Democriti et Epicuri scholae aliique permulti, quorum antea ex parte mentionem fecimus. Sed Anaxagoras quidem ex similibus eorum quae generantur, Democriti autem schola et Epicuri ex dissimilibus iisque impatibilibus, hoc est ex individuis, Heraclidis autem Pontici et Asclepiadis scholae ex dissimilibus quidem, sed patibilibus, sicuti ex inconcinnis corpusculis, Platonis autem schola ex tribus; haec esse dicunt deum et materiam et exemplum. Materiam autem dividit in quattuor principia: ignem, aquam,

---

Νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
καὶ φιλίη μετὰ τοῖσιν, ἴσον μῆκός τε πλάτος τε,

ἓξ παραδίδωσι τὰς τῶν ὄντων ἀρχάς, τέσσαρας μὲν τὰς ὑλικάς, γῆν, ὕδωρ, ἀέρα, πῦρ, δύο δὲ τὰς δραστηρίους, φιλίαν καὶ νεῖκος. Ἐξ ἀπείρων δὲ ἐδόξασαν τὴν τῶν πραγμάτων γένεσιν οἱ περὶ Ἀναξαγόραν τὸν Κλαζομένιον καὶ Δημόκριτον καὶ Ἐπίκουρον καὶ ἄλλοι παμπληθεῖς. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ περὶ τὸν Δημόκριτον καὶ Ἐπίκουρον ἐξ ἀνομοίων τε καὶ ἀπαθῶν, τουτέστι τῶν ἀτόμων, οἱ δὲ περὶ τὸν Ποντικὸν Ἡρακλείδην καὶ Ἀσκληπιάδην ἐξ ἀνομοίων μέν, παθητῶν δέ, καθάπερ τῶν ἀνάρμων ὄγκων. Προειληφότες οὖν ὅτι πᾶσι τούτοις ἄπορος δείκνυται ὁ τῆς

---

70. *φιλίη μετὰ τοῖσιν*] *φιλία μετὰ οἷσιν* C 71. *ἓξ*] *ἓξ καὶ* C M
79. *μὲν*] om C M 80. *ἀνάρμων*] *ἀνάρχων* C M

ἀέρα· θεὸν δὲ τὸν ταύτης εἶναι δημιουργόν, τὸ δὲ παράδειγμα νοῦν.

8. *Πεπεισμένοι τοίνυν ὅτι πᾶσι τούτοις ὁμολογουμένως ἄπορος εὑρίσκεται ὁ τῆς φυσιολογίας λόγος, αὐτοὶ περὶ τῶν τῆς ἀληθείας παραδειγμάτων ὡς ἔστι καὶ πεπιστεύκαμεν, ἀόκνως ἐροῦμεν, πλ[ὴν] καὶ τὰ τοῖς αἱρεσιάρχαις ἐπιτομῇ πρότερον ἐκθέμενοι, ἵνα καὶ διὰ τούτου εὔγνωστα τὰ πάντων δόγματα παραστήσαντες φανερὰν καὶ εὔγνωστον τὴν ἀλήθειαν ἐπιδείξωμεν.*

9. *Ἀλλ' ἐπεὶ οὕτως δοκεῖ, ἀρξώμεθα πρῶτον ἀπὸ τῶν τοῦ ὄφεως λειτουργῶν. Ναασσηνοὶ ἄνθρωπον καλοῦσι τὴν πρώτην τῶν ὅλων ἀρχήν, τὸν αὐτὸν καὶ υἱὸν ἀνθρώπου· τοῦτον δὲ τριχῇ διαιροῦσιν. Ἔστι μὲν γὰρ αὐτοῦ, φασί, τὸ μὲν νοερόν, τὸ δὲ ψυχικόν, τὸ δὲ χοϊκόν. Καλοῦσι δὲ αὐτὸν Ἀδάμαν, καὶ νομίζουσι τὴν εἰς αὐτὸν εἶναι γνῶσιν ἀρχὴν τοῦ δύνασθαι γνῶναι θεόν. Καὶ ταῦτα πάντα τὰ νοερὰ καὶ τὰ ψυχικὰ καὶ τὰ χοϊκὰ κεχωρηκέναι εἰς τὸν Ἰησοῦν, καὶ ὁμοῦ δι' αὐτοῦ λελαληκέναι τὰς τρεῖς οὐσίας τοῖς τρισὶ γένεσι. Τοῦ παντὸς οὗτοι φάσκουσι τρία γένη, ἀγγελικόν, ψυχικόν, χοϊκόν, καὶ τρεῖς εἶναι ἐκκλησίας, ἀγγελικήν, ψυχικήν, χοϊκήν· ὀνόματα δὲ αὐταῖς, ἐκλεκτή, κλητή, αἰχμάλωτος. Ταῦτα ἐστὶ τὰ κατ' αὐτοὺς κεφάλαια, ὡς ἐν ὀλίγῳ ἔστι καταλαβεῖν. Ταῦτά φασι παραδεδωκέναι τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου τῇ Μαριάμνῃ, καταψευδόμενοι ἀμφοτέρων. |*

10. *Οἱ δὲ Περάται, Ἀδέμης ὁ Καρύστιος καὶ Εὐφράτης ὁ Περατικός, λέγουσιν ἕνα εἶναι κόσμον τινά, οὕτως καλοῦντες τοῦτον, τριχῇ διῃρημένον. Ἔστι δὲ [τῆς] τριχῇ διαιρέσεως*

φυσιολογίας τρόπος ἀναιρεθείσης τῆς γενέσεως καὶ τῆς φθορᾶς, προθυμότερον ἁπτώμεθα τῶν λόγων· καίτοι γε ἐὰν ἐξετάζωμεν, διὰ τῶν ἔμπροσθεν αὐτάρκως ἤδη συμβεβίβασται τὸ κεφάλαιον.

---

87. *ἔστι*] *ἔσται* C 88. Lacunam explevit M *τὰ τοῖς αἱρεσιάρχαις*] Supplendum esse videtur *δεδοκημένα*. Cf. supra p. 311, 25. 26 91—6. Cf. supra p. 132. 134 et Bernaysium l. l. p. 309—11 92. *νaασηνοὶ* C 96. *εἰς αὐτὸν*] Scribendum videtur esse *αὐτοῦ*, quod sententia postulari iam Iac. Bernaysius vidit l. l. Cf. supra p. 132, 68 99. 1. *γένεσι. Τοῦ παντὸς οὗτοι*] *γένεσι τοῦ παντός, οὕτω* C M: *γένεσι*

terram, aëra; deum autem esse eius opificem, exemplum autem mentem.

8. Persuasi igitur ab his omnibus sine dubio parum firmam inveniri physiologiae rationem, ipsi de veritatis exemplis, quomodo sint et prout nos confidamus, impavide loquemur, insuper et haeresiarcharum placitis summatim prius expositis, ut, ubi etiam hoc modo perspecta omnium dogmata exposuerimus, apertam et perspectam veritatem ostendamus.

9. Sed quoniam ita placet, initium ducamus primum a serpentis cultoribus. Naasseni hominem vocant primum universorum principium, ipsumque et filium hominis, eum autem trifariam dividunt. Est enim eius, inquiunt, aliud rationale, aliud animale, aliud choicum. Vocant autem eum Adaman atque censent cognitionem eius esse initium cognitionis dei. Et haec omnia rationalia et animalia et choica cessisse in Iesum et simul una per eum locutas esse has tres substantias tribus generibus. Universi hi dictitant tria genera, angelicum, animale, choicum, tresque esse ecclesias, angelicam, animalem, choicam; nomina autem earum: electa, vocata, captiva. Ea sunt doctrinae eorum capita, sicuti breviter complecti licet. Haec dicunt tradidisse Iacobum domini fratrem Mariamnae, diffamantes ambos.

10. Peratae autem, Ademes Carystius et Euphrates Peraticus, dicunt esse unum aliquem mundum, ita vocantes hunce, trifariam divisum. Est autem trifariae divisionis apud eos

---

Theodoret. *Haer. fab.* 1, 17. *Ἀδέμης δὲ ὁ Καρύστιος καὶ ὁ Περατικὸς Εὐφράτης, ἀφ᾽ οὗ Περάται προσηγορεύθησαν οἱ τούτων ὁμόφρονες, ἕνα κόσμον εἶναί φασι τριχῇ διῃρημένον. Καὶ τὸ μὲν ἓν μέρος οἷόν τινα πηγὴν εἶναι μεγάλην, εἰς ἄπειρα*

τοῦ παντός. *Τούτου* Bernaysius 1. *τρία γένη*] *τριγενῆ* C M. Sicut nos Bernaysius quoque et R. Scottus correxerunt 5. *φασι*] *φησιν* C 7—37. Cf. supra p. 176. 178, Bernaysium l. l. p. 311—18 et Theodoret. *Haer. fab.* I, 17, cuius verba ex Hippolyto hausta textui supposuimus 7. *Περάται*] *Περᾶται* C M Bernaysius *Ἀδέμης* Cf. supra p. 51. not. ad l. 16. 17. *Καρύστιος*] *Καροίστιος* C 7. 8. *Εὐφράτης ὁ Περατικός*] *Ἐφράτης Περατικός* C 9. *τῆς τριχῇ*] *τριχῆς* C; cf. supra p. 176, 72

παρ᾽ αὐτοῖς [τὸ μὲν ἓν μέρος,] οἷον ἡ μία ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τομὰς τῷ λόγῳ τμηθῆναι δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προεχεστέρα κατ᾽ αὐτούς ἐστιν ἡ τριάς, καὶ [τὸ μὲν ἓν μέρος] καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον μέρος τῆς τριάδος οἱονεὶ δυνάμεων ἄπειρόν τι πλῆθος· τρίτον ἰδικόν· καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον [ὅπερ ἐστὶν ἀγαθόν· τὸ δὲ δεύτερον ἀγαθὸν αὐτογενές· τὸ τρίτον γεννητόν·] ὅθεν διαρρήδην λέγουσι τρεῖς θεούς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου, τῆς διαιρέσεως διακεκριμένης, διδόασι καὶ θεοὺς καὶ λόγους καὶ ἀνθρώπους καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς τοῦ κόσμου πρώτης τομῆς, ἐπὶ συντελείᾳ λοιπὸν τοῦ κόσμου καθεστηκότος, κατεληλυθέναι ἐπὶ τοῖς Ἡρώδου χρόνοις τριφυῆ τινα ἄνθρωπον καὶ τρισώματον καὶ τριδύναμον, καλούμενον Χριστόν, ἀπὸ τῶν τριῶν ἔχοντα τοῦ κόσμου μερῶν ἐν αὐτῷ πάντα τὰ [τοῦ κόσμου] συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναι θέλουσι τὸ εἰρημένον· Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Κατενεχθῆναι δὲ ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου καὶ τοῦ αὐτογεννήτου, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμὲν ἡμεῖς, παντοίων δυνάμεων σπέρματα. Κατεληλυθέναι δὲ τὸν Χριστὸν ἄνωθεν ἀπὸ ἀγεννησίας, ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ πάντα σωθῇ τὰ τριχῇ διῃρημένα. Ἃ μὲν γάρ, φησίν, ἔστιν ἄνωθεν κατενηνεγμένα, ἀνελεύσεται δι᾽ αὐτοῦ,

---

διαιρεθῆναι τῷ λόγῳ δυνάμενον. Τὴν δὲ πρώτην τομὴν τριάδα προσαγορεύουσι καὶ καλοῦσιν αὐτὴν ἀγαθὸν τέλειον, μέγεθος πατρικόν. Τὸ δὲ δεύτερον δυνάμεων ἀπείρων τὸ πλῆθος· τὸ δὲ τρίτον καλοῦσιν ἰδικόν· καὶ τὸ μὲν πρῶτον ἀγέννητον λέγουσι καὶ ὀνομάζουσι τρεῖς θεούς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς

---

10. *τὸ μὲν ἓν μέρος*] Haec verba h. l. delenda et lin. 13. ante *καλεῖται* inserenda esse videntur, ut ratio constet, quamquam dubitari nequit Hippolytum ipsum ita scripsisse ut textus habet, cum Theodoretus quoque cum eo concinat. Cf. supra p. 176, 73. 75. 76. *οἷον ἡ*] *οἱονεὶ?* Sicuti nos etiam M coniecit 12. *προεχεστέρα*] *προσεχεστέρα* CM. Cf. supra p. 176, 75 13. *τὸ μὲν ἓν μέρος*] om C M Bernaysius 14. 15. *ἄπειρόν*] *ἀπείρων* CM. Cf. supra

[una pars] quasi unum initium tanquam magnus fons, in infinita per rationem dissecabilis segmenta. Primum autem segmentum et potius secundum eos est trias, et una quidem pars appellatur bonum perfectum, magnitudo patria; secunda autem pars triadis tanquam potestatum innumera quaedam multitudo; tertia speciale. Et est prima quidem id quod non genitum est bonum, secunda autem bonum ex se genitum, tertia genitum: unde perspicue dicunt tres deos, tres logos, tres mentes, tres homines. Singulis enim partibus mundi, divisione discreta, tribuunt et deos et logos et homines et quae reliqua sunt. Desuper autem ex non-generatione et primo mundi segmento, cum ad consummationem deinceps mundus constitisset, descendisse Herodis temporibus trinaturatum quendam hominem et tricorporem et tripotentem, vocatum Christum, in se habentem a tribus partibus mundi omnia concrementa et potestates. Et hoc esse volunt quod dicitur: *In quo inhabitat omnis plenitudo divinitatis corporaliter.* Delata autem esse a superiacentibus mundis duobus, et non-generato et ex se ipso generato, in hunc mundum, in quo versamur nos, omnifariarum potestatum semina. Devenisse autem Christum desuper a non-generatione, ut per descensionem eius omnia salvarentur trifariam divisa. Quae enim, inquit, desuper devenerunt, ascendent per eum, quae vero insidiata

---

πρώτης τοῦ κόσμου διαιρέσεως, παρ' αὐτὴν τὴν τοῦ κόσμου συντέλειαν, ἐν τοῖς Ἡρώδου χρόνοις κατεληλυθέναι τριφυῆ τινα ἄνθρωπον καὶ τρίσωμον καὶ τριδύναμον, καλούμενον Χριστόν, καὶ διελθεῖν τόν τε ἀγέννητον κόσμον καὶ τὸν αὐτογενῆ, καὶ ἐλθεῖν εἰς τόνδε τὸν κόσμον, ἐν ᾧ ἐσμέν. Κατελθὼν δὲ ὁ Χριστὸς τὰ μὲν ἄνωθεν κατενηνεγμένα ἐπανελθεῖν ἄνω παρα-

---

p. 176, 77 16. 17. *ὅπερ — γεννητόν·*] om C M Bernaysius. Cf. supra p. 176, 79. 80 23. *τριφυῆ*] *τριφυήν* C 25. *αὐτῷ*] *αὐτῷ* CM *τοῦ κόσμου*] Haec verba delenda esse iam Bernaysius vidit. Cf. supra p. 178, 89 26. 27. Coloss. 2, 9 27. *σωματικῶς*] *σώματι* C 30. *παντοίων*] *παντοῖα* C M. Sicuti nos etiam Bernaysius correxit. Cf. supra p. 178, 95 31. *ἀγεννησίας*] *τῆς ἀγεννησίας*? Cf. supra p. 178, 97 32. *σωθῇ*] *σωθεῖ* C

τὰ δὲ ἐπιβουλεύσαντα τοῖς κατενηνεγμένοις | ἀφίεται καὶ κολασθέντα ἀποπέμπεται. Δύο δὲ εἶναι μέρη τὰ σωζόμενα λέγει, τὰ ὑπερκείμενα, ἀπαλλαγέντα τῆς φθορᾶς, τὸ δὲ τρίτον ἀπόλλυσθαι, ὃν κόσμον ἰδικὸν καλεῖ. Ταῦτα καὶ οἱ Περάται.

11. *Τοῖς δὲ Σηθιανοῖς δοκεῖ, ὅτι τῶν ὅλων εἰσὶ τρεῖς ἀρχαὶ περιωρισμέναι. Ἑκάστη δὲ τῶν ἀρχῶν* .... *πέφυκε [δύνασθαι] γενέσθαι, ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἡτισοῦν διδασκομένη τέχνη, οἱονεὶ γένοιτο παιδίον αὐλητῇ γενέσθαι αὐλεῖν, ἢ γεωμέτρῃ γεωμετρεῖν, ἢ τινὶ τέχνῃ ὁμοίως. Αἱ δὲ τῶν ἀρχῶν, φασίν, οὐσίαι εἰσὶ φῶς καὶ σκότος· τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ τεταγμένον ἐν μέσῳ τοῦ σκότους, ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτός, ὅπερ ἐστὶν ἄνω, λέγουσιν, οὐκ ἔστι πνεῦμα ὡς ἀνέμου ῥιπὴ ἢ λεπτή τις αὔρα νοηθῆναι δυναμένη, ἀλλ' οἱονεί τις ὀσμὴ μύρου ἢ θυμιάματος ἐκ συνθέσεως κατασκευαζομένου λεπτή, διοδεύουσα δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι λόγου φορᾷ εὐωδίας. Ἐπεὶ τοίνυν ἐστὶν ἄνω τὸ φῶς καὶ κάτω τὸ σκότος καὶ τούτων μέσον τὸ πνεῦμα, τὸ δὲ φῶς [ὡς] ἀκτὶς ἡλίου ἄνωθεν ἐλλάμπουσα εἰς τὸ ὑποκείμενον σκότος, ἡ δὲ τοῦ πνεύματος εὐωδία φέρεται μέσην ἔχουσα τάξιν καὶ ἐξικνεῖται, ὥσπερ ἡ τῶν θυμιαμάτων ὀσμὴ ἐπὶ τῷ πυρὶ φέρεται, τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν διῃρημένων τριχῶς, τοῦ πνεύματος καὶ τοῦ φωτὸς ὁμοῦ ἐστι κάτω ἡ δύναμις ἐν τῷ σκότει τῷ ὑποτεταγμένῳ. Τὸ δὲ σκότος ὕδωρ εἶναι φασὶ φοβερόν, εἰς ὃ κατέ-*

σκευάσει, τὰ δὲ τούτοις ἐπιβουλεύσαντα παραδώσει κολάσει. Καὶ τὸν μὲν ἀγέννητον κόσμον καὶ τὸν αὐτογενῆ σωθήσεσθαι

---

34. *ἀφίεται καὶ*] *ἀφιεῖ εἰκῇ καὶ* C M : *ὀφιοειδῆ* Bernaysius: *αφίεται εἰκῇ* coni. Sauppius. Cf. supra p. 178, 1   36. 37. *ἀπόλυσθαι* C   37. *ἰδικὸν*] *ἴδιον* C M; correxit iam Bernaysius. Cf. supra p. 178, 8   *Περᾶται* C M Bernaysius   38—3. Cf. supra p. 198, 57 — 206, 89 et Bernaysium l. l. p. 318 sqq.   38. *Σηθιανοῖς*] *Σιθιανοῖς* C M   39. Post *ἀρχῶν* lacunam signavimus. Recte enim Bernaysius (l. l. p. 329) perspexit, vel ipsum Hippolytum excerpendi festinatione abreptum, vel librarium negligentem, utrumque autem homoeoteleuto deceptum a p. 198, 58. 59. *ἑκάστην δὲ τῶν ἀρχῶν* aberrasse ad p. 200, 61. 62. *ἑκάστη τῶν ἀρχῶν πέφυκε*, et ita factum esse, ut omitterentur media interque ea periret subiectum *πᾶν ὅ,τι κ. τ. λ.* p. 200, 60, quod per-

sunt delapsis, abiiciuntur et punita ablegantur. Duas autem esse partes dicit, quae salventur, superiacentes, seiunctas ab interitu, tertiam autem perire, quem mundum specialem vocat. Haec et Peratae.

11. Sethianis autem placet universi esse tria principia descripta. Unumquodque autem principium . . . . fieri potest, ut in humana anima omnis quae docetur ars, veluti cum prope accesserit infans tibicini, posse eum tibiis cantare, vel geometrae, geometrica callere, vel alicui arti consimiliter. Principiorum autem, inquiunt, naturae sunt lux et tenebrae, harum autem intermedius est spiritus impermixtus. Spiritus autem intermedius positus inter tenebras, quae sunt infra, et lucem, quae est supra, aiunt, non est spiritus ut venti vis aut tenuis quaedam aura, quae sentiri potest, sed tanquam odor quidam unguenti vel suffimenti ex mixtura fabricati tenuis, permeans potestas insensibili quadam et vehementiori, quam quae verbis exprimatur, vi odoramenti. Quoniam igitur supra est lux et infra tenebrae et harum intermedius spiritus, lux autem ut radius solis desuper illucescens in subiectas tenebras, spiritûs autem odoramentum sese diffundit medium tenens locum et porrigitur, sicuti suffimentorum odor super igni sese diffundit; — cum haec igitur sit potestas trifariam divisorum: spiritus et lucis simul est infra potestas in tenebris subiectis. Tenebras autem aquam esse aiunt terribi-

---

λέγουσι, τοῦτον δὲ τὸν κόσμον ἀπόλλυσθαι, ὃν ἰδικὸν ὀνομάζουσι.

---

tineret ad *πέφυκε.* 40. *δύνασθαι* uncinis inclusimus suadente Bernaysio, qui hanc vocem ab initio ascriptam emendandi caussa ad alterum *γενέσθαι,* quod extat lin. 41. 42., per errorem insertam esse ante prius *γενέσθαι* putat 41. 42. *οἷον, εἰ ἐγγὺς γένοιτο παιδίον αὐλητῇ, δύνασθαι αὐλεῖν, κ. τ. λ.* Bernaysius: *οἱονεὶ γένοιτο παιδίον [ἐγχρονίσαν] αὐλητῇ γενέσθαι αὐλητήν, ἢ γεωμέτρῃ γεωμέτρην, ἢ ἡτινιοῦν τέχνῃ ὁμοίως.* M: *οἷον, εἰ γένοιτο παιδίον αὐλητῇ ἐγγύς, εἴσεται αὐλεῖν, κ. τ. λ.?* 46. *ἀνέμου ῥιπὴ] ἄνεμος ἢ ῥιπὴ* C M Bernaysius 48. 49. *λεπτή, διοδεύουσα] λεπτῆς, διοδεύσασα* C M; cf. supra p. 200, 72 49. *φορᾷ] φορᾶς* C 51. *φῶς ὡς] φῶς* C M. Sicuti nos etiam Bernaysius correxit 52. *ἐλλάμπουσα] ἐκλάμπουσα* C M; cf. supra p. 200, 76

σπασται [καὶ] μετενήνεκται εἰς τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Φρόνιμον οὖν τὸ σκότος | ὂν καὶ γινῶσκον, ὅτι, ἂν ἀπαρθῇ ἀπ' αὐτοῦ τὸ φῶς, μένει τὸ σκότος ἔρημον, ἀφανές, ἀλαμπές, ἀδύναμον, ἄπρακτον, ἀσθενές, τῷδε πάσῃ συνέσει καὶ φρονήσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ τὸν σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Εἰκόνα τούτου ταύτην παρεισάγουσι, λέγοντες· ὥσπερ ἡ κόρη τοῦ ὀφθαλμοῦ [ὑπὸ] ὑποκειμένων ὑδάτων σκοτεινὴ φαίνεται, φωτίζεται δὲ ὑπὸ τοῦ πνεύματος, οὕτως ἀντιποιεῖται τὸ σκότος τοῦ πνεύματος, ἔχει δὲ παρ' ἑαυτῷ πάσας τὰς δυνάμεις βουλομένας ἀφίστασθαι καὶ ἀνιέναι. Εἰσὶ δὲ αὗται ἀπειράκις ἄπειροι, ἐξ ὧν τὰ πάντα τυποῦται καὶ γίνεται ἐπιμιγνυμένων δίκην σφραγίδων. Ὥσπερ γὰρ σφραγὶς ἐπικοινωνήσασα κηρῷ τὸν τύπον ἐποίησεν αὐτὴ παρ' ἑαυτῇ ἥτισοῦν [ἦν] μένουσα, οὕτως καὶ αἱ δυνάμεις ἐπικοινωνήσασαι τὰ πάντα ἀπεργάζονται γένη ζῴων ἄπειρα. Γεγονέναι οὖν ἀπὸ τῆς πρώτης συνδρομῆς τῶν τριῶν ἀρχῶν μεγάλης σφραγῖδος ἰδέαν, οὐρανὸν καὶ γῆν, εἶδος ἔχουσαν παραπλήσιον μήτρᾳ ὀμφαλὸν ἐχούσῃ μέσον. Οὕτως δὲ καὶ τὰς λοιπὰς ἐκτυπώσεις τῶν πάντων ἐκτετυπῶσθαι ὥσπερ οὐρανὸν καὶ γῆν μήτρᾳ παραπλησίους. Ἐκ δὲ τοῦ ὕδατος γεγονέναι φασὶ πρωτόγονον ἀρχήν, ἄνεμον σφοδρὸν καὶ λάβρον καὶ πάσης γενέσεως αἴτιον, βρασμόν τινα καὶ κίνησιν ἐργαζόμενον τῷ κόσμῳ ἐκ τῆς τῶν ὑδάτων κινήσεως. Τοῦτον δὲ ἐπιτελεῖν εἶδος συρίγματι ὄφεως παραπλήσιον, φέρων ὅθεν ἦν ὁ φορῶν ὁ κόσμος πρὸς γένεσιν ὁρμᾷ ὀργήσας ὡς μήτρα, καὶ ἐντεῦθεν θέλουσι συνίστασθαι τὴν τῶν | ὅλων γένεσιν. Τοῦτον δὲ εἶναι πνεῦμα ἀνέμου λέγουσι τέλειον θεὸν ἐκ τῆς τῶν ὑδάτων καὶ τῆς τοῦ πνεύματος εὐωδίας καὶ φωτὸς λαμπηδόνος γεγονέναι, καὶ εἶναι γέννημα θηλείας νοῦν· τὸν ἄνωθεν σπινθῆρα κάτω ἀναμεμιγμένον σὺν τοῖς περισυγκρίτοις σώματος σπεύδειν ἐκφεύγειν, ἐκφυγόντα

58. καὶ om C 60. μένει] μενεῖ Roeperus, qui ita etiam supra p. 200, 86 corrigendum esse censet 61. τῷδε] τῷ δὲ C: τόδε M: ἐπὶ τῷδε Roeperus: οὕτω δὴ Bernaysius: ὧδε? Sauppius 65. ὑπὸ ὑποκειμένων Bernaysius: ὑποκειμένων C M 69. τυποῦται Bernaysius: κυκλοῦται C M 71. κηρῷ] κλήρῳ C αὐτὴ] αὐτῇ C 72. ἦν] om C M Bernaysius 73. Γεγονέναι] Γέγονεν C 74. ἰδέαν] εἰδέαν C 74. 75. οὐρανὸν καὶ γῆν] οὐρανοῦ καὶ γῆς Bernaysius 75. παραπλήσιον] παραπλησίαν C 79. ἄνεμον σφοδρὸν]

lem, in quam derepta sit et translata in talem naturam cum spiritu lux. Mente autem cum praeditae sint tenebrae et cognoscant, ubi abstrahatur ipsis lux, manere tenebras desolatas, sine luce, sine splendore, sine vi, sine efficacia, debiles: ideo omni ratione et cogitatione nituntur continere in sese splendorem et scintillam lucis cum spiritus odoramento. Huius imaginem hanc introducunt, dicentes: sicuti pupilla oculi sub subiacentibus aquis tenebrosa apparet, illustratur autem spiritu, ita sectantur tenebrae spiritum, habent autem apud se omnes potestates, quae volunt recedere et redire. Sunt autem ipsae infinities infinitae, ex quibus omnia figurantur et nascuntur, cum instar sigillorum contingant. Sicuti enim sigillum cera contactum effigiem efficit, ipsum per se manens quodquod fuit, ita quoque potestates contagione sua efficiunt omnia genera animalium infinita. Nata igitur esse ex primo concursu trium principiorum magni sigilli speciem, caelum et terram, formam habentem consimilem utero umbilicum habenti medium. Ita autem et reliquas figuras universorum effiguratas esse sicuti caelum et terram utero consimiles. Ex aqua autem natum esse primigenium principium, ventum gravem et vehementem et omnis generationis auctorem, fervorem quendam et motum efficientem mundo ex aquarum motu. Hunc autem perficere . . . . . sibilo serpentis consimilem alati, in quem suspiciens mundus ad generationem ruit intensus sicuti uterus, et hinc volunt manasse universorum originem. Hunc autem esse spiritum venti dicunt perfectum deum ex aquarum et spiritus odoramento et lucis splendore natum esse, et esse generamen femellae mentem; superne devenientem scintillam infra permixtam cum appendicibus corporis niti effugere, ef-

ἀνεμόφθορον C; cf. supra p. 204, 28 αἴτιον] ἀγγεῖον C; cf. supra l. l. 81. ἐπιτελεῖν εἶδος συρίγματι] ἐπὶ τέλειον εἶδος σύρματι Bernaysius 82. παραπλήσιον, φέρων ὅθεν ἦν ὁ φορῶν] παραπλήσιον, φέρων ὅθεν ἦν, ὃ φορῶν Roeperus: παραπλήσιον μορφωθῆναι, ὃ ἀφορῶν Bernaysius: παραπλήσιον πτερωτοῦ, ἐς ὃν ὑφορῶν? 84. ἀνέμου] ἄνεμον C M Bernaysius 86. γεγονέναι] γεγονότα Roeperus γέννημα] γένημα C 87. νοῦν] νοῦν δὲ Roeperus 88. περισυγκρίτοις Bernaysius et Roeperus: περὶ συνκρίτοις C: περὶ συγκρίτοις M σώματος] τοῦ σώματος Roeperus ἐκφεύγειν Bernaysius: καὶ φεύγειν C M ἐκφυγόντα] καὶ ἐκφυγόντα Bernaysius: ἐκφυγόντα δὲ Roeperus

πορεύεσθαι καὶ τὴν λύσιν οὐχ εὑρίσκειν διὰ τὴν ἐν τοῖς ὕδασι δέσιν. Διὸ ἐβόα ἐκ τῆς τῶν ὑδάτων μίξεως κατὰ τὸν ψαλμῳδόν, ὡς λέγουσι. Πᾶσα οὖν ἡ φροντὶς τοῦ ἄνω φωτός ἐστιν, ὅπως ῥύσηται τὸν κάτω σπινθῆρα ἀπὸ τοῦ κάτω πατρός, ἀνέμου ἐπεγείροντος βρασμὸν καὶ τάραχον καὶ ἑαυτῷ νοῦν υἱοποιήσαντος οὐκ ὄντα αὐτοῦ, φάσκουσιν, [ἴδιον, ὃν] ἰδόντα τὸν τέλειον λόγον τοῦ ἄνωθεν φωτὸς αὐτὸν ἀπομορφώσαντα εἴδει ὄφεως κεχωρηκέναι ἐν μήτρᾳ, ἵνα τὸν νοῦν ἐκεῖνον, τὸν ἐκ τοῦ φωτὸς σπινθῆρα, ἀναλαβεῖν δυνηθῇ. Καὶ τοῦτο εἶναι τὸ εἰρημένον· Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Καὶ ταύτην εἶναι τὴν [δουλικὴν] μορφὴν οἱ κακοδαίμονες θέλουσι καὶ πολυπή[μονες] Σηθιανοί. Ταῦτα μὲν οὖν καὶ οὗτοι λέγουσιν.

12. Ὁ δὲ πάνσοφος Σίμων οὕτως λέγει· ἀπέραντον εἶναι δύναμιν, ταύτην ῥίζωμα τῶν ὅλων εἶναι. Ἔστι δέ, φησίν, ἡ ἀπέραντος δύναμις, τὸ πῦρ, κατ' αὐτὸν οὐδὲν ἁπλοῦν, καθάπερ οἱ πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ [δὲ] τέσσαρα στοιχεῖα καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλ' εἶναι τοῦ πυρὸς τὴν φύσιν διπλῆν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι κρυπτόν, τὸ δὲ φανερόν· κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τοῦ πυρός, καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Πάντα | δέ, φησί, νενόμισται τὰ μέρη τοῦ πυρὸς ὁρατὰ καὶ ἀόρατα φρόνησιν ἔχειν. Γέγονεν οὖν, φασίν, ὁ κόσμος ὁ γεννητὸς ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δέ, φησίν, οὕτως γίνεσθαι· ἓξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γενέσεως ὁ γεννητὸς ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου λαβών· ταύτας γὰρ ῥίζας γεγονέναι κατὰ συζυγίας ἀπὸ τοῦ πυρός, ἅστινας καλεῖ νοῦν καὶ ἐπίνοιαν, φωνὴν καὶ ὄνομα, λογισμὸν καὶ ἐνθύμησιν. Εἶναι δὲ ἐν ταῖς ἓξ ῥίζαις ὁμοῦ τὴν ἀπέραντον δύναμιν, [ἣν] εἶναι φησὶ τὸν ἑστῶτα, στάντα, στησό-

90. *Διὸ ἐβόα — μίξεως*] Haec verba ad Psalm. 29, 3 alludere Bernaysius monuit 93. 94. *νοῦν υἱοποιήσαντος* Roeperus: *νοῦν ποιήσαντος* C M Bernaysius 94. *φάσκουσιν, ἴδιον, ὃν ἰδόντα*] *φάσκουσιν, ἰδόντα* C M: *ὅ, φάσκουσιν, ἰδόντα* Bernaysius: *φάσκουσιν, ἴδιον· εἶτα* Roeperus 96. *ἐν μήτρᾳ*] *ἐς μήτραν* Bernaysius 98—1. Philipp. 2, 6. 7. 1. *δουλικὴν* Roeperus inseruit: om C M Bernaysius 2. *πολυπήμονες*] Cernuntur vestigia litterae *η* et compendii *ες*. M *Σηθιανοί*] *Σιθιανοί* C M 4. sqq. Cf. supra p. 236 sqq.

fugientem discedere neque liberationem reperire, cum aquis sit vincta. Propterea vociferata est ex aquarum mixtura secundum psalmistam, ut aiunt. Omnis igitur cura lucis supernae est, ut liberet scintillam, quae infra est, a patre, qui infra est, vento, qui excitat fervorem et turbam sibique mentem filium generavit, qui, inquiunt, non proprius illius est, quem, ubi viderit perfectum logum lucis supernae, mutata forma sub specie serpentis cessisse in uterum, ut mentem illam, lucis scintillam, recipere posset. Et hoc esse id quod dictum est: *Qui cum in forma dei esset, non rapinam arbitratus est esse se aequalem deo, sed semet ipsum exinanivit formam servi accipiens.* Et hanc esse servilem formam miseri volunt ac pestiferi Sethiani. Haec igitur et hi dicunt.

